www.libtool.com.cn

Digitized by Google

www.libtool.com.cn

Vet. PA 1973. A33. A1. 1879 (2/2)
~~271 m 25~~
Confined to Library

Digitized by Google

www.libtool.com.cn

Digitized by Google

www.libtool.com.cn

Vet. PA 1973. A33. A1. 1879 (2/2)
~~271 m 25~~
Confined to Library

Digitized by Google

www.libtool.com.cn

Digitized by Google

www.libtool.com.cn

Digitized by Google

www.libtool.com.cn

Digitized by Google

www.libtool.com.cn

Digitized by Google

www.libtool.com.cn

ΜΙΧΑΗΛ ΑΚΟΜΙΝΑΤΟΥ

ΤΟΥ

ΧΩΝΙΑΤΟΥ

ΤΑ ΣΩΖΟΜΕΝΑ

Digitized by Google

www.libtool.com.cn

Digitized by Google

ΜΙΧΑΗΛ ΑΚΟΜΙΝΑΤΟΥ

www.libtool.com.cn

ΤΟΥ

ΧΩΝΙΑΤΟΥ

ΤΑ ΣΩΖΟΜΕΝΑ

ΤΑ ΠΛΕΙΣΤΑ ΕΚΔΙΔΟΜΕΝΑ ΝΥΝ ΤΟ ΠΡΩΤΟΝ
ΚΑΤΑ ΤΟΥΣ ΕΝ ΦΛΩΡΕΝΤΙΑ· ΟΞΩΝΙΩ· ΠΑΡΙΣΙΟΙΣ ΚΑΙ ΒΙΕΝΝΗ·
ΚΩΔΙΚΑΣ

ΔΑΓΑΝΗΙ ΤΟΥ ΔΗΜΟΥ ΑΘΗΝΑΙΩΝ

ΥΠΟ

ΣΠΥΡΙΔΩΝΟΣ Π. ΛΑΜΠΡΟΥ

Διδάκτορος τῆς φιλοσοφίας, ὑφηγητοῦ τῆς ἱλλ. ἱστορίας καὶ γραφογνωσίας ἐν τῷ Ἐθνικῷ Πανεπιστημίῳ.

ΤΟΜΟΣ Β'

**Περιέχων τὰς ἐπιστολὰς καὶ τὰ ποιήματα τοῦ Μιχαὴλ,
τὰς πρὸς αὐτὸν ἐπιστολὰς τοῦ Νέων Πατρῶν Εὐθυμίου τοῦ Τορνίκη,
Γρηγορίου Ἀντιόχου καὶ Γεωργίου Τορνίκη,
σημειώσεις ἱστορικὰς καὶ γραμματικὰς καὶ πίνακας,
οἷς προσηρτήθησαν καὶ φωτοτυπικὰ παναμοιότυπα τῶν κωδίκων.**



ΕΝ ΑΘΗΝΑΙΣ

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΠΑΡΝΑΣΣΟΥ

ΔΙΕΥΘΥΝΟΜΕΝΟΥ ΥΠΟ Σ. Π. ΟΙΚΟΝΟΜΟΥ

1880

Digitized by Google

www.libtool.com.cn

Digitized by Google

www.libtool.com.cn

ΜΙΧΑΗΛ ΑΚΟΜΙΝΑΤΟΥ
ΤΟΥ ΧΩΝΙΑΤΟΥ
ΕΠΙΣΤΟΛΑΙ

α'. Πρὸς τὸν ἀδελφὸν αὐτοῦ κύριον Νικήταν τὸν Χωνιάτην.

1. Πολλάκις ἐπέστειλας ἡμῖν περὶ τῶν ἡμετέρων πονημάτων, ἀδελφὲ φίλτατε, ἀξιῶν πεμφθῆναί σοι πάντα συντεταγμένα πυκτίδι μιᾷ. Ἡμεῖς δὲ λίαν ὠκνοῦμεν τὴν αἴτησιν, τὸ γράφειν καὶ συγγράμματα ἐκδιδόναι οὐ παντὸς τοῦ βουλομένου εἰδότες, ἀλλὰ τῶν τελείαν ἕξιν ἐχόντων ἐν λόγοις· ὅπου γε καὶ τούτων ἐνίους μανθάνομεν δι' ὄκνου τὸ πρᾶγμα ποιήσασθαι. 2. Πυθαγόρας μὲν γὰρ ὁ σοφὸς οὐδόλως τὰ δόγματα βίβλοις πεπίστευκε, μονιμωτέρας βίβλους λέγων ἡγεῖσθαι τὰς τῶν ἀκροασαμένων ψυχάς· ἀμέλει καὶ τὰ θρυλούμενα χρυσᾶ ἔπη οὐ Πυθαγόρου, πυθαγορικοῦ δέ τινος εἶναί φασι. Πλάτων δὲ οὐ μόνον ἀγαπητὸν ἔλεγεν ὅτῳ κἂν ἐν γήρᾳ ἐγγένοιτο νοῦς, ἀλλὰ καὶ τοὺς συγγεγραμμένους λέγεται λόγους ἐξονυχίζειν μέχρι γήρως καὶ βοστρυχίζειν. Ὁ δὲ Σταγειρίτης ἀσαφείᾳ τοσαύτῃ τὰ συγγράμματα συνεσκίαζεν ὡς, ἐκδιδοὺς, μὴ ἐκδιδόναι ὁμολογεῖν. Τὸ δὲ τοὺς δημοσθενικοὺς λόγους ἐλλυχνίων ἀπόζειν τί ποτε βούλεται ἢ τὸ μὴ αὐτοσχεδίους λόγους ἐκφέρειν δήπουθεν; Τὸν δὲ Πανηγυρικὸν δι'

α'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν τῷ λαυρεντιακῷ κώδικι (Λ), φ. 1,6, τῷ βαροκκικῷ (Β), φ. 106,6-107,α, καὶ τῷ ἐσκουριαλείῳ, Υ-Η-10, φ. 85, 6.

Τίτλος. *τῷ αὐταδέλφῳ σεβαστῷ καὶ ἐπὶ τῶν κρίσεων κυρῷ νικήτα* Β. *τῷ ἀδελφῷ* Ε.— 2. *πεμφθῆναι* Β.— 3. *πυκτίδι* Β.— 9. *θρυλλούμενα* ΛΒ. — 10. *ἔπη καὶ πυθαγόρου* Β. *δή* Β. *εἶναι φασὶ* Β.

Digitized by Google

ὅλων ἐτῶν δέκα ἐξενηνοχέναι Ἰσοκράτης ἱστόρηται εἴπερ μὴ ὡς ἀντίτεχνος ὁ Λυσίας ἔχθρᾳ τοῦτο προσέρριψεν. Ἤκουσας δὲ, οἶμαι, καὶ τοῦ Μυσοῦ σοφιστοῦ, οἶδας τὸν Ἀριστείδην, ὅπως παραιτούμενος τὸ σχεδιάζειν οὐ τῶν ἐμούντων ἀλλὰ τῶν ἀκριβούντων ἔλεγεν εἶναι, ἵνα μὴ ἑτέρους παρεισκυκλῶμεν τῷ λόγῳ πλείονας, εὐλαβουμένους τὸ ἀνεκμελετήτους προϊέναι λόγους καὶ οὐ χρονίᾳ ἠκριβωμένους σχολῇ. 3. Εἰ δ' ἐκεῖνοι οὕτω τὴν τῶν οἰκείων πόνων ἔκδοσιν ὤκνουν, πόσῳ μᾶλλον τοὺς καθ' ἡμᾶς ἐχρῆν, ὧν οὐ τοσαύτη περὶ λόγους ἡ ἐπιστήμη, ἄλλως τε ὑπὸ μυρίου πραγμάτων ὄχλου περιστοιχιζομένων ἑκάστοτε καὶ οὐκ ἀγόντων ὁτεδήποτε σχολὴν, ὡς καί τι λόγου εἶδος ἀπακριβώσασθαι ;

4. Ταῦτα δὲ οὔτ' ἂν τὴν ἀρχὴν εὐλαβούμεθα οὔτε μὴν γράφειν προήχθημεν, εἰ πρὸς σὲ μόνον ἐκδιδόναι τὰ παρ' ἡμῶν πεπονημένα ἐμέλλομεν, οὕτω μὲν φιλοῦντα ὡς εἴπερ τις φιλάδελφος, οὕτω δὲ διὰ τὸ φιλεῖν οὐκ ὀξυδορκήσοντα, ὡς καὶ τὰ ἐν αὐτοῖς προδήλως ἐπταισμένα μὴ βλέπειν βλέποντα. Ἐπεὶ δὲ οἶδα ὡς οὐ παρὰ σεαυτῷ μόνῳ καθέξεις ἀλλὰ καὶ πρὸς ἑτέρους διαδώσεις, διὰ ταῦτα γράφειν δεῖν ἔγνωμεν ταῦτα.

β'. Τῷ Θεσσαλονίκης κυρῷ Εὐσταθίῳ.

1. Ὤμοι ἐγώ. Τί ποτε τοσοῦτος ὑπερρύη χρόνος καὶ γράμμα τῆς σῆς οὐκ ἐδεξάμην ἁγιότητος, μακαριώτατε δέσποτα, ἵν' ἀκριβῶς εἰδείην, ὅπως ἤνυσταί σοι τὰ τῆς ὁδοιπορίας, ὅπως

8. *οὕτως* ΑΒ.— 12. *ἀπἀκριβώσασθαι* Β. — 15. *εἴπέρ* ΑΒ. — 16. *ὀξυδορκήσαντα* Β. — 19. *διαταῦτα* Β.

β'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν τῷ λαυρεντιακῷ κώδικι, φ. 1,6-2,α, τῷ βαροκκικῷ, φ. 107,α καὶ τῷ ἐσκουριαλείῳ, φ. 86,α. Ἐδημοσιεύθη δὲ ὑπὸ τοῦ Tafel ἐν τῷ de Thessalonica ejusque agro σελ. 353 κ.ἑ. (T) καὶ κατ' αὐτὸν ὑπὸ Ellissen ἐν τῷ Michael Akominatos σελ. 58 κ.ἑ. (E) καὶ Migne ἐν τῶν ρμ' τόμῳ τῆς ἑλληνικῆς πατρολογίας σελ. 329 (M). Τὸ πᾶσι τοῖς κώδιξι, πλὴν τοῦ ἐσκουριαλείου, καὶ ταῖς ἐκδόσεσι κοινὸν γραφικὸν πταῖσμα ἐδήλωσα διὰ τοῦ Π.

www.libtool.com.cn

Digitized by Google

ἐς τὴν Θεσσαλονικέων ἀφίκου; Μή ποτε ἡ νυμφευσαμένη σε πόλις αὕτη κατὰ πᾶς βαρυζήλους τῶν γυναικῶν οὐκ ἀνέχεται ἐπιστρέφεσθαί σε πρὸς τὴν Κωνσταντίνου, τὴν βασιλίδα, οὔτε μὴν ἐπιστολὰς οἷον μηλοβολεῖν, ἀλλ' αὐτῆς ὅλον εἶναι καὶ πάντα τῇδε χαρίζεσθαι; Ἢ τοῦτο μὲν οὐχί· οἶει δὲ, ὥσπερ τἄλλα τοῦ παρόντος, οὕτω καὶ τὸ περὶ σὲ φίλτρον οὐκ ἔμπεδον, καὶ παρὰ τοῦτο οὐδ' αὐτὸς ἐθέλεις φυλάττειν θερμὸν τὸν ἀντέρωτα; 2. Ἀλλ' οὐκ ἔστι τοῦτο, οὔ, μὰ τὴν σὴν ἱερὰν κεφαλήν. Μᾶλλον μὲν οὖν νῦν οἱ ποθοῦντες πλέον τῷ πόθῳ κάμνουσι παρ' ὅσον τῇ ἀποστάσει ‖ μανθάνουσιν οἷον ἔχοντες ἀγαθὸν ἐλάνθανον ἑαυτούς. Ἐπεὶ καὶ θάλψις ἡλίου καὶ ὑγίεια καὶ ἅπαν καλὸν τότε μόνον θαυμάζεται, ἡνίκα βαρὺς ἐμπεσεῖται χειμὼν καὶ νόσος εἰσφθαρῇ καὶ τὰ τῆς ἐναντίας ὅλως συστοιχίας ἀντειςαχθῇ. Οὕτω καὶ Ἀθηναῖοι Σωκράτην ἔχοντες μὲν ἐβάσκαινον, μετὰ δὲ τὴν κύλικα ὡς σοφὸν ἐθαύμαζον καὶ ὅπερ οὐκ ἤδεσαν ἔχοντες ἀγαθὸν, τοῦτο ἀποβαλόμενοι, ἐπόθουν ἀνακαλούμενοι. 3. Σοῦ δὲ καὶ πρότερον περιειχόμεθα καὶ νῦν ἔτι μᾶλλον ποθήσειν ἐμέλλομεν. Ἐπεὶ τοίνυν ἔχεις μαθὼν τὴν περὶ σὲ νῦν ἐνταῦθα διάθεσιν, ἐπίστελλε, σοφώτατε. Φεῖσαι κἀμοῦ, διατεθρυλημένου τὰ ὦτα παρὰ τῶν πυνθανομένων τὰ περὶ σοῦ. Διατηροίη σε ὁ θεὸς πολυχρόνιον.

γ'. Τῷ Πηγονίτῃ κυρῷ Κωνσταντίνῳ.

1. Βαβαὶ τῆς τοῦ λογογράφου δεινότητος, βαβαὶ τῆς ἐπιστολιμαίας σφοδρότητος. Ὀσσίχον τὸ γράμμα καὶ ἡλίκον

1. *μήποτ' ἡ* E.—2. *κατὰ τῆς* E. *οὐκανέχεται* B.—6. *τἄλλα* B. — 8. *οὐ* Π.— 10. *παρόσον* Π. ‖ Κώδ. 2,α.—11. *ἑαυτους* E.— 12. *ὑγεία* Π. — 14. *συστοίχιας* E. — 16. *ὅπερ ἤδεσαν* ΛΤΕΜ. *ἀποβαλλόμενοι* B. — 17. *δὲ δὲ καὶ* E. — 19. *τοίνυν* E. — 20. *διατεθρυλλημένου* Π. — 21. *σε θεὸς* ΛΤΕΜ.

γ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν τῷ λαυρεντιακῷ κώδικι, φ.2,α-2,6, τῷ βαροκκικῷ, φ. 107,α-107,6 καὶ τῷ ἐσκουριαλείῳ, φ,86,α.

Τίτλος. *τῶ Πηγονάτω κυρ. Κωνσταντίνω* E. —42. *Ὀσσίχον τογραμμα* B.

Digitized by Google

φίλον ἐδάμασεν· οὐχ οὕτω κέντρον μελίττης, οὐχ οὕτω σκορπίου, οὐχ οὕτως ὑγροκελεύθου τρυγόνος ὀδύνας ἐντέθεικε. Τί παθεῖν ἐμέλλομεν, εὐγενεστάτη μοι κεφαλή, εἰ τὸ γράμμα προτενὲς ἐνεστήσω καθ' ἡμῶν καὶ πολύστιχον, εἰ τὴν ἄμαχον γλῶτταν δλην ἀνῆκας φέρεσθαι; 2. Νῦν δὲ κωλύμη τις, οἶμαι, κατὰ τὸν Θουκυδίδην, ἀντέσπακέ σε καὶ πρὸς τῶν φορολογικῶν παρεσύρης πραγμάτων καὶ παρὰ τοῦτο ἐν στενῷ κομιδῇ τὰ τοῦ γράμματος περιέστησας· ἀλλὰ καὶ οὕτω δακνηρότερον ἔμοιγε τοῦτο ἢ Φιλίππῳ τὸ λακωνικὸν ἐκεῖνο, τὸ Διονύσιος ἐν Κορίνθῳ, ἐδέδοκτο. Μᾶλλον δὲ, εἰρήσθω γὰρ τἀληθὲς, τῷ ἰνδικῷ ξύλῳ ἐῴκει· κινάμωμον τοῦτο λέγουσιν οἱ πολλοί· ὅπερ μετὰ τοῦ στύφοντος καὶ τὸ γλυκάζον οὐκ ἀγεννὲς εὐτυχεῖ. Οἷς μὲν γὰρ ἀπὸ φιλτάτης χειρὸς καὶ γλώττης ἐπέσταλτο, ἥδιστον γραμμάτων ἁπάντων ἐμοί· οἷς δέ τι καὶ δάκνον ῥῆμα καὶ λοίδορον προσεπέρριπτο οὐκ ἠρέμα στῦφον ὑπέκνιζεν. 3. Ἀλλά με τοιοῖσδε βάλλοις αὐτὸς βλήμασιν· οὐ γάρ μοι μέλον, προβαλλομένῳ σάκος φιλίας μέγα τε στιβαρόν τε, ὅπερ οὐκ ἂν ἀποβαλοίμην αὐτὸς οὐδ' ἀνασχοίμην τοῖς περὶ τὴν φιλίαν λειποτακτοῦσιν ἐγγράφεσθαι. Εἰ δ', ὅπερ ἀπευξαίμην, καὶ φαρμάξεις ἔχθρᾳ τὰ βέλη καὶ τοξεύσεις οὐκ ἐρωτικῶς ἔτι, ἀλλὰ πρὸς μῖσος λαμπρὸν, οὐδ' οὕτως ἂν τὸ θεῖον τοῦτο προδώσω πρόβλημα. 4. Οὕτως εὐόπτως ἐς φιλίαν ἔχω καὶ ἀπαθῶς καὶ οὐδὲ τοῦ προσπίπτοντος σκανδάλου πτοοῦμαι ῥοιζήματα, ὥσπερ ὁ γενναῖος ἄρα σὺ, ὃς ἤδη καὶ εἰς ἐχθροὺς, οἶμαι, τάττεις ὅτι μὴ γράμμα σοι ἀπεστάλκαμεν. Εἰ δὲ μὴ τὸν διακομίζοντα εὕροιμι, εἰ δὲ σταλὲν ἴσως οὐκ εἰς χεῖρας πεσεῖταί σοι, εἰ δ' ἄλλως οὐ δυναίμην ἐπιστεῖλαί σοι ἢ δυνάμενος ὀλιγώρως ἔχοιμι, ὥσπερ ἄρα καὶ ἄλλα πολλὰ τῶν ἀναγκαίων περιφρονῶ, παρὰ τοῦτο δεσμὸν φιλίας ἄρρη-

1. *οὐχ' οὕτως* B. *οὐχ' οὕτως* B.—6. *τίς* AB.—8. *οὕτως* AB.—10. *ἐδέδεκτο* A.— 14. *ἡδίστη* B. — 15. *στύφον* AB. — 17. *μέλλον* B. *σάκκος* AB. *μηχά* AB.—18. *ἀποβαλλοίμην* B.—22. *εἰς* B. — 24. *πτοοῦμαι* κατὰ διόρθωσιν ἐκ τοῦ τὸ πρῶτον γραφέντος *πτωοῦμαι* B.— 25. *ἐχθροὺς* B. — 29. *περιφρονῶν* B.

Digitized by Google

κτον οὕτω δὴ διαρρήξεις καὶ τὴν πνευματικὴν συμφυίαν διασπάσεις ἑτοίμως; 5. Ὡς λίαν μεγαλόψυχος εἶ κἀπὶ τῆς φιλικῆς γνώμης ἑστὼς πάγιος. Μή ποτε πτηνὸς κατὰ τοὺς μύθους καὶ ὁ σὸς ἔρως καὶ κοῦφος ἀφίπταται καὶ οὐ βέβαιος ἵσταται, καὶ μᾶλλόν γε νῦν ὅτε τοῖς ὑπερβορέοις ἀνδράσι καὶ ἀνεράστοις ἀγχιθυρεῖς καὶ τῶν πάλαι κακοξείνων Ποντικῶν ἐπιχωριάζεις τοῖς κλίμασιν; Ἦ τάχα τοῖς σιδηρεῦσι τῶν Χαλύβων ἐγγειτονῶν, οὐκ ἀγανοῖς ἔτι βέλεσι, χαλυβδικῷ δὲ μᾶλλον κνώδοντι τὸν σὸν ὥπλισας ἔρωτα; Θράττει με καὶ τὸ τῆς Ταυροσκυθίας ἀντίπορθμον, μὴ τὸ τῆς ξενοκτονίας κακὸν ἐκεῖθεν διαβῇ καὶ πρὸς σέ. Ἐπεὶ ῥᾳδίως ὁρῶ σε τὰ τῶν ἀνθρώπων ἔθη μεταλαμβάνοντα παρ' οἷς ἂν συναικεῖν σοι προσγένηται. 6. Ἀλλὰ γὰρ χαίροις μὲν αὐτὸς, ἀγαπῴης δὲ καὶ τὸν οὐχ ἧττον σὸν ἢ ἐμὸν ἀδελφὸν καὶ περιέποις ἐς ἅπαν συνοῖσον αὐτῷ. Οὕτω γὰρ τῆς περὶ ‖ ἐμέ σου φιλίας τεκμήριον ποιήσομαι τὴν εἰς αὐτὸν εὔνοιαν. Ἔρρωσο.

www.libtool.com.cn

δ'. Τῷ Θεσσαλονίκης κυρῷ Εὐσταθίῳ.

1. Εὐδαίμων οὗτος ἀνὴρ καὶ εἴ τις ἄλλος. Πάλαι μὲν τῆς πρὸς τὴν σὴν ἁγιότητα συνηθείας ἔσχεν εὐτυχῶς, σοφώτατε δέσποτα· εἶτα δ', ἐπὶ χρόνον τινὰ τοῦ καὶ ἀγγέλοις αὐτοῖς αἰδεσίμου προσώπου διαστὰς, αὖθις τὴν αὐτοψίαν τοῦδε κατὰ θεῖον ἠὐτύχησε, σκιερὰν δ' ὑπὸ φηγὸν

ἀελίου φρύγοντος, ὁδοιπόρος ἕδραμεν ὥς τις.

5. *μᾶλλον* B. — 7. *σιδηρεῶσι* ΛB. — 9. *ὥπλισας* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *ὥπλισαν* Λ.— 14. *οὐχ'* Λ.— 15. ‖ Κώδ, 2,6.

δ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν τῷ λαυρεντιακῷ κώδικι, φ. 2,6, ἐν τῷ βαροκκικῷ, φ. 107,6-108,α καὶ τῷ ἐσκουριαλείῳ, φ. 86,6. Ἐδημοσιεύθη δὲ ὑπὸ Tafel ἔνθ' ἀν. σ. 355 κ. ἑ. (T) καὶ κατ' αὐτὸν ὑπὸ Ellissen ἔνθ' ἀν. σ. 68 κ. ἑ. (E) καὶ Migne ἔνθ' ἀν. σ. 329 (M). Τὴν συμφωνίαν πάντων τῶν κωδίκων ἔν τινι παίσματι γραφικῷ ἐδήλωσα διὰ τοῦ Π.

Τίτλος. *τῷ ἁγιωτάτῳ θεσσαλονίκης κυρῷ εὐσταθίῳ* B. — 17. *τὴν πρὸς* E.— 20. *προσωπου* B.— 21. *φυγὸν* Λ. *ὑποφηγὸν* B. — 22. Ἐν τῇ ὥᾳ ἀπέναντι τούτων *θεοκρίτου βουκολικὸν* Λ.

Digitized by Google

Ἡμῖν δὲ τῷ πυρὶ τοῦ σοῦ πόθου κάμνουσιν ἀμήχανον τὸ δεινὸν ἕως ὁ καθ' ἡμᾶς σὺ μόνος ζέφυρος τὴν μὲν σὴν πανευδαίμονα Θεσσαλονίκην εἴης περιηχῶν, ἡμᾶς δ' οὐκέτι ζωογόνον περιπνέοις καὶ τὸ λυποῦν ἅπαν ἀναψύχοις ὡς πρότερον. 2. Εἶτα τίνας παρ' ἡμᾶς ὡς ὑπερεκκαιομένους ἡμῶν ὁ συμπαθὴς ἐλεεῖν ἔγραφες ἢ τίνα παρὰ τὰ καθ' ἡμᾶς πυρφόρα ἐκάλεις κλίματα ὡς τοῦ κατὰ Θεσσαλονίκης καυματωδέστερα; 3. Ἡμεῖς τοι κἂν διατακέντες ἐλύθημεν, κἂν ἐς τέφραν ἀπηθαλώθημεν, εἰ μὴ γραμμάτων αὔραις ἐζώγρεις ἐκλείποντας. Τί μοι καὶ γὰρ εἰ λαμπρὸν μὲν ἀπαρχτίαν ὁ Εὔξεινος κατάγει καὶ τὸ περιέχον περιψύχει, πῦρ δ' ἄλλο ὑπονέμεται τὰ σπλάγχνα θερμότερον διὰ τὸ τῆς σῆς ἀγιωσύνης ἀπόδημον; 4. Μή μοι διαπιστήσῃς. Εἴ ποτε βουλοίμην κενῶσαι τῆς ψυχῆς τὸ λυποῦμενον, ἤδη γεγονὸς ὑπέραντλον, ἢ τῶν ἀναγνωσμάτων ὅσα προίσταταί μοι πρὸς ἐπιστατικώτερον ἀνακοινώσασθαι νοῦν ἢ πυθέσθαι τι ἢ ξυμβουλεύσασθαι καὶ ὧδε κἀκεῖσε τῇ διανοίᾳ περιβλεψάμενος οὐδένα ὁρῶ, παρὰ χρῆμα ἐς τὸν μέγαν τῶν Θεσσαλονικέων ποιμένα ὑπὸ τῆς μνήμης ἀνάγομαι καὶ στένων ἀνακαλοῦμαι τὸν κατὰ πνεῦμα πατέρα, τὸν καθηγητὴν, τὸν παρήγορον, τὸν ἀγαθὸν σύμβουλον, τὸν ἐς ἅπαν ἐφ' ὅτῳ ἄν τις δέοιτο ἱκανώτατον· καὶ ἐπὶ τούτοις στεναγμοῦ καπνὸς ἐκ τῶν στέρνων ἀναθρώσκει καὶ τὸ ὑποτυφόμενον ἔνδον ὑποσημαίνει πῦρ, ὅπερ ὡς διά τινων σβεστηρίων ὀργάνων τῶν σῶν γραμμάτων ὑπολήγει μὲν, ἀλλ' οὐ καὶ παρ' ἅπαν ἀποσβέννυται. 5. Ὦ γραμμάτων ἃ διὰ τὸ συνεχῶς ἄλλα ἐπ' ἄλλοις ἁρμόττεσθαι καὶ συντίθεσθαι βαθμῖδας οὐκ ἀκόμψως θείη τις

1. *περὶ* E. — 4. *πράτερον* E. — 6. *παρὰ καθ'* B. *ἡμὰς* E. — 8. *κἀ'ν* A. — 9. *Ὅμοι. Καὶ γὰρ* TEM. — 10. *μὲν* λείπει ATEM. — 12. *σῆς* λείπει BTEM. — 14. *ὑπεραντλῶν* TEM. *ἀναγνωσμέτον* TEM. —15. *μοι αι πρὸς* B. *προς* E. — 16. *περικλεψάμενος* TEM. — 17. *ὁρῶν* B. *παραχρῆμα* Π. — 18. *τῆς ποίμνης* ATEM. — 20. *τὸν ἅπαν* B. — 22. *ἀναθρώσκων* Π. *ὑποσημαίνων* Π. — 24. *παράπαν* Π. — 26. *βαθμίδας* Π. *τίς* B.

www.ibtpdf.com.cn

Digitized by Google

ἂν, δι' ὧν πρὸς τοὺς χθονίους ἡμᾶς κατιέναι προνοητικῶς οὐκ ὀκνεῖς ὁ τὰς ἀναγωγὰς τῶν ἀρετῶν πάλαι καὶ νῦν ἀνερχόμενος· ὡς ἐντεῦθεν, εἰ καὶ μὴ τῷ χορῷ τῶν ἀγγέλων ἐντάττεσθαι, παρ' ἀγγέλους γοῦν οὐδὲν ἧ βραχύ τι ἐλαττοῦσθαι καὶ σὲ, ἅτε τὴν αὐτὴν ἐκείνοις ἀναβαίνοντα καὶ καταβαίνοντα κλίμακα. 6. Ἐγὼ δὲ ὁ δύσελπις ἀεὶ ᾤμην τῶν τῆς Προνοίας πανδερκῶν βλεφάρων ἔξω που πίπτειν, οὐκ εἰδὼς ὡς ἀγγέλῳ τοιῷδε πεπίστευμαι, ᾧ τὰ κατ' ἐμὲ θαυμασίως οἰκονομοῦνται. Οὐκ ἀπέχρησε τὰ τῆς προτέρας προμηθείας φιλότιμα, τὸ περὶ λόγους φῶς, ἡ κατ' οἶκον εἰσοίκησις, ἡ κατὰ πνεῦμα εἰσποίησις, ὁ πορισμὸς ὁπόσων ἐνδεὴς ἐγὼ ἄνθρωπος. Οὐκ ἀπέχρησε ταῦτα, ἀλλ' ἔτι, μὴ τοπικῷ ἡ χρονικῷ διαστήματι διειργόμενος, τὴν ἡμῶν θάλπει μνήμην καὶ τῆς περὶ ἡμᾶς ἐπιστροφῆς ἐμπυρεύει ἄσβεστον ἔναυσμα. 7. Ὦ νοῦς πανδεχὴς, ὦ δέλτος ψυχῆς μνήμονος, βιβλίον ἀτεχνῶς θεοῦ, ἐν ᾧ μυρίοι γεγράμμεθα. Ἀλλὰ διατηρηθείη τὸ τῶν Θεσσαλονικέων εὐφεγγέστατον φῶς ἄσβεστον, ὡς ὑπὸ λοιπῷ τούτῳ πυρσῷ κατὰ τὴν τοῦ βίου νυκτομαχίαν λαμπώμεθα.

ε'. Τῷ Αὐτωρειανῷ κυρῷ Μιχαήλ.

1. Ὁ μὲν ἐμὸς ἀδελφὸς, ἤδη δὲ καὶ σὸς, εἴπερ καὶ ἐγὼ σὸς, ἰδοὺ φροῦδος τὴν εὐθὺ Παφλαγόνων στελλόμενος. Τοῦτο γάρ που φίλον θεῷ. Ἵνα τί δὲ καὶ σὺ τοσοῦτόν με ἀπεκρύψω χρόνον, ἀδελφικὴ κεφαλή; Ἢ καὶ τοῦτο Προνοίας ἐξῆπται τῆς ἄνωθεν; Εἰ τοῦτο, στέργοιμ' ἄν, ὀλίγα δ' ὧν ἥμαρτον μεμαστίγωμαι. 2. Ἀλλ' εἰ μὲν ὄχλος πραγμάτων ἐπεισπεσὼν ἀπείργει σε τῆς πρὸς ἡμᾶς ὁδοῦ, οὕπω δεινὸν, ‖ καίπερ ὂν ἀργα-

1. *τοὺς* λείπει ΤΕΜ. — 2. *ἀναγωγοὺς* ΛΤΕΜ. —8. *τοιῴδε* Ε. —10. *ἡσοίκησις* Λ.

ε'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν τῷ λαυρεντιακῷ κώδικι, φ. 2,6-3,α, τῷ βαροκκικῷ, φ. 108,α καὶ τῷ ἐσκουριαλείῳ, φ. 87,6. Τίτλος. *Τῷ αὐτῷ Ῥαγαρῷ* Ε. — 21. *ἴσατί* Β. *τοσοῦτον* ΑΒ.— 25. ‖ Κώδ. 3,α.

Digitized by Google

λέον ἐμοί. Εἰ δ' ὡς νεκρὸς ἐπελήσθην ἀπὸ καρδίας, πῶς ἂν παραστήσω ὅσα δέδηγμαι τὴν ἐμαυτοῦ καρδίαν; ἐξ εἰκόνος δὲ ὅμως ὑπογραπτέον τὸ ἄλγος ὡς οἷόν τε. Ἐξεκόπη τις θάτερον τῶν ὀφθαλμῶν, εἶτα, ἐπὶ τῷ λειπομένῳ τὰς ἐλπίδας σαλεύων, καὶ τοῦτον ἐκκεκόφθαι κεκινδύνευκε. Πότερον εἴη ὀδυνηρότερον; ἢ που τὸ δεύτερον. Ἐκεῖνος οὗτος ἐγώ. Οὓς δέ φημι ὀφθαλμοὺς, πάντως ὁρᾷς. Εἰ γὰρ καὶ μηδεὶς ὀφθαλμὸς ἑαυτὸν ὁρᾷ, σὺ δ' ὅμως ὁρᾷς σεαυτὸν προσέτι καὶ θάτερον. Ὑγιαίνοις, φίλτατε ἀδελφῶν ἐμοὶ καὶ φιλαδελφότατε.

www.libtool.com.cn

ς'. Τῷ Θεσσαλονίκης κυρῷ Εὐσταθίῳ.

1. Ὑψώσω σε, θειότατε δέσποτα, ὅτι ὑπέλαβές με· εἴτε τοῦτό ἐστι τὸ ὑπολαβεῖν, περιτρεπόμενον ἤδη τινὰ μεγάλαις χερσὶν ὑποδέξασθαι καὶ ἀπεῖρξαι τοῦ πτώματος, εἴτε ὑποκουφίσαι καταδυόμενον, ὡς εἴ τις ἀθαλάττωτον παῖδα καὶ τοῦ νήχεσθαι ἀρτιμαθῆ, τὰς χεῖρας ὑποβαλὼν, μετεωρίζοι καὶ οὐκ ἐᾷη πίπτειν ὑπόβρυχα. Ἔγωγε γὰρ κἂν ἀνετετράμμην σκοτοδινιάσας ἐκ τῆς ἀστάτου τῶν πραγμάτων περιστροβήσεως, κἂν ὕδωρ ὀλιγοπιστίας ἐξέπιον ἁλμυρὸν, οὐχ οἷός τε ὢν οὐδὲ ταῖς τοῦ βίου ἀκταῖς ἐπινήχεσθαι. 2. Ἀλλὰ σὺ, ὦ θεῖον καὶ κοινὸν ἀγαθὸν, ὦ φωσφόρον ὄμμα Χριστοῦ, ὡς εἶδες, ὡς ἔγνως οὕτως ἔχοντα, οἷα χεῖρα γενναίαν καλὸν γράμμα ἐπώρεξας.

1. *ἀπελήσθην* B. — 3. *οἷον* AB. *τίς* B.

ς'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν τῷ λαυρεντιακῷ κώδικι, φ. 3,α, ἐν τῷ βαροκκικῷ, φ. 108,α-108,δ καὶ ἐν τῷ ἐσκουριαλείῳ, φ. 87,α. Ἐξεδόθη δὲ ὑπὸ Tafel ἔνθ' ἀν. σελ. 356 κ. ἑ. (T) καὶ κατ' αὐτὸν ὑπὸ Ellissen, ἔνθ' ἀν. σελ. 64-66 (E) καὶ Migne, ἔνθ' ἀν. σελ. 331 (M). Τὴν συμφωνίαν πάντων τῶν κωδίκων, ἐκτὸς τοῦ ἐσκουριαλείου ὃν δὲν παρέβαλον, καὶ τῶν ἐκδόσεων ἔν τινι κακῇ γραφῇ ἐδήλωσα διὰ τοῦ Π.

14. *ὑπολαβὼν μετεωρίζει* Π. — 15. *κἂν* B. *ἀνατέτραμμαι* Π. *σκοτοδϊμιάσας* B. — 17. *κἂν* B. *ἁλμυρὸν* B. *οὐχ'* AB. *οἷος* B. — 20. *ὑπώρεξας* AB.

Digitized by Google

Καὶ παρὰ χρῆμα ὄρθιος ὁ πίπτων καὶ ὁ μικροῦ καταδὺς τῶν κυμάτων κατωρχήσατο. 3. Καὶ τὸ μὲν κρήδεμνον τῆς Ἰνοῦς οὐκ οἶδα ὅ τι ποτὲ τῷ τλήμονι Ὀδυσσεῖ συνεισήνεγκεν, ὅτε θαλαττομοχθοῦντι τοῖς στέρνοις αὐτὸ ὑπετείνετο. Τό γε μὴν σὸν γράμμα, ὃ ἐν τοῖς στέρνοις φέρω, τὸ πᾶν ἡμῖν καὶ τὸ ὅλον τῆς σωτηρίας εἴργασται, καὶ ταῦτα, ὅτε οὐκ ἦν ἡμῖν ἐλπὶς τοιοῦδε καλοῦ, τὸ ἄσχολον εἰδόσι τῆς σῆς ἁγιότητος· ὡς μᾶλλον ἂν ἐπεπείσμην τὸν αἰθιοπικὸν τουτονὶ γραμματοκομιστὴν εἰς λευκόχρωτα μεταβαλεῖν ἢ γράμμα τῆς ἱερωτάτης σου ψυχῆς μετὰ χεῖρας ἄρτι λαβεῖν, ὃν πάνυ καταλλήλως εἰς Μωσῆν ἐξεδέξω, διὰ τὸ οἷον ἐκ γνόφου κατέρχεσθαι ὅλον ὑπόζοφον. 4. Ἐγὼ δὲ καὶ τὸ ἑπόμενον συλλογίζομαι, ὅτι καὶ ὡς ἐκ θεοῦ πλάκας κομίζει τὰ παρὰ σοῦ γράμματα. Μή ποτε δὲ, ὦ δέσποτα, καὶ βάτῳ καιομένῃ που ὀρειβατῶν ἐντετύχηκεν, εἶτ' οὐκ ἐνόησεν ἀποστρέψαι τὰς ὄψεις καὶ παρὰ τοῦτο τὸ πρόσωπον κατησβόλωτο; Ἀλλ' ὁ μὲν, ἕως ἡμῖν γραμματοφορεῖ καὶ μηνύει λευκὰς περὶ σοῦ ἀγγελίας, καὶ εἰς ἄγγελον φωτὸς καὶ ἡμέρας τετάξεται, κἂν ἐπιδερμίδι σαρκὸς μελαίνης σκιάζηται. Σὺ δὲ εἴης ἀεὶ πίπτοντας ἔξω τοῦ καλοῦ ἐπανάγων διδασκαλικῶς ἅμα καὶ πατρικῶς. 5. Τὸ ἐπιτείχισμα τοῦ δεινοῦ καὶ δυσκόλου γείτονος τῷ τέως μὲν εἰς κενὸν ἔσχασε καὶ μυρίαι κορῶναι αὐτῷ ἐπικρώζουσιν. Εἰ δ' ἐπιτεκτήναιτό τι καὶ ἔτι, οὐκ οἶδα. Ἐταλάνισα, μὰ τὴν σὴν σοφίαν, τὸ σαπρὸν γερόντιον, οἷς, σοροπηγεῖν ἑαυτῷ λαθόμενον, ἐποικοδομεῖν κατὰ τῶν γειτονούντων ἐπεβάλετο μέγαρα ἠνεμόεντα ἄλλως, οἷς ἀνεμιαῖα ἠλέγχθησαν καὶ ὡς αὖραι λυθέντα διεφυσήθησαν. 6. Τοῦ περὶ νησταίας λόγου οὔπω γεγεύμεθα, τῆς δὲ μονῳδίας τοσοῦτον, ὅσον εἰ καὶ τράπεζαν παραφέρων τις, ὄψων πολλῶν καὶ καλῶν γέμουσαν, πρὶν ἢ

1. *παραχρῆμα* Π. — 2. *κατωχρήσατο* Ε. — 8. *γραμματοκομιστὶν* Ε. — 9. *λευκοχρῶτα* Π. — 11. *διατὸ* Β. — 13. *πλακας* Β. — 15. *παρατοῦτο* Β. — 16. *κατησβόλοτο* Β. — 19. *σκιάζεται* ΤΕΜ. *σύ δε* Β. *εἴη* Λ. *πίποντας* Β. — 21. *τωτέως* Π. — 24. *οἷς* (?) Ε. — 25. *ἐποίκοδομεῖν* Β. — 29. *πριὶ* Π.

Digitized by Google

καὶ χεῖρας ἐπιβαλεῖν εὐθὺς ἥρπασε, τὸν δαιτυμόνα ἀφεὶς ἐπιχαίνοντα καὶ μόνῃ τῇ ὄψει ἀνιαρῶς παραψαύσαντα. Δοίη σοι θεὸς ζωὴν μακροχρόνιον.

www.hbtool.com.cn

ζ'. Πρὸς τὸν αὐτὸν Θεσσαλονίκης.

1. Ὁ δ' αὖ πάλιν ἔμφορτος πολλοῦ γραμμάτων καπνοῦ, τάχ' ἂν πρὸς τὸν γραμματοκομιστὴν || τὸν παρόντα κομψεύσαιο· καὶ μάλ' ἀληθῶς. Οὐδὲν γὰρ τὰ ἡμέτερα ταῦτα ἢ καπνὸς, τεκμήριον μόνον τοῦ παρ' ἡμῖν ἀσβέστους ὑποκάεσθαι ἔτι τοὺς σοὺς θερμοὺς ἔρωτας, τὰ δέ γε ἄλλα εἰς ἀέρα σκιδνάμενος καὶ λυόμενος. Εἰ δέ σοι καὶ φίλτατος, ὅτι τῆς λόγῳ σε θρεψαμένης ἀποθρώσκει, τοῦτο λέγοις μὲν αὐτὸς, ἀκούοιμεν δὲ ἡμεῖς. Πλὴν καὶ οὕτω καπνὸς, καὶ παρὰ τοῦτο, οἶμαι, καὶ ὁ κομίζων καπνηρὸς ὅλος καὶ γρηὶ καμινοῖ ἴσος. 2. Ἀλλ' ὁ τοιόσδε καὶ ὢν καὶ ἥκων ἐνθένδε στιλπνὸς ἡμῖν ἐπανήκοι, πῶς εἴποις; καὶ ἰδεῖν ἥδιστος καὶ φαιδρὸς λάμποντι προσώπῳ ἐκ τῆς σῆς δήπουθεν αὐτοπτήσεως καὶ τοῦ κεστοῦ τῶν γραμμάτων σου, ἐπισχεδιάζοντος αὐτῷ τὸ ἐπίχαρι· ὃς καὶ τῇ σῇ ἁγιότητι αὖθις ἀναγγελεῖ τὰ καθ' ἡμᾶς ὅπως ἔχουσιν. Ἵλεως εἴη μοι θεὸς διὰ τῶν σῶν ἱερωτάτων ἐντεύξεων.

ζ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν τῷ λαυρεντιακῷ κώδικι, φ. 3,α-3,β, τῷ βαροκκικῷ φ, 108,β καὶ τῷ ἐσκουριαλείῳ, φ. 87,β. Ἐδημοσιεύθη δὲ ὑπὸ Tafel, ἔνθ' ἀν. σελ. 358 κ. (T) καὶ κατ' αὐτὸν ὑπὸ Ellissen, ἔνθ' ἀν. σελ. 67-68 (E) καὶ Migne, ἔνθ' ἀν. σελ. 333 (M). Τὸ Π = ΑΒΤΕΜ.

Τίτλος. *Τῷ αὐτῷ.* Ἔσκ. — 4. *πολλῶν* ΑΒ. — 5. *γραμματοκομίστην* Ε. || Κωδ. 3,β. — 8. *δὲ γε* Ε. — 12. *ἴσος* ΑΤΚΜ. *ἴσος* κατὰ διόρθωσιν ἐκ τοῦ τὸ πρῶτον γραφέντος *ἴσως* Β. — 13. *ἐνθέδεν* Β. — 18. *σῶν ἁγίων καὶ ἱερωτάτων* Β.

Digitized by Google

η΄. Τῷ Αὐτωρειανῷ κῦρ Μιχαήλ.

www.libtool.com.cn

1. Ἀθήνηθεν τὸ γράμμα, ἀλλ' οὐ παρὰ τοῦτο περισσότερον καὶ σοφώτερον, ἀγαπητὸν δὲ μᾶλλον εἰ μὴ καὶ λίαν ἀγροικικώτερον. Οὕτως οὐ μόνον οὐκ ἐπιδέδωκέ μοι τὰ τοῦ λόγου, εἰς τὴν μητέρα τῶν σοφῶν μεταναστεύσαντι, ἀλλὰ κἀπὶ τὸ χεῖρον προχωρεῖν κεκινδύνευκεν, ὅτι τοσοῦτον σπανίζει οὐ λέγω φιλοσόφων ἀνδρῶν, ἀλλ' ἤδη καὶ βαναύσων αὐτῶν, ὡς δοκεῖν τὴν παλαιὰν ἐκείνην Ἱερουσαλὴμ πεπολιορκημένην παρὰ τῶν Βαβυλωνίων καὶ καθῃρημένην φαντάζεσθαι, ἐμὲ δὲ αὐτὸν ἄλλον Ἱερεμίαν λογίζεσθαι, τείχη κατεσκαμμένα καὶ λεωφόρους ἐρήμους ὁρῶντα καὶ δακρύων ποιούμενον πρόφασιν. Τοὺς δὲ περιλειπομένους, γύναια καὶ παιδάρια καὶ τὴν ἔξωρον ἡλικίαν μετὰ τῶν ἐν ἡλικίᾳ κομιδῇ εὐαριθμήτων, οὐδὲ τούτους γοῦν μικρὸν παραμύθιον ἔχοντας, ὅτι μὴ καὶ προσθήκην τοῦ πένθους μεγίστην, παρὰ τοσοῦτον οὐκ ἐπίπαν ὁρωμένους γυμνοὺς ἅπαντας παρ' ὅσον ῥάκιά τινα παλαιὰ καὶ σαπρὰ ὅσα θέμις αὐτοῖς κρύπτεσθαι οὐκ ἀκριβῶς οὐδ' αὐτὰ κρύπτουσι, παρὰ τοσοῦτον δὲ λιμῷ θανεῖν ἀντιβαίνοντας παρ' ὅσον ὁ κρίθινος ἄρτος συνέχει τὰ λιμηρὰ τῶν ταλαιπώρων ψυχάρια, οὐκ εἰς κόρον τρέφων, ἀλλ' ὅσον μὴ τὸν ἀναγκαῖον διερρωγέναι δεσμὸν τῆς φύσεως, ὡς οἵ γε κριθοφαγοῦντες ἐς κόρον εὐδαίμονες οὗτοι καὶ πίονες τῆς γῆς ταύτης· ἵνα μὴ λέγω τοὺς ἐσθίοντας στέαρ πυροῦ, δύο που ἢ καὶ τρεῖς, ἀλλὰ πτωχικοῖς καὶ τοῦτο μεμαγμένον αἵμασιν. Οἷς κρεῖττον ἦν κατὰ τὸν ὄφιν γῆν ἐσθίειν διὰ βίου παντὸς ἢ τὸν λαὸν Κυρίου ἐσθίειν ἐν βρώσει ἄρτου καὶ τὸν θεὸν μὴ ἐπικαλεῖσθαι, ὡς

η΄. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν τῷ λαυρεντιακῷ κώδικι, φ. 32,6-33,α καὶ τῷ βαροκκικῷ, φ. 162,6.

2. *ἀγαπητόν δε* Β. — 4. *εἰς* κατὰ διόρθωσιν τοῦ τὸ πρῶτον γραφέντος *ἐς* Β. — 5. *οὐ μόνον φιλοσόφων* Β. — 7. *πολιορκημένην* Λ. — 13. *ἔχοντα* Β. — 15. *παρόσον* ΑΒ. — 16. *κρύπτεται* Β. — 17. *παρόσον* ΑΒ.

Digitized by Google

εἶναι τοὺς μὲν πενεστέρους ἐλεεινοὺς, τοὺς δ' εὐπορωτέρους μισητοὺς, ὅ ἐστιν ἅπαντας δυστυχεῖς.

www.libtool.com.cn

2. Ἐγὼ μὲν οὖν ὁ μάταιος ᾠμην, ὡς εἰ μὴ καὶ Δημοσθένους ζηλωτὰς τοὺς ἐκείνου πολίτας εὕροιμι, ἀλλά γε τοῦ κριθίνου Δημοσθένους πάντως, οἶδας δήπου τὸν Δείναρχον. Οἱ δὲ οὐ μόνον λιμὸν τοῦ ἀκοῦσαι λόγον, ἀλλὰ καὶ λιμὸν ἄρτου κριθίνου δυστυχοῦσιν οἱ τλήμονες. 3. Ἦν δὲ ἄρα κἀκεῖνο τοῦ Ἐκκλησιαστοῦ σοφὸν «γενεὰ πορεύεται καὶ γενεὰ ἔρχεται, ἡ δὲ γῆ εἰς τὸν αἰῶνα ἕστηκεν.» Ἡ μὲν γὰρ χάρις τῆς γῆς ἡ αὐτὴ, τὸ εὐκραὲς, τὸ ὀπωροφόρον, τὸ παμφόρον, ὁ μελιχρὸς Ὑμηττὸς, ὁ εὐγάληνος Πειραιεὺς, ἡ μυστηριώδης Ἐλευσὶς ἦν ὅτε, ἡ τῶν Μαραθωνομάχων ἱππήλατος πεδιὰς ‖ ἥ τε Ἀκρόπολις αὕτη, ἐφ' ἧς ἐγὼ νῦν καθήμενος αὐτὴν δοκῶ πατεῖν τὴν ἄκραν τοῦ οὐρανοῦ· ἡ δὲ φιλόλογος ἐκείνη γενεὰ καὶ περιττὴ τὴν σοφίαν οἴχεται, ἐπεισῆλθε δὲ ἡ ἄμουσος, πτωχὴ τὸν νοῦν, πτωχὴ τὸ σῶμα, κούφη μεταναστεῦσαι καὶ ἄλλοτε ἄλλης ἐπιβῆναι τροφὴν μαστεύουσα, κἀκεῖθεν αὖθις ἀναπτῆναι κατὰ τοὺς ἀβεβαίους καὶ πλάνητας ὄρνιθας.

4. Κἀντεῦθεν ἡ μεγάλη πόλις ἐρείπιον μέγα καὶ ἄλλως θρυλούμενον. Ἐξέλιπε καὶ φυσητὴρ, οὐ σιδηρεὺς παρ' ἡμῖν, οὐ χαλκεὺς, οὐ μαχαιροποιὸς, ταῦτα δὴ τὰ χθὲς καὶ πρὸ τρίτης ἔτι σωζόμενα. Εἶδες τῷ λόγῳ τὴν τοῦ ἡμετέρου λάχους κατάστασιν· ἔμαθες τὴν κληρονομίαν ἡμῶν, τὴν κρατίστην οὐκ οἶδ' ὅτε, νῦν δ' ἔχουσαν εὖτως ὡς ἀπαγγελλόντων ἡμῶν ἤκουσας. 5. Στέργω μέντοι ταύτην ὡς παρὰ θεοῦ τε πιστεύων δέξασθαι καὶ ὡς πάλαι πρὸς ἅπαν τοιοῦτον ταραχῶδες καὶ θυμαλγὲς ἑτοιμαζόμενος, θαρρῶν δὲ καὶ ἄλλως ἐπὶ ταῖς τῶν φιλούντων ὑμῶν προσευχαῖς, ὧν ἡ στέρησις πείθει τῶν ἄλλων ἀνιαρῶν ἐπιλανθάνεσθαι. Φεῦ, φεῦ· ἆρα προσθήσω

10. *ὀπωροφόρον* B. *πάμφορον* AB. — 11. *πῦραιεὺς* B. *μυστηριω* τῆς λέξεως μενούσης ἀτελοῦς καὶ ὑπάρχοντος λευκοῦ χώρου ὡσεὶ διὰ γράμματα ὀκτὼ B. — 12. *ἱππήλατος* B. ‖ Κώδ. 33,α. — 14. *φιλολόγος* B. — 19. *θρυλλούμενον* AB. — 20. *φυσητὴρ* B. — 22. *λόγω τοῦ* B. — 23. *κληρονομιὰν* B. — 25. *τὲ* AB.

τοῦ ἐπιβλέψαι με πρὸς τὸν ἅγιον τῆς τοῦ θεοῦ Σοφίας ναόν; ἆρα τὰ φίλτατα ὑμῶν ὄψομαι πρόσωπα, καὶ πότε ταῦτα; Ἐλπίδες μὲν ἐν τοῖς ζῶσί φασιν, ἀλλ' ἥ γε κατωτάτη αὕτη ἐσχατιὰ ἱκανὴ διαστῆσαι μακρότερον ἢ περ ὁ θάνατος. Ἀλλὰ τί ταῦτα φίλος μοι διελέξατο θυμὸς, θεοῦ τὰ καθ' ἡμᾶς ὡς βούλεται διεξάγοντος; ὑφ' οὗ διαφυλάττοιο ὑγιής τε καὶ εὔθυμος.

www.libtool.com.cn

θ'. Τῷ Πατριάρχῃ κῦρ Θεοδοσίῳ.

1. Τί τοῦτο πέπονθα, μακαριώτατε δέσποτα, καινόν τι πάθος καὶ ἀπ' ἐναντίας τοῖς πολλοῖς καὶ ἀλλόκοτον; Τοῖς μὲν γὰρ εὐάγγελον ποθὲν καὶ φιλικὸν γράμμα φανὲν ἡδονῆς πρόξενον γίνεται· ἐμὲ δὲ τὸ τῆς μεγάλης ἁγιωσύνης σου γράμμα, ὅσα μοι δι' εὐχῆς ἀπηγγελκὸς, ὅμως δακρύειν μᾶλλον ἢ χαίρειν παρεσκεύασεν. Ἡ γάρ τοι ἐμφαινομένη ὅλῳ τῷ γράμματι περὶ ἡμᾶς πατρικὴ διάθεσις καὶ συμπάθεια μᾶλλον πρὸς τὸ πενθεῖν προετρέπετο, ἀναλογιζομένους ἡλίκης ξυναυλίας ἀπερρωγότες ἐξετοπίσθημεν, καὶ ταῦτα ἡνίκα μετὰ καθαρᾶς ἀπραγμοσύνης ἐξῆν συμφιλοσοφεῖν τῇ θειοτάτῃ ψυχῇ καὶ τῆς ἐντεῦθεν καταπολαύειν μακαριότητος. 2. Ἥ γε μὴν ἁγία Τερέβινθος, ἡ τὸ οἰκουμενικὸν οἰκειωσαμένη καλὸν, ἡ τῆς ὑψηλῆς λυχνίας ὑψηλοτέρα καὶ φανοτέρα καθότι φῶς τοῦ κόσμου, διὰ τὴν ἑκούσιον ταπείνωσιν μᾶλλον ὑψωθὲν, ὑπεδέξατο, οὗ ποτε τῆς ἡμετέρας μνήμης ἐκπίπτουσα, δριμὺν τὸν πόθον ἐνίησιν, οὐ δι' ἃς τὸ γράμμα ἐξύμνησε χάριτας. Εἰσὶ γὰρ καὶ παρ' ἡμῖν χωρία κατάρρυτα καὶ ἀνθεινὰ καὶ πολύδενδρα καὶ περί που τὰ κράσπεδα τοῦ μελιχροῦ Ὑμηττοῦ οὐκ ἀηδῆ φροντιστήρια, τοσοῦτον ἀνακεχωρηκότα θαλάσσης ὡς

3. *ζῶσι φασὶν* ΛΒ. — 6. *ἀφ'* ΛΒ.

θ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 33,α.

9. *ἀπεναντίας.* — 22. *ἐκκύπτουσα.*

Digitized by Google

μήτε κλύζεσθαι φλοίσβῳ καὶ τὰς τῆς θαλάσσης δρέπεσθαι χάριτας, εἴτε τις ἰχθῦν ἀσπαίροντα ἔτι ποθεῖ εἴτε καὶ τὴν ὄψιν ἄλλως ἐστιᾶν βούλεται. Ἔξὸν γὰρ αὐτόθεν καθήμενον βλέπειν πέλαγος ὅσον ὀφθαλμὸς βούλεται ἢ δύναται, ἔτι δὲ καὶ τὰς ἐν αὐτῷ νήσους, ὧν καὶ παρὰ τοῖς παλαιοῖς ὀνόματα, τὴν Ψυτταλίαν, τὴν Σαλαμῖνα, τὴν Αἴγιναν καὶ ἀκτὰς καὶ πορθμοὺς καὶ λιμένας καὶ ὅρμους παντοδαποὺς καὶ πρὸ πάντων τὸν Πειραιᾶ. Εἰ δ' οὐκ ὀκνεῖ τῆς τραχείας ἐπιβῆναι τοῦ Ὑμηττοῦ ῥάχεως, ὄψεται σχεδὸν τὴν Ἀττικὴν πᾶσαν ἐκεῖθεν, ἴδῃ δὲ καὶ τὰς Κυκλάδας καὶ τὰς Σποράδας περὶ αὐτὴν ἐπικειμένας πανταχόθεν, ὥσπερ ἐν χοροῦ σχήματι. 3. Οὔκουν διὰ τοιάσδε ψυχαγωγίας μεμνήμεθα τῆς Τερεβίνθου καὶ μεμνημένοι καθήμεθα δεῦρο δακρύοντες· ἀλλ' οἷς τὸ ἀγαθὸν, οὗ μηδ' ἅπας ὁ κόσμος ἄξιος, ἐκολπώσατο καὶ ἔστιν ἀειθαλὴς οὐχ ὡς ἐλαιόφυτος, δαφνηρά τε καὶ μυρσινήεσσα, ὡς αὐχοῦσα δὲ σὲ τὸν δίκαιον ἀνθοῦντα ψαλμικῶς ὥσπερ τινὰ φοίνικα καὶ ὡς ἐλαίαν κατάκαρπον. Διὰ ταῦτα ἡ Τερέβινθος ‖ ἀοίδιμος καὶ ἐράσμιος, ὡς, εἴ γε τὸν μάργαρον ἐξῆν ὁρᾶν ἑτέρωθί που αὐτὸν καθ' αὑτὸν, μικροῦ ἂν ἠξιώθη λόγου τὸ κέλυφος. Ἴλεως γένοιτό μοι θεὸς διὰ τῶν ἱερωτάτων σου προσευχῶν.

ε'. Τῷ Φουρνεταρέῳ κῦρ Θεογνώστῳ.

1. Οἶδα ὡς εἴ τις μέμνηταί μου, μέμνησαί μου καὶ σὺ, τιμία κεφαλή· οἶδα δὲ τοῦτο ἀπὸ τῶν ἐμῶν παραμετρῶν καὶ τὸ σόν. Οὐκ ἐκπίπτει γάρ ποτε τῆς ἡμετέρας μνήμης ὁ καλὸς Φουρνιτάριος. Ἐπεί μοι τὰ τῶν σῶν ἀρετῶν οἷον ἐγκέκαυται εἰς δέλτον φρενὸς μνήμονα καὶ οὐκ ἂν λαθοίμην ἐμπει-

6 α γ

2. *εἴτέ τις*.— 9. *τὴν ἀττικὴν σχεδὸν πᾶσαν*.— 12. *τοιάσδε* ἐκ διορθώσεως τοῦ τὸ πρῶτον γραφέντος *τοιᾶσδε*. — 13. *μήδ'*. — 14. *οὐχ'*. — 15. *δέ σε*. —16. *ὥσπέρ τινα*. —17. ‖ Κώδ. 33,6.

ε'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 33,6.

www.tibtool.com.cn

Digitized by Google

ρίας ἐκείνης καὶ φρονήσεως καὶ φιλίας ἀδόλου καὶ χρηστοήθους ψυχῆς καὶ τῷ ὄντι χριστιανικῆς καὶ μᾶλλον ἐνταῦθα ἔνθα ὀλίγον μὲν τὸ χρηστόν ἐστιν, ἄφθονον δὲ τοὐναντίον. Ἀμέλει καὶ μὴ εὑρίσκων οἵους ἄνδρας ποθῶ, φαντάζομαι οἵους ἀπώλεσα καὶ πολὺ πλεῖον ἐρασμιωτέρους καὶ θαυμασιωτέρους νομίζω νῦν ἢ πρότερον, ἐκ τῶν ὑπεναντίως διακειμένων καταλαμβάνων, οἶμαι, τὴν αὐτῶν ἀρετὴν ἀκριβέστερον καὶ τοσοῦτον τὴν ἀρχαίαν γλυκυθυμίαν ἀνακαλούμενος ὅσον τοῖς παροῦσι πικραίνομαι, ὡς τὰ εὔυδρα τῶν χωρίων φαντάζονται οἱ τοῖς ἀνύδροις που ἐνισχόμενοι. 2. Εἶτα ζητήσεις τὰ ἐπὶ τούτοις μαθεῖν; Οὐκ ἂν οἶμαι. Οἶδας γὰρ οὐχ ἧττον ἑτέρου σοφοῦ, ὅτι φιλεῖ τὰ πάντα τῷ ἀνθρώπῳ συνδιατίθεσθαι, ἅτε καὶ τὴν ἀρχὴν δι' αὐτὸν γενόμενα. Κακύνεται ἄνθρωπος καὶ παρὰ χρῆμα εἰς ἅλμην ἡ καρποφόρος μετέβαλε καὶ ὁ ὑπὲρ κεφαλῆς ἀὴρ χαλκοῦς καὶ ἰσχὺς ἐπιλείπει ἄρτου καὶ ὕδατος καὶ θηρίων ὀδόντες ἐπαποστέλλονται καὶ ὄφεις πετόμενοι ἐπαφίενται, οἳ οὔτε φείδονται καταπίνειν ἀνθρώπους οὔτε κορέννυνται καταπίνοντες. Ἀγαθύνεται πάλιν ἄνθρωπος καὶ πάλιν οὐρανὸς καινὸς καὶ κατάρρυτος ἔρημος καὶ τὸ ἐπηρεάζον οὐδὲν, τοῦ θεοῦ τοῖς ἀγαθοῖς καὶ τοῖς εὐθέσιν ἀγαθύνοντος. Ἐπεὶ οὖν ἕπεται τῇ κατὰ τὸν ἄνθρωπον διαθέσει τὰ λοιπὰ, ἔφθη δὲ ὁ λόγος γνωρίσαι σοι ὅπως οἱ ἐνταῦθα διάκεινται, ἤδη καὶ τὰ ἑπόμενα πάντως μεμάθηκας.

3. Ὁ ἁγιώτατος δεσπότης προσκυνηθήτω, προσειρήσθω καὶ ὁ κάλλιστος ἐν φίλοις Βραχίων, ᾧ γράψαι πολλάκις ἐπιχειρήσας οὐδ' ἅπαξ ἔγραψα, εἰδὼς αὐτὸν τὰ πάντα λαμπρὸν καὶ μεγαλοπρεπῆ καὶ ὑπέρσεμνον καὶ τὸ ὅλον βραχίονα ὑψηλὸν καὶ ὑπεροφόμενον καὶ οὐδ' ὑπαναγνώσοντα τυχὸν τὸ παρ' ἡμῶν γράμμα, εἰ μὴ καὶ πρὶν ἢ λῦσαι τὸν δεσμὸν ὀγκῶδες καὶ παχυλὸν φαίνοιτο· ἅπαν γὰρ τὸ κομπηρὸν καὶ κολπῶδες ἠγάπησεν. Ἐγὼ δὲ οὐκ ἄγω σχολὴν φιλότιμα στέλλειν καὶ

3. *χρηστὸν ἐστὶν*. — 11. *οὐχ' ὡς σχεδὸν πάντοτε ἐν τούτῳ τῷ κώδικι, δι' ὃ καὶ δὲν σημειῶ αὐτὸ τὸ ἑξῆς*. — 14. *παραχρῆμα*. — 29. *πρικὴ*. — 30. *παχυλὸν*.

www.libtool.com.cn

Digitized by Google

περιττὰ καὶ τοιᾶσδε ἀκοῆς ἄξια. Συγγνώσεται οὖν τῷ τέως μὴ ἐπιστέλλοντι· σοφὸς γὰρ ὢν τά τε ἄλλα καὶ δὴ τὰ πολιτικά, οὐκ ἀγνοεῖ πῶς τὰ τῶν Ἀθηναίων ἄρτι νοσεῖ καὶ πῶς ὁ τούτους λαχὼν ὀδυνᾶται, οὐχ ἡδὺς ὢν καὶ ἄλλως ἀνάλγητος, ἀλλὰ καὶ λίαν ὑπ' εὐαισθήτου καρδίας δαπανώμενος.

4. Ὑπερεύχεσθε τοίνυν ἡμῶν, ὦ μακάριοι, καὶ γράμμασιν ἀναψύχετε. Σφόδρα γὰρ φλεγόμεθα οὐ τῷ χωρισμῷ μόνον ὑμῶν, ἀλλὰ καὶ τῇ ἀνελπιστίᾳ τοῦ συνελθεῖν ποτε. Τό τε γὰρ μεταξὺ ἐμοῦ καὶ ὑμῶν χάσμα μέγα ἐστήρικται καὶ θάνατος προθεσμίαν οὐκ ἐπαγγέλλεται. Ὅμως φερέσθω τὰ καθ' ἡμᾶς ὅπη τὸ φέρον βούλεται καὶ ἀπολάβοιμεν ἀλλήλους εἰ μὴ ἐνταῦθα, ἐκεῖ γοῦν ὅπου τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτὸ τοσοῦτον τερπνότερον ὅσον τὸ διεστάναι ὀδυνηρότερον.

ια'. Τῷ Τεσσαρακονταπήχει κῦρ Γεωργίῳ.

1. Ὦμοι ἐγώ· τί ποτε ἄλλοτε μὲν ἄλλοι συνήθεις συχνοῖς ἡμᾶς δεξιοῦνται τοῖς γράμμασι καὶ μόνον οὐκ ἐκλείποντας ἀναψύχουσιν, ὁ δὲ τῶν φίλων ὁμόψυχος, ἑνὸς ἀξιώσας καὶ μόνου γράμματος, εἶτα τοῦ λοιποῦ μακρὰν ἀπροσηγορίαν κατεψηφίσατο; Πότερον ὑπὲρ ἀνθρωπίνην μοῖραν || ἀρθεὶς καὶ αὐτὸς τῶν προσγειοτέρων καὶ χαμαὶ ἐρχομένων ἐλάθετο ἢ φιλοσοφίᾳ προσανέχων ἔτι μᾶλλον ἀεροβατεῖ καὶ περιφρονεῖ τοὺς καθ' ἡμᾶς ὡς φυγάδας τοῦ τῶν φιλολόγων θιάσου καὶ μηκέτι τῷ κύκλῳ τῶν μακαρίων ἐγγραφομένους ἀνδρῶν;

2. Ἀλλ' ὁρᾷς, ὦ γενναῖε, ὅπως οὐδ' αὐτοὶ οἴδαμεν τοῦτο, ποίοις ἀνακτόροις ἐμπεριπατεῖς, ἄρα τοῖς τῶν βασιλείων ἢ τοῖς τῶν Μουσῶν, ἄλλως δὲ οὕτω καταμαντευόμεθά σου ἀμφιγνοοῦντες. Ὅταν μὲν γὰρ τὸ γένος ἀναλογισώμεθα ἡλίκον τῆς ψυχῆς καὶ τοῦ σώματος καὶ τὸ εὐφυὲς ὁποῖον καὶ ὡς

4. *ἄλλος*.—8. *ποτὲ*. — 12. *ἐπιτοαυτὸ*. — 13. *τοῦ διεστάναι*.
ια'. Περιέχεται ἐν τῷ λαυρεντιακῷ κώδικι, φ. 33,6-34,α.
18. *ὑπ' ἀνθρωπίνης ἡμέρας*. || Κώδ. 34,α. Π.— 25. *οὕτως*.

Digitized by Google

οὐκ ἀπᾷδον ἀνδρὶ πολιτικῷ καὶ φοροῦντι τὰ μαλακὰ, ἐν τοῖς οἴκοις τῶν βασιλείων διατρίβειν σε στοχαζόμεθα. Ὅταν δὲ αὖθις ἐν θυμῷ βαλώμεθα ὅπως ἐρωτικῶς περὶ τὰς βίβλους εἴχες καὶ ὡς κατάκρας ἑάλως φιλοσοφίας, οὐ πειθόμεθα ῥᾳδίως μεταβεβληκέναι σε τὸν θεωρητὴν καὶ σχολαστὴν βίον εἰς τὸν πολιτικόν τε καὶ ἔμπρακτον. Ὅπως δ' ἂν βιῴης, ἐρρωμένος διατελοίοις ψυχῇ τε καὶ σώματι καὶ μὴ κατοκνοίης Ἀθήναζε στέλλειν γράμματα.

www.ibtool.com.cn

ιϛ'. Τῷ αὐτῷ Τεσσαρακονταπήχει (ς).

1. Οὐ μόνον δεύτερον ἐχαράξαμέν σοι γράμμα, τριπόθητε κεφαλὴ, ἀλλ' ἤδη καὶ τρίτον, οἶμαι, καὶ τέταρτον, ἔοικας δὲ μὴ πάντα ἀπολαβεῖν, ὡς ἔστιν ἐκ τοῦ γράμματός σου στοχάσασθαι· καὶ τοῦτο εἴη ἂν οὐκ ἀδίκημα μὲν ἡμέτερον, ἀτύχημα δὲ καὶ ἄλλως ἐπιθύμημα ἁμαρτωλῶν ἀπολλύμενον, ἵνα μηδὲ προερήμασι γοῦν ψιλοῖς ἀμειβοίμην τοὺς ἐμοὺς ἐραστὰς οἷς ἐποφείλω καὶ αὐτὴν τὴν ψυχήν. Οὕτως ἡ λαμπρὰ ἐρημία τῆς γενναίας ποτὲ πόλεως ἀντίξους μοι πρὸς ἅπασαν ἔφεσιν. Ἀλλ' εὐχαριστεῖν ἐπὶ τούτοις χρεών, ἵνα μὴ ἀκερδῶς, μᾶλλον δ' ἐπιζημίως πειρασώμεθα. 2. Σὺ δ', ὦ γενναῖε, μὴ φείδου τῶν πρὸς ἡμᾶς γραμμάτων, ἐπειδὴ σοί τε εὐχερὲς τοῦτο καὶ ἡμῖν μεγίστης ἡδονῆς πρόξενον. Τὸν πανεντιμότατον Ματζούκην ἠξίωσα διὰ γραφῆς περὶ σοῦ· ἀκούσας γὰρ ὡς οὐδέπω ἔσχες τὴν οἱανοῦν οἰκονομίαν, σφόδρα ἐλυπήθην.

---

6. *τε*, ὡς πολλάκις ἐν τῷ κώδικι, δι' ὃ καὶ δὲν σημειῶ αὐτὸ τὸ ἑξῆς.

ιϛ'. Ἡ ἐπιστολὴ αὕτη εὑρηται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 34,α. Εἶνε δὲ ἀνώνυμος, ἀλλὰ πιθανώτατα ἐπεστάλη τῷ αὐτῷ καὶ ἡ προτέρα, τῷ Τεσσαρακονταπήχει.

14. *μηδὲ*, ὡς πολλάκις. *ἀμοιβοίμην*. — 16. *γενναίας* κατὰ διόρθωσιν τοῦ τὸ πρῶτον γραφέντος *γενναίοις*. — 19. *σοί τε*.

Digitized by Google

ιγ'. Τῷ μεγάλῳ σκευοφύλακι κῦρ Γεωργίῳ τῷ Ξιφιλίνῳ.

www.libtool.com.cn

1. Προλαμβάνω τοῖς φιλικοῖς, πανεντιμότατε καὶ σοφώτατε δέσποτα, οὐ προαρπάσας ἐπίτηδες τὸν καιρὸν, οὐδ' ὀξυγραφήσας πρὸ ὥρας καὶ κλέψας τὴν νίκην θερμότερον, μᾶλλον μὲν οὖν — οὐ γάρ τί σε τῶν ἀπορρήτων τῶν ἐμῶν ἀποκρύψομαι — καὶ τὸ γράφειν ἐκὼν ἐπισχὼν μέχρι καὶ ἐς δεῦρο καὶ τὴν σιωπὴν ἀπενιαυτιάσας ἤδη καὶ παρελκύσας καὶ ἐς μακρότερον βουλόμενος πεῖραν λαβεῖν τῆς περὶ ἡμᾶς σου φιλικῆς διαθέσεως ἐκ τῆς τοπικῆς διαστάσεως καὶ χρονικῆς παρατάσεως, εἰ γράφεις μὴ γράμμα δεχόμενος πρότερον, εἰ ἐπιστρέφῃ παρῶφθαι δοκῶν. 2. Οὐ κακοήθης ὁ λογισμὸς, ἀλλὰ δυσέρωτος ἀνδρὸς καὶ τὸ ποθεῖσθαι ποθοῦντος καὶ τοιοῖσδε σοφίσμασιν ἀνάπτοντος τὸν ἔρωτα, ὅτι καὶ θεὸς, τὸ ἀκρότατον ἐραστὸν, ὡς τὰ πολλὰ τοὺς ἐραστὰς φιλεῖ κρύπτεσθαι, λίαν ἀμυδρῶς ἐκ τοῦ κάλλους τῶν κτισμάτων παραφαινόμενος, ἵν' οὕτως ἕλκῃ μᾶλλον πρὸς ἑαυτὸν ψυχὴν τὴν φιλόθεον.

3. Ἄλλως δὲ, ὡς ἔοικεν, ἐσοφιζόμην ταυτί. Σὺ γὰρ, ὦ γενναῖε, ὥσπερ ἀντισοφιζόμενος αὐτὰ ταῦτα, τὴν ἴσην προσηγορίαν παρέτεινας καὶ τοῦ δοκοῦντος ἀπεστράφθαι οὐδ' αὐτὸς ἐπέστραψαι. 4. Ἀλλ' εἰ μὲν ὑπ' ἔρωτος ταῦτα παιζόμεθα, ἔχομεν ὅπερ ἐποθοῦμεν καὶ χαίρομεν οἷς βάλλομεν, ἐν τῷ μέρει βαλλόμενοι· μηλοβολοῦντας γὰρ ἀλλήλους καὶ τοὺς ἔρωτας γράφουσιν. Εἰ δ' ὅτι μείζονα εὕροιαν καὶ εὐδαιμονεστέραν κατὰ θεῖον εὐτύχησας, παρὰ τοῦτο τῶν καθ' ἡμᾶς ὠλιγώρηρησας, εἴη ἂν τὸ πρᾶγμα ἐμὸν μὲν ἀτύχημα, σὸν δὲ... ἀλλ' οὐ βούλομαι φλαῦρον οὐδὲν ἐρεῖν περὶ τῆς ἱερᾶς καὶ ἀλήπτου

4. τι.

ιγ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 34,α-34,β.

9. μὴ κατὰ διόρθωσιν ἐκ τοῦ τὸ πρῶτον γραφέντος μοι. — 22. μηλοβολοῦντες.

Digitized by Google

ψυχῆς. Ἐκεῖνο δὲ μόνον φημὶ, ὡς οὐδ' ἡ νοερὰ φύσις καὶ ἀγγελικὴ τῷ θεῷ μόνῳ προσανέχει, ἀλλὰ καὶ τοῦ κάλλους ἐκείνου || καταπολαύει καὶ τῶν δευτέρων ἐπέστραπται. 5. Πότε δοκῶ σοι, μακαριώτατε δέσποτα, μεμαθηκέναι τὴν σὴν ἱερὰν ἀνάβασιν; ἆρα πρὸ χρόνου συχνοῦ; οὔ, μὰ τὸν δοξάζοντα τοὺς αὐτὸν δοξάζοντας, ἀλλὰ χθὲς καὶ πρότριτα, τοῦ μεγαλεπιφανεστάτου Μοναστηριώτου κατελθόντος Ἀθήναζε. Οὕτω μυρίοις τε βαλλόμεθα τοῖς δεῦρο ἀνιαροῖς καὶ οὐδὲ τοῖς ἡμετέροις χαρμοσύνοις συνευφραινόμεθα. 6. Φεῦ τῆς ὑπερορίου καταδίκης ἡμῶν, φεῦ τῆς κατωτάτης ταύτης ἐσχατιᾶς, εἰς ἣν ὡς εἰς ἄλλον Ἅδου κευθμῶνα κατήλθομεν καὶ μέγα χάσμα μεταξὺ ἡμῶν τῶν βασανιζομένων δεῦρο καὶ ὑμῶν τῶν ἐν τοῖς ἁβραμιαίοις κόλποις ἀναπαυομένων ἐστήρικται, ὡς μὴ μόνον μὴ οἵους τε εἶναι διαβαίνειν ἔνθεν πρὸς ὑμᾶς, ἀλλὰ μηδὲ τοὺς ὀφθαλμοὺς ἐπαίρειν καὶ μακρόθεν ὁρᾶν, ὅπως περὶ τὴν μακαρίαν ἑστὲ λῆξιν παρακαλούμενοι. Καὶ ἡμεῖς μὲν οὕτω, σὺ δ' ἔντεινε καὶ κατευοδοῦ, μηδὲ τῆς ἡμῶν ἀσθενείας παρ' ἅπαν ἐπιλανθανόμενος.

ιδ'. Τῷ Πατριάρχῃ κῦρ Θεοδοσίῳ.

1. Ἤθελον μὲν ἄλλα ἐπ' ἄλλοις ἐγχαράττειν σοι γράμματα, θειότατε δέσποτα, καὶ οὕτως ἀναψύχειν ἐμαυτὸν σοφιζόμενος τὸ οἷον δοκεῖν συχνότερον ἐντυγχάνειν σοι καὶ διομιλεῖσθαι. Τό γε μὴν ἀπορεῖν τοῦ γράφειν τι χάριεν καὶ οἷον ὁ φιλάνθρωπος σὺ φιλεῖς ἀνακόπτει με τῆς ὁρμῆς· φορτικὸν γὰρ καὶ ἄλλως ἀηδὲς ἀχνυμένας, ὅ φασι, σκυτάλας στέλλειν ἀεὶ καὶ τὴν συμπαθῆ ψυχὴν παρακαλεῖν εἰς τὸ συνοιμώζειν καὶ συνοδύρεσθαι. 2. Πλὴν ἐπείπερ οὐκ ἐξὸν γνωρίζειν τῇ

3. || Κώδ. 34,6.— 8. *τὲ βαλλώμεθα.*— 15. *μηδὲ.* — 16. *οὕτως.*— 17. *μηδὲ.*— 18. *παράπαν.*

ιδ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 34,6.

19. *Ηθελον.* — 22. *τί.*

Digitized by Google

www.ABOUT.com.gr

ἁγιωσύνῃ σου τὰ καθ' ἡμᾶς ὅπως ἄρα καὶ ἔχουσιν, ἀνέχου τῶν Ἀθήνηθεν ἀεὶ σκυθρωποτέρων γραμμάτων. Πολλῶν γάρ σου τῶν θλίψεων οὐσῶν, οὐδὲ τὸ ἐφ' ἡμῖν ἔμελλες εὐθυμεῖν· μᾶλλον δὲ τὰ μὲν αὐτῷ σοὶ συμπίπτοντα δυσχερῆ μικροῦ λόγου ἀξιοῖς, ὅτι μηδ' ἅπτονται βεβηκότος εὖ καὶ κωφὰ τὰ τοῦ πειραστοῦ βέλη νομίζοντος, τὰ δὲ τῶν ἄλλων ἀνιαρὰ καὶ μᾶλλον τῶν ἀσθενεστέρων καὶ μικροψύχων καθ' ἡμᾶς καιριώτατα δοκεῖς τραύματα. 3. Ἁγίων ταῦτα σπλάγχνα, οἰκειουμένων τὰ τῶν ἄλλων κακὰ καὶ ἐπολοφυρομένων αὐτοῖς ἀπαράκλητα. Οὕτω δὲ ὑπεραλγῶν ἡμῶν καὶ ὑπερεύχῃ δῆλα δὴ καὶ τῶν λυπούντων λύσιν ἢ ἀνακώχευσιν ἢ ὑπομονὴν ἀποστέλλεις ἄνωθεν καὶ τῆς τοιαύτης αἰσθανέμεθά σου βοηθείας ὡς ἐναργοῦς, ὅπου γε καὶ αὐτῇ μόνῃ τῇ τῆς σῆς ἁγιότητος μνείᾳ, ἡνίκα ἀπαναίνεται παρακληθῆναι ἡ ψυχὴ ἡμῶν, εὐφραινόμενοι παραμυθούμεθα, τοῦτο μὲν ὡς τὸν συλλυπούμενον καὶ ὑπερευχόμενον ἔχειν πιστεύοντες, τοῦτο δὲ καὶ πρὸς τοὺς σοὺς κινδύνους τὰς ἡμετέρας ἀνθρωπίνας ἐπηρείας παραβάλλοντες καὶ τοσοῦτον λειπομένας εὑρίσκοντες ὅσον οὐδ' ἔστιν εἰπεῖν, καὶ πρὸς τούτοις ἐπάδοντες ὡς, εἰ δίκαιοι ἐς τοσοῦτον τληπαθοῦσι, τί πάσχειν εἰκὸς τοὺς καθ' ἡμᾶς καὶ πολλὰς ὀφείλοντας μάστιγας; 4. Ἴστω γοῦν ἡ μεγάλη ἁγιωσύνη σου, ὡς ὑγιῶς μὲν τῷ τέως τοῦ σώματος ἔχομεν, οὕτω δὲ διακείμεθ' ὡς διακέοιτ' ἂν ποιμὴν ὁρῶν τὸ αὐτοῦ ποίμνιον λιμῷ καὶ δίψει κακούμενον καὶ σπαραττόμενον κλέπταις, λῃσταῖς, πειραταῖς καὶ θηρσὶ, πρὸς δὲ καὶ ὑπὸ τῶν ἰσχυροτέρων τῆς ἀγέλης διακυριττόμενον οὕτω κραταιῶς, ὡς καὶ προσκατάγνυσθαι καὶ τρεπόμενον οἴχεσθαι. Σῆς δ' ἂν εἴη ἔργον εὐχῆς φέρειν ταυτὶ, ἐπεί περ εἴργειν ἄλλως οὐκ ἔχομεν.

---

5. *μηδ'*. *κωφὰ* κατὰ διόρθωσιν τοῦ τὸ πρῶτον γραφέντος *κωφᾶ*. — 10. *δηλαδὴ*. — 23. *αὐτοῦ*. — 26. *διακηρυττόμενον*.

Digitized by Google

www.libtool.com.cn

εε'. Τῷ μεγάλῳ λογοθέτῃ τῷ Βελισσαριώτῃ κῦρ Ἰωάννῃ.

1. Βαβαὶ τῆς σιγῆς· σχετλιάσω γὰρ, οὐ μέτρια ζημιούμενος, ἀλλὰ τὸ μόνον ἐμοὶ παραμύθιον, τῇ στερήσει τῶν φιλτάτων ὑμῶν τρυχομένῳ καὶ τοῖς ἄλλοις οἷς οἶδε δεξιοῦσθαι ἡ ἀλλοδαπὴ τοὺς ἐπήλυδας. ‖ Ἦ οὐκ οἶδεν ἡ ἀγχίνοιά σου ὅπως τὰ αὐτόθεν στελλόμενα γράμματα φλεγομένους ἡμᾶς ἀναψύχουσι, καὶ μᾶλλον τὰ παρ' ὑμῶν; Οἷς πάλαι διὰ φιλίας ἀκραιφνοῦς ἡρμοσμένος, εἶτα καὶ διὰ συγγενείας ἀνεκράθην εἰς ἄκραν ἕνωσιν, τοῦ θεοῦ, οἶμαι, προβλεψαμένου τὴν νῦν διάστασιν καὶ διὰ τοῦτο τῷ τῆς φιλίας δεσμῷ τὸν τῆς συγγενείας προσπλέξαντος, ἵνα καὶ ἐς τοσοῦτον ἀφεστηκόσιν ἄλυτος διαμένῃ καὶ ἄρρηκτος. 2. Οὐκ ἐκπίπτεις γοῦν ποτε τῆς μνήμης ἡμῶν, ἀλλὰ, κἂν σιωπᾷς, τοῦ φιλτάτου δοκοῦμεν αἰσθάνεσθαι φθέγματος, κἂν ἀπῇς, νομίζομεν παρόντα προσπτύσσεσθαι. Σὺ δὲ ἀλλὰ, καὶ αὐτὸς τὰ πάντα πάσχων, οἶμαι παρὰ τοῦτο γράφειν ὀκνεῖς, ὡς ἐν μέσῃ τῇ χώρᾳ τῆς ψυχῆς ὅλους φέρων ἡμᾶς, ὥςπερ καὶ ἡμεῖς ὅλον σε κατὰ νοῦν φανταζόμενοι φέρομεν. Οὕτω γὰρ ἐν ἀλλήλοις συγχωρεῖσθαι πείθομαι καὶ ἀχωρίστως ἐνίζεσθαι. Καὶ εἴημεν οὕτω νῦν τε καὶ εἰς τὸ μέλλον συνόντες ἀδιάστατοι κἂν τοῖς σώματι διιστώμεθα.

εε'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν τῷ λαυρεντιακῷ κώδικι, φ. 34,6-35,α καὶ τῷ βαροκκικῷ, φ. 159,α.

Τίτλος. *τῷ βελισσαριώτῃ κῦρ ἰωάννῃ* Λ. *τῷ μεγάλῳ λογοθέτῃ λογοθέτῃ τῷ* Β.

2. *τῇ τε στερήσει* Β. — 4. ‖ Κώδ. 35,α. — 6. *μάλιστα* Β. *ἡμῖν* Λ. — 11. *διαμένει* Β. *ποτὲ* Β. — 12. *δοκῶμεν* Β. — 17. *χωρεῖσθαι* Λ. — 19. *διϊστάμεθα* Β.

Digitized by Google

εϛ'. Τῷ Θεσσαλονίκης κυρῷ Εὐσταθίῳ.

www.libtool.com.cn

1. Ἁγιώτατε δέσποτα, οἶδα τὴν ἱερωτάτην σου ψυχὴν τὴν αὐτὴν οὖσαν οὐ μᾶλλον ἐν τῷ ἀναλλοιώτῳ τῶν λοιπῶν καλῶν ἢ τῇ περὶ ἡμᾶς διαθέσει σου· οὐδενὸς γὰρ καλοῦ μεταπίπτειν μεμάθηκας, ἀλλ' ἐς τὸ ἀκριβέστερον μᾶλλον ἐγκάεσθαι. Καὶ γράμμασι μὲν οὐδὲν ἢ μικρῷ προσέχεις διὰ φιλίαν χαραττομένοις, εἰς ψυχὴν δὲ μᾶλλον προκύπτεις κἀκεῖθεν λαμβάνεις τὸ τῆς ἀγάπης ἐχέγγυον. 2. Οἶδα ὅτι νῦν μᾶλλον ἢ καὶ πρότερον τὰ καθ' ἡμᾶς ἐλεεῖς ὁ φιλάνθρωπος, καὶ πλέον ἐλεῶν προσπάσχεις δριμύτερον, τὸ δὲ ἀρθονώτερον τρέφει τὸ τῆς ψυχῆς διακείμενον. Εἰ δὲ τὸ μὴ ἀγνοεῖν ἀγαπώμενον οἶδε τίκτειν ἀντέρωτα, τοῦτο μὲν ὀκνῶ κομπάζειν ἐγὼ ὅτι μηδὲ πάνυ σεμνὸν τὸ καὶ παρὰ τοῖς τελώναις αὐτοῖς κατορθούμενον, ἐπεύχομαι δὲ τῷ ἀγαπήσαντι ἡμᾶς ὡς αἰτίῳ καὶ τῆς ἀνταγαπήσεως ὑγιεινὴν ζωὴν καὶ μακρόβιον.

3. Ὁ εὐλαβὴς οὗτος μοναχὸς ἀδελφός ἐστι τοῦ μακαρίτου Δημητρίου τοῦ Θετταλοῦ καὶ δεῖται τῆς σῆς ἀντιλήψεως. Ἀπολαυσάτω γοῦν τῆς σῆς ἀγαθότητος δι' ἣν τε εἶχες εἰς ἐκεῖνον πατρικὴν διάθεσιν καὶ διὰ τὴν ἡμετέραν ἀξίωσιν. Ἵλεως εἴη μοι θεὸς διὰ τῶν σῶν ἱερωτάτων εὐχῶν.

εϛ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν τῷ λαυρεντιακῷ κώδικι, φ. 35,α καὶ τῷ βαροκκικῷ φ. 169,α. Ἐδημοσιεύθη δὲ ὑπὸ Tafel, ἔνθ' ἀν. σελ. 359 κ.ἑ. (T), καὶ κατ' αὐτὸν ὑπὸ Ellissen, ἔνθ' ἀν. σελ. 67-68 (E), καὶ Migne ἔνθ' ἀν. σελ. 333 (M).

8. *καὶ* λείπει ΛΤΕΜ. — 9. *ἐλεεῖς* λείπει Β. — 11. *μὲν* λείπει ΛΤΕΜ.— 12. *μηδὲ* Λ. *καὶ τὸ παρὰ* ΛΤΕΜ. *τοῖς* λείπει ΤΕΜ.— 14. *καὶ* λείπει Β.— 15. *ἀδελφὸς ἐστὶ* Λ.— 16. *ἀντιλήψεως* * * * * ΤΕΜ. — 17. *ἀπολαυέτω* Β.

Digitized by Google

ιζ'. Τῷ Τεσσαρακονταπήχει κῦρ Γεωργίῳ.

1. Τί ὅτι ἓν καὶ μόνον ἦν τὸ καλὸν ἐκεῖνο καὶ χρυσοῦν γράμμα ὡς μόνος φοῖνιξ ὁ ὄρνις ἢ μόνος ἥλιος; Πότερον, ὡς μὴ πλεῖστα ἀντιλαμβάνων γράμματα νενόμικας ἀναξιοπαθεῖν καὶ παρὰ τοῦτο μηκέτι γράφειν δικαιοῖς; τοιοῦτος γὰρ τῶν εὐγενῶν ὑμῶν ὁ θυμὸς καὶ ὑπὲρ τῶν φαυλοτάτων ἀμυντικὸς καὶ τοῖς καθ' ἡμᾶς ταπεινοῖς ἐγκοτῶν μακρότερον· ἢ τῶν ἡμετέρων πολλῶν γραμμάτων ἀντάξιον τὸ ἓν ἐκεῖνο ἡγήσω καὶ παρὰ τοῦτο τοῦ λοιποῦ γράφειν οὐκ ἐδικαίωσας; 2. Εἰ μὲν τὸ πρότερον ἐρεῖς, δεινὸς ἀνὴρ τάχα κεν ἀναίτιον αἰτιόωτο. Ἐγράψαμεν γὰρ καὶ νῦν ἰδοὺ γράφομεν καὶ εἰς ἔπειτα γράψομεν ὅτι μηδὲ οἷόν τε τοιᾶσδε φιλίας ἐπιλαθέσθαι ποτέ. Εἰ δὲ τὸ δεύτερον, ἀληθὲς μέν· οὐδὲ γὰρ διὰ βίου ἐπιστέλλοντες, πολλοστὸν τοῦ σοῦ γράμματος ἀποτίσομεν· μικρολόγον μέν τοι το πάθος, εἴ τις πρὸς μὲν τὴν περιουσίαν ἀπίδοι τῆς σῆς λογιότητος, ἐν καιρῷ δὲ μνησθείη τῆς παρὰ τῷ σῷ Σταγειρίτῃ ἐλευθεριότητος, ἥτις ἐν τῷ ὑπερβάλλειν τῇ δόσει διαφαίνεται. 3. Ἀλλὰ Σταγειρίτην εἶπων, τῶν προτέρων ἡμερῶν ἀνεμνήσθην καί μοι τὸ αἷμα εὐθὺς ἅπαν ἄλλοσέ πη τῶν σπλάγχνων μετέρρευσεν, ἀναλογισαμένῳ ἡλίκης εὐδαιμονίας ἐξεκυλίσθην καὶ εἰς τὴν κοιλάδα τοῦ τῇδε κλαυθμῶνος πῶς κατενήνεγμαι. Εἴη εὐλογητὸς ὁ θεὸς, ὃς καὶ τὴν σὴν εὐγένειαν διαφυλάττοι ὑγιαίνουσαν ψυχῇ τε καὶ σώματι.

ιζ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν τῷ λαυρεντιακῷ κώδικι, φ. 35,α καὶ ἐν τῷ βαροκκικῷ, φ. 159,6.

1. *τί ἔστιν ἔρ* B. — 8. *οὐ δικαίωσας* B. — 9. *τάχάκεν* Λ. *αἰτιόωντο* B. — 10. *εἰσέπειτα* Λ. — 11. *οἷον* Λ. *ἐπιλαθέσθαί ποτε* ΑΒ. *εἰ δὲ εἰ δὲ* B. — 16. *εἴ τις* ΑΒ. *διαφαίνεται* B. — 20. *πως* Λ. — 22. *ὑγιαίνουσαν* λείπει B.

Digitized by Google

www.libtool.com.cn

εη'. Τῷ Θηβῶν κῦρ Ἰωάννῃ.

1. Πανιερώτατε ἀδελφὲ, ἐλπίζομεν καὶ εὐχόμεθα ὑγιῶς ἔχειν καὶ ἀλύπως τὴν σὴν ἱερότητα, μᾶλλον δὲ ‖ τὸ μὲν ὑγιῶς διακεῖσθαί σε κατ' εὐχὴν ἡμετέραν εἴπερ τι καὶ ἐλπίδα, τὸ δ' ἄλυπον, εἰ καὶ τοῦτο εὐκταιότατον, σχεδόν τι ὅμως ἀνέλπιστον. Ποῦ γὰρ καὶ εὑρήσει τις τόπον ἢ βίον οὐ λέγω παρ' ἅπαν ἀθυμίας ἀπηλλαγμένον, ἀλλὰ καὶ ψυχαγωγίᾳ μετρίᾳ ἱλαρυνόμενον, ἅτε τοῦ προφητικοῦ καιρὸν ἔχοντος «πᾶσα κεφαλὴ εἰς πόνον καὶ πᾶσα καρδία εἰς λύπην» καὶ μᾶλλον ἡ αἰσθητικὴ καὶ οὐχ οἵαν αὐχοῦσιν οἱ λίαν ἡδεῖς καὶ ἀνάλγητοι; Ὡς δοκεῖν μηκέτι τὸν ἡμέτερον βίον ὑπὸ λύπης καὶ ἀθυμίας ἀνὰ μέρος μερίζεσθαι, ἀλλ' ὑπ' ἀθυμίας συνεχοῦς, ἀεὶ τοῦ πίθου τῶν ἀγαθῶν, εἰ λέγει τι Ὅμηρος, παρὰ τοσοῦτον ἐπιλείποντος παρ' ὅσον ὁ τῶν κακῶν ὑπέρρυσεν. 2 Οὕτω γοῦν ἐχόντων τῶν καθ' ἡμᾶς, ἀγαπητὸν εἰ μὴ καὶ τὸ σῶμα νοσερὸν ἔχει τις· ἀπόχρη γὰρ ἡ τῆς ψυχῆς μελεδὼν οὕτω τι καὶ αὐτὴ λυμαινομένη τῷ σώματι, ὡς καὶ γυιοβόρος παρὰ τοῖς ποιηταῖς ὀνομάζεσθαι διὰ τὰς ἐντεῦθεν τηκεδόνας δήπουθεν. Ὅπως οὖν μὴ διπλῷ πάθει βαλλόμενος ἐκκαῇς, εἷς τὸ σῶμα γοῦν φέρων ἐρρωμένον καὶ ἄτρυτον. Τούτου τῷ τέως ἐπιστέλλειν οὐκ ἔχομεν ἄμεινον.

εη'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν τῷ λαυρεντιακῷ κώδικι, φ. 35,α-35,6 καὶ τῷ βαροκκικῷ, φ. 159,6.

2. ‖ Κώδ. 35,6. — 3. *διακεῖσθαι* ΑΒ. *εἴπέρ* ΑΒ. — 4. *ἄλλυπον* Β. — 5. *τίς*. — 6. *παράπαν* Α. *οὐ λέγω παράπαν* λείπουσι Β. *μετρία* λείπει Α. — 7. *ὅτε* ΑΒ. — 11. *ἀνάμερος* Β. *συνεχῶς* Β. — 12. *πόθου* Α. *τί* ΑΒ. *παρατοσοῦτον* Β. — 13. *παρόσον καὶ τῶν* Β. — 16. *γυιοκόρος* Α. *γυοκόρος* Β. Πρβλ. τὸ ἐν τέλει τοῦ τόμου γλωσσάριον. — 18. *βαλόμενος* Β. *ἐκκαιῆς* Β. — 19. *τωτέως* ΑΒ.

Digitized by Google

ιθ'. Τῷ Νέων Πατρῶν καὶ ὑπερτέμῳ κῦρ Εὐθυμίῳ.

1. Ἐγὼ δὲ ἄλλοις μὲν ἐπιστέλλων γνωρίζω τε ἅμα καὶ προσανακλαίομαι τὰ τοῦ κατ' ἐμὲ τούτου λάχους ἀτυχήματα καὶ συντρίμματα, σοὶ δὲ, τῇ τριποθήτῳ καὶ πανιερωτάτῃ μοι κεφαλῇ, τοιοῦτόν τι γράφειν ὅλως ὀκνῶ, ἀμφότερον, ὅτι τε ἀκριβέστερον οἶδας ταῦτα ἢ περ ἡμεῖς, καὶ τὸ χηρευούσης δὲ ἐκκλησίας ἀφανισμὸν ἐκτραγῳδεῖν πρὸς σὲ ἄκαιρον οἶμαι καὶ εὔηθες. 2. Εἰ γὰρ σοῦ ζῶντος καὶ ἐπὶ χθονὶ δερκομένοιο, ἀνδρὸς σοφοῦ τὰ πάντα καὶ τὴν ποιμαντορικὴν ἐπιστήμονος, οὕτω βαρείας τῇ λαχούσῃ σε χεῖρας ὁ φθόνος ἐπέβαλε, τί καινὸν εἰ τῇ ἀπροστατεύτῳ καὶ ἀνάνδρῳ σφοδρῶς ἐπέσκηψε; Πῶς ἔμελλεν ἀντισχεῖν ἐπ' ὀλίγον τὰ προκατειργασμένα τῶν Ἀθηνῶν ἐγκαταλείμματα ὅτε ὁ σὸς πόνος ἀθρόον λυθεὶς διεσκέδασται; Οὐκ ἀνεύλογον εἰ ἐν τῷ ξηρῷ ξύλῳ τοιαῦτα τετόλμηται, ὅτε ἐν τῷ ὑγρῷ κατεπράχθη καινότερα. 3. Διὰ ταῦτα οὐδέν τι τοιοῦτον ὑπογρύζω εἰς τὴν σὴν τελειότητα, ἱερώτατε. Ἔτι κἀκεῖνα πολλῷ πλέον σιγῶ, τὸ καὶ ἄρτον ἐσθίειν ὤνιον καὶ μηδὲ τῷ ἐγχωρίῳ οἴνῳ τὴν καρδίαν εὐφραίνεσθαι, ὅτι μὴ καὶ σφόδρα διὰ τὸ ἐχεπευκὲς πικραίνεσθαι. Οἶδας τὰς δᾳδας τὰς λιπαρὰς ὧν μᾶλλον ἢ τῶν βοτρύων ὁ Ἀθήνησιν οἶνος δοκεῖ ἀποθλίβεσθαι· ἵνα μὴ λέγω τὴν ἐπὶ κακοηθείᾳ τῶν πολλῶν ἀηδίαν, ὑφ' ἧς καὶ τὰ σιτία τοῖς εὐαισθήτοις χολῆς πικρότερα καὶ τὰ ποτὰ ὑπὲρ τὸ ὄξος τὸ σφήττιον.

ιθ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν τῷ λαυρεντιακῷ κώδικι, φ. 34,6 καὶ ἐν τῷ βαροκκικῷ, φ. 159,6.

Τίτλος. *καὶ ὑπερτίμῳ* λείπουσι B.— 2. *ἀτυχήματα ἢ συντρίμματα* Λ. — 3. *σὺ* B. — 5. *ἤπερ* κατὰ διόρθωσιν τοῦ τὸ πρῶτον γραφέντος *ἤπερ* Λ. *εἴπερ* B. — 8. *ποιμαντικὴν* Λ. — 9. *τῆς λαχούσης* B.—11. *τῶν ἀσθενῶν* B.—12. *διεσκέδασθαι οὐκ ἀνεύλογον* B. — 14. *κατεπράχθη* B. — 14. *σὴν* ἐκ τοῦ *γὴν* B. — 16. *πολλῷ πολλῷ πλέον* B.— 19. *δᾴδας* B.— 20. *μὴ* λείπει B.

Digitized by Google

κ΄. Τῷ αὐτῷ Νέων Πατρῶν καὶ ὑπερτέλῳ.

www.libtool.com.cn

1. Εἰ συνόντι τῷ καλῷ νυμφίῳ τῆς ἐκκλησίας καὶ χαρᾶς ὅσης συναπολαύοντι οὐ φορητὴ φίλου ἑνὸς ἢ καὶ δευτέρου στέρησις, τί ἂν ἡμεῖς πάθοιμεν οἱ τῆς θρεψαμένης μὲν ἐκκλησίας καὶ πόλεως ἐκτετοπισμένοι μακρὰν, τοῦ δ' ἐν αὐτῇ παμφαίνοντος μεγίστου φωστῆρος ἐς τοσοῦτον ἀφεστηκότες καὶ μὴ τῆς ζωογόνου τοῦδε θέρμης ἐγγύτερον ἀπολαύοντες, ἑταιρείας πάσης ἐστερημένοι καὶ ὁμηλικίης ἐρατεινῆς καὶ σοῦ δὲ αὐτοῦ ἐπὶ πᾶσι, τῆς ἱερωτάτης καὶ σοφωτάτης κεφαλῆς καὶ τοῦ παντὸς τιμωμένης μοι; 2. Εἰ τῷ διατρίβοντι ὅπου παντοῖαι χορεύουσι χάριτες οὐκ εὔθυμος ἐπίπαν ὁ βίος, ἀλλ' ὑποκνίζει τι καὶ θυμοδακὲς, πῶς ἂν ἡμεῖς βιωτὸν τὸν βίον νομίζοιμεν οἱ τὴν κοιλάδα τοῦ κλαυθμῶνος λαχόντες οἰκεῖν, τὸ σεμνὸν τῆς γενναίας πάλαι ποτὲ πόλεως ὄνομα μόνον, εἴτ' οὖν ἐρείπιον, τὸ τῶν λόγων ἔδαφος πρότερον, νῦν δὲ θρήνων καὶ οἰμωγῶν δάπεδον; Ἧς τοσοῦτον χρόνος καὶ φθόνος ἐφιλονείκησε κατορχήσασθαι, ὡς πάλαι μὲν ἀνδρείαν καὶ λόγους καὶ λοιπὴν ἀρετὴν ἀφελέσθαι παρ' ἅπαν, νῦν δὲ καὶ αὐτὰ τῆς γῆς ἐκτρίψαι τὰ ἀγαθὰ καὶ πεδίον ἀφανισμοῦ ὅλην τὴν Ἀττικὴν ἐργάσασθαι. ‖ 3. Ἐπέλιπον τοὺς παραδείσους οἱ ποταμοὶ, τὰς λαχανείας αἱ κρῆναι, τὴν Καλλιρρόην τὸ ῥεῖθρον, οἱ μελισσῶνες τὸν Ὑμηττὸν, αἱ πόαι τὰ ποίμνια. Χαλκοῦς γὰρ ὁ καθ' ἡμᾶς οὗτος οὐρανὸς, ἡ δὲ γῆ σιδηρᾶ, ταῦτα δὴ τὰ θεόθεν τῶν ἁμαρτωλῶν ἐπιτίμια, καὶ ὡς ὑπὸ τὴν διακεκαυμένην ζώνην τὰς οἰκήσεις ποιούμενοι ἄνομβροι παρ' ἅπαν ἐσμὲν καὶ ὡς εἶποι ἄν τις ἀλίβαντες. 4. Ὅθεν οὐδὲ ἡ

κ΄. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν τῷ λαυρεντιακῷ κώδικι, φ. 35,6-36,6 καὶ τῷ βαροκκικῷ, φ. 159,6-160-6.

1. *εἶτα συνόντι* B. — 3. *τίαν* B. — 7. *ἑταιρίας πόσης* B. — 10. *παντοίαι* B.— 11. *τί* AB. — 13. *πάλαί ποτε* AB. — 14. *θρηνῶν* B. — 17. *παράπαν* AB. — 19. ‖ Κώδ. 36,α — 20. *λαχανίας* A. *καλιρρόην* B. — 21. *ὑμητὸν* AB. — 22. *σιδηρὰ* B.— 25. *εἶπη* B.

Digitized by Google

ποτὲ χρυσῆ ζώνη ἔτι χρυσῆ καὶ τοὺς Ἀθηναίους εὐφροσύνη περιζωννύουσα, ἅτε μηδεμιᾶς εὐμοιροῦσα χλωρότητος, ἀλλ' αὖος γεγονυῖα καὶ σφίγγουσα λύπη τοὺς ταλαιπώρους ὡς οὐδ' ὁτιοῦν ἀπολείβουσα ὑγρὸν ἔλαιον· ὅ τε Μαραθὼν καὶ ἡ Ἐλευσὶς ὁ μὲν μετὰ τῶν πάλαι τροπαίων καὶ τὸ σιτοφόρον προσαπεβάλετο, λιμοῦ γενναίου τῷ χώρῳ ἐπιστρατεύσαντος, ἡ δὲ τρόπον ἄλλον ἀπόρρητος καὶ σιωπῆς βαθείας μεστὴ, καθότι οἱ ἐκεῖσε πειραταὶ τοὺς παραβάλλοντας εἰς Ἅιδου κατάγουσιν ἄδυτα καὶ μυοῦντες θανάτου μυστήρια οὐκ ἐῶσιν ὁτιποτοῦν τοῦ λοιποῦ φθέγγεσθαι. Καὶ ἵνα διὰ βραχέων ἐπιτροχάσω σοι τὴν δεῦρο κατάστασιν, πάλαι μὲν πέτρα τις ἦν Ἀθήνησιν ἐν παροιμίαις ἀδομένη ἀγέλαστος, νῦν δὲ πᾶσα ἡ Ἀττικὴ πέτρα λέγοιτ' ἂν οὐκ ἀκόμψως ὡς ἄνικμος καὶ παρὰ τοῦτο ἀγέλαστος. 5. Μία παραψυχὴ καὶ διάχυσις, ἡ διαλάμπουσα χάρις τῷ τεμένει τῆς Θεομήτορος· αὕτη μοι καὶ εἰς στῦλον πυρὸς σχεδιάζεται καὶ νεφέλη γίνεται ἡγεμὼν ἐρημάζοντι καὶ σκηνὴ κρύπτουσά με κατὰ τὸν Δαυὶδ ἐν ἡμέρᾳ κακῶν μου καὶ θεοπτίας περιωπὴ τὸ τῆς βάτου προφαίνουσα μυστήριον ἐναργέστερον· τὸ μεῖζον, Ἀκρόπολις οὐρανοῦ καὶ εἰς τρίτον οὐρανὸν ἀναβαίνειν ὀκνοῦντα μετεωρίζουσα.

6. Τὰ μὲν δὴ καθ' ἡμᾶς ἀνιαρὰ καὶ τὰ ἐπὶ τούτοις παρήγορα ταῦτα, βίος ἀπ' ἀμφοῖν τοῖν πίθοιν κιρνάμενος, οὕστινας πίθους βούλεται Ὅμηρος. Τὸ δὲ προσκυνητὸν γράμμα τοῦ ἁγιωτάτου δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου δεξάμενοι, ἐπεὶ ὑφωρώμεθα τὸ φιλοπαῖγμον τῶν Εὐριπιωτῶν καὶ ἐφυλαττόμεθα μή ποτε τῶν συνήθων τι μετεωρήσειε, μετεκαλεσάμεθα τόν τε ἐπίσκοπον καὶ τοὺς ἡγουμένους Ἀθήναζε, καθ' ἡσυχίαν τὰ τῆς ὑποθέσεως ἐξετάσοντες. 7. Ὡς δὲ ὁ

1. *εὐφροσύνην* B. — 2. *μηδὲμιᾶς* B. — 3. *αὐγειορνῖα* B. — 6. *ἐπιστρατεύσαντος* φαίνεται διωρθωμένον εἰς *ἐπιστρατεύοντος* B. — 10. *διαβραχέων* B. — 11. *τίς* ΛB. — 13. *ἀκόμψος* B. — 15. *τεμένι* B. *στύλον* ΛB. — 16. *ἡγεμὼν* κατὰ διόρθωσιν τοῦ τὸ πρῶτον γραφέντος *εἰγεμὼν* B. — 17. *σκηνῆ* Λ. — 26. *τί* ΛB.

Digitized by Google

μὲν ἐπίσκοπος ἐπεδήμησεν, οἱ δ' ἡγούμενοι οὐκ ἠβουλήθησαν παρουσιάσαι, πρεσβυτικὴν ἀσθένειαν προβαλλόμενοι, ἠναγκάσθημεν ἐπιχωριάσαι τῷ Εὐρίπῳ. Καὶ ὅσα μὲν ὅ τε ἐπίσκοπος καὶ οἱ ἡγούμενοι καὶ ὁ μοναχὸς Κάλλιστος εἶπον παρουσίᾳ ἐπισκόπων καὶ ἐκκλησιαστικῶν ἀρχόντων μαθεῖν εἶχε πάντως ἡ ἁγιωσύνη σου· τὸν δ' Εὐρίπου μεγάλως αἰτιασάμενοι καὶ σφοδρῶς ἐπιπλήξαντες ὡς μὴ θεραπείαν καὶ διάθεσιν ἀγαπητικὴν τοιοῦδε ἀνδρὸς ἐκ παντὸς τρόπου θέλοντα, ὃν ὅσοι φίλον εὐτυχήσαμεν κατὰ θεῖον εὐδαίμονες τοῦτό γε τὸ μέρος νομιζόμεθα· οὐ μόνον γὰρ οἱ καθ' ἡμᾶς ἐπίσκοποι, ἀλλὰ καὶ πατριάρχαι καὶ βασιλεῖς αὐτοὶ τὴν εὔνοιαν καὶ φιλίαν τοῦ Νέων Πατρῶν πολλοῦ τιμῶνται καὶ τοῦ παντὸς ἀνταλλάττονται ὡς ἐπὶ φρονήσει καὶ σοφίᾳ καὶ παντοδαπῇ ἀρετῇ τῆς συνέδου προκαθημένου πάσης· κατανυγῆναι καὶ εἰς συναίσθησιν ἐλθεῖν τῆς παρ' αὐτοῦ τολμωμένης ἀτοπίας παρεσκευάσαμεν. 8. Καὶ διωμόσατο ὡς καὶ αὐτὸς τὴν τῆς ἁγιωσύνης σου ἀγάπην τοῦ παντὸς ἀνθαιρεῖται, ἄνδρες δέ φησιν οὐκ εἰρηνικοὶ μεταξὺ ἑκατέρων παραρριπτοῦσι τὰ σκάνδαλα καὶ κατ' ἐμοῦ τοῦ οὐδαμινοῦ τὸν τηλικοῦτον ἐκπολεμοῦσιν ἄνθρωπον· καὶ πρὸς τούτοις παρουσίᾳ τῶν Εὐριπιωτῶν σχεδὸν πάντων ἐδεήθη ἡμῶν ὡς ἂν παρακλητεύσωμεν εὐμενισθῆναι τὴν ἁγιωσύνην σου τῷ ταλαιπώρῳ καὶ καταλλαγῆναι καὶ σπείσασθαι, ἑτοίμως ἔχοντι ἅπαν θελητόν σοι ἀποπληρῶσαι πλὴν ἑνός, μὴ περικοπὴν ἔχειν τῆς προσευχῆς αὐτοῦ ‖ καὶ τοῦ συχνότερον δῆλα δὴ συνημερεύειν σοι ὅτε κατ' Εὔριπον διατρίβοις δήπουθεν. Εὐόμιλος γὰρ ὢν εἴπερ τις ἐν ταῖς συνελεύσεσιν ὁ ἀνὴρ καὶ ἥδιστος ἐν ταῖς κοινωνίαις τοῦ λόγου, δέδιεν ὡς μή ποτε, ἐν τοῖς τοιούτοις ἀλώσιμος ὢν, οὐκ ἐᾷς αὐτὸν ἐν ἐπισκοπείῳ διάγειν καθ' ἑαυτόν. Ἰού, ἰοὺ τῆς ἠλιθιότητος! 9. Δέομαι οὖν κατὰ τὴν αἴτησιν τοῦ ἐπισκόπου συγκαταβῆναι τῇ ἀφελείᾳ τούτου, ἵνα μὴ λέγω

3. *ὅτε* B.—9. *οἳ ὅσοι* B. *φίλων* AB.—13. *ἀνταλάττονται* A. *ἐπιφρονήσει* B. — 25. ‖ Κώδ. 36,6. *δηλαδὴ* B. — 26. *διατρίβεις* AB. *εἴπερ* AB. — 29. *ἐπισκοπίῳ* B. — 30. *ἠλιότητος* B.

www.indbooks.com.cn

Digitized by Google

ρύηθείᾳ, αἰδοῖ τοῦ ἐπισκοπικοῦ ἀξιώματος· εἰ δ' ἔτυχον κατ' Εὔριπον ὤν, εἶπον εὐλαβείᾳ τοῦ κρότου τῶν Εὐριπιωτῶν. Βαβαὶ τοῦ θρύλου, βαβαὶ τοῦ ἐνθειασμοῦ, ὅσος λαὸς ἐπερρόθησεν «Ἅγιος ὁ Εὐρίπου, πλουτοδότης, οἰκτίρμων, ἐλεήμων, ἅγιος ὁ Βαλσάμ». Τοσούτοις εὐριπιωτικοῖς ἁγιασμοῖς ἐκκεκώφηταί μοι τὰ ὦτα καὶ διατεθρύληται. 10. Ἐταλάνισα, δέσποτά μου, τὸν ἄνθρωπον τοῦ τοιούτου μακαρισμοῦ καὶ τοσούτου. Οὐχ οὕτως τὸ Διὸς Κόρινθον ἐν παροιμίαις ταὐτολογίας σύμβολον ᾄδεται ὡς ἐν Εὐρίπῳ τὸ «ἅγιος ὁ ἐπίσκοπος», οὐδ' αἱ χορεύουσαι νεάνιδες τοσαυτάκις ἐν τοῖς μελυδρίοις τὴν ἐπῳδὸν ἀναλαμβάνουσιν ὡς οἱ Εὐριπιῶται ἐπὶ τοῖς ὑπὲρ αὐτοῦ λόγοις τὸ «ἅγιος». Καὶ πάλαι μὲν ἐν τῇ Αὐλίδι [λέγεται] τὰ κεραμεᾶ σκευάρια ἄφθονα εἶναι σφόδρα καὶ εὐωνότατα, νῦν δὲ τὸ ἅγιος ἀφθονώτερον ἐκεῖσε· οὐκ οἶδ' εἰ καὶ εὐωνότερον, οὐ γὰρ ἠβουλήθην πρίασθαι, μηδὲ πριαίμην ποτέ· διὰ τοῦτο γὰρ καὶ τὸν ἄνδρα ἐταλάνισα. Ἡ γὰρ ἔχει τι μακαρισμοῦ ἄξιον καὶ ἀπέχει τὸν μισθὸν αὐτοῦ πολλαπλάσιον, ἢ οὐ τοιοῦτος καὶ ἄθλιος, ὑπὸ τῶν μακαριζόντων πλανώμενος, ἂν δ', ὅπερ οὐ πείθομαι, καὶ οὐκ ὀλίγοι τῶν κρατούντων χείλεσι μόνον εὐλογεῖν πείθωνται ἢ βούλωνται, ἀθλιώτατος, παρ' ἀνθρώποις δόξαν θηρώμενος ἁγιότητος. Ἀλλ' εἴη μητ' αὐτὸν μηθ' ἕτερον τῆς ἀληθοῦς ἐκπεσεῖν ἁγιότητος, ἧς χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον. «Ἅγιοι γάρ φησιν ἐστέ, ὅτι ἐγὼ ἅγιός εἰμι.»

11. Προσκυνῶ τὸν ἁγιώτατον ἡμῶν δεσπότην καὶ αὐθέν-

1. *ἔτυχες* B.— 3. *θρύλλου* ΑΒ. *ἐκθειασμοῦ* B. *ἐπερρήθησαν* B. — 4. *πλουτοδότης ἁγαθοδότης οἰκτίρμων* B. — 5. *ἅγιος ὁ τοσούτοις εὐριπιωτῶν* B. — 6. *διατεθρύλληται* ΑΒ. — 7. *δέσποτά μου θειότατε, ἐν δὲ τῇ ὦχ σοφώτατε* B. — 8. Μετὰ τὸ *τοσούτου* κενὸν ὡσεὶ εἴκοσι γραμμάτων ἐν τῷ B. *ταυτολογίας* B. — 10. *νεανίδες* B. — 12. *λέγεται* λείπει ΑΒ. — 14. *οἶδα* B. — 16. *διατοῦτο γὰρ* Α. *διὰ γὰρ τοῦτο* B. *τί* ΑΒ. — 17. *αὐτοῦ* ΑΒ. — 18. *ἀθλίως* Α. — 20. *πείθονται ἢ βούλονται* B. — 23. *φησὶν* B.— 24. *ἅγιος εἰμὶ* ΑΒ.— 25. Τὰ ἀπὸ τῆς λέξεως *προσκυνῶ* μέχρι τέλους τῆς ἐπιστολῆς λείπουσιν ἐν τῷ Α.

www.libtool.com.cn

Digitized by Google

την, τὸν τῆς οἰκουμένης ἥλιον καὶ διδάσκαλον ἰσαπόστολον, καὶ τὴν ἁγιωσύνην σου καὶ τὴν λοιπὴν πᾶσαν ἱερὰν ἀδελφότητα καὶ τὸν θαυμάσιον ἐπὶ τῶν κρίσεων· ἓν εἴθε ἴδοιμι θᾶττον ἡμῖν ἐπιφαύσαντα, τοῖς λαχοῦσι τὰ δεῦρο ὡς Ἅιδου ἄλλα μέρη κατώτατα, καθὼς τὸ τῆς φήμης πτερὸν προμεμήνυκεν. Ἵλεως εἴη μοι θεὸς διὰ τῶν σῶν ἁγιωτάτων εὐχῶν.

www.libtool.com.cn

κα'. Τῷ σακελλαρίῳ τῶν Ἀθηνῶν τῷ Φωκᾷ.

1. Ἔδει μέν, θεοφιλέστατε, μηδεμίαν σοι δοῦναι ἀπόκρισιν, οὕτω τοὺς νόμους τῆς ὑποταγῆς παραλύοντι. Εἰς ἐλάχιστον γάρ μοι, ὅ φησιν ὁ θεῖος ἀπόστολος, ἵνα ὑπὸ σοῦ ἀνακριθῶ, ὁ δὲ ἀνακρίνων με Κύριός ἐστιν. Ἵνα δὲ μὴ δοκῶμέν σοι δι' ἀπορίαν ἀπολογίας σιωπᾶν, ἄκουσον πρὸς ἃ λέγειν οὐκ ὤκνησας· δώσω γάρ σοι, κατὰ τὴν γραφὴν εἰπεῖν, ἀπόκρισιν ἀνδρικήν. 2. Οὐ κατὰ λόγον τὸν εἰκότα δοκοῦσί σοι γενέσθαι τῶν ὀφφικίων αἱ σφραγῖδες, ὡς εἴρηκας· παρεώραται γὰρ, ὡς ᾠήθης, καὶ λόγος καὶ γῆρας καὶ βαθμὸς, οἷς πᾶσιν αὐτὸς ἐγκαλλωπίζεσθαι μεγαλαυχεῖς, ὡς ἐκ τοῦ μακαριωτάτου Ξηροῦ μέχρι καὶ ἐς δεῦρο τὰς τῶν διακονιῶν ἐκμετρήσας ἁπάσας κλίμακας. 3. Ἀλλ' ἄκουσον, τιμιώτατε. Πρῶτον δέ μοι ἀπόκριναι, τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστὴν ἐφ' ἡμᾶς, ἵνα κρίνῃς τοὺς κριτὰς καὶ ἀνακρίνῃς τὰ παρ' ἡμῶν διοικούμενα; Τίς ἡ τοσαύτη θερμότης καὶ τόλμα, ἵνα μὴ λέγω θρασύτης παράβολος; Πῶς τοῖς προεστῶσι δοξάζεις ἀντίδοξα καὶ ποιμαίνεις τοὺς ποιμένας τὸ πρόβατον; Οὐ δοκεῖ σοι γενέσθαι κατὰ λόγον τὰ γεγονότα. Εἶτα τί; Ἀλλ' ἐμοὶ δοκεῖ καὶ τῷ κλήρῳ παντὶ, εἴπω δὲ καὶ τῷ πνεύματι, ᾧ τὰ δοκοῦντα ποιεῖν ἐπίκειταί μοι ἀνάγκη, κἂν μὴ δοκῇ

5. *ἀλλὰ* B. —6. *εἴημι* B.

κα'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 36,6-37,6.

10. *δοκῶμεν*. — 14. *σφραγίδες*. — 15. *γήρας*. — 22. *προεστῶσοι*. — 23. *ποιμένεις*.

Digitized by Google

σοί τε καὶ τοῖς κατὰ σέ. Εἰ γὰρ ἀνθρώποις ἤρεσκον, φησὶ, Χριστοῦ δοῦλος οὐκ ἂν ἦμην. 4. Οὐ δοκοῦσί μοι, φησὶ, κατὰ λόγον γενέσθαι. Καὶ ἡ αἰτία ὡς θαυμασία καὶ ἀληθής· παρεώραται γὰρ καὶ λόγος καὶ χρόνος καὶ βαθμός. Ποῖος λόγος, ὦ μακάριε; Λέγε μοι τίς ἡ σὴ σοφία καὶ ἐπιστήμη, ποίας ἐγεύσω γραμματικῆς, ποίας ῥητόρων ἐμυήθης χάριτας; Πότερον τοῖς ἔξω λόγοις ἐνίδρωσας, ἢ τοῖς ἡμετέροις καὶ τὸ βάθος ἐρευνῶσι τοῦ πνεύματος, ἢ καὶ ἀμφοτέρων τὴν γνῶσιν συνέλεξας; ‖ Εἰ ἔχεις τι λέξαι δι' ἐμπειρίαν τῶν νέων σοφώτερον, γυμνώθητι ῥακέων καὶ δεῖξον οἵαν ὁ γέρων ἐπιγουνίδα τρέφεις, κἀκ τῆς καλάμης τὸ θέρος παράστησον. Ἀλλ' οὐκ ἂν ἔχοις ἐπιδεῖξαί τι σοφόν. Οὐκοῦν μὴ καυχάσθω ὁ κυρτός φησιν ὡς ὁ ὀρθός. Ὅρᾳς ὅπως, μὴ προσέχων σεαυτῷ, τὰ μὴ ὄντα φαντάζῃ καὶ μηδὲν εἰδὼς δοκεῖς εἶναι λόγιος καὶ τὴν λεγομένην διπλῆν νοσεῖς ἄγνοιαν; Ἀλλ' οὕτω μὲν τὸ μὴ παρευδοκιμηθῆναι λόγον σαφῶς ἀποδέδεικται.

5. Μή ποτε δὲ γῆρας κατὰ τὸν σὸν λόγον ἠτίμαστο; Ἀλλ' οὐκ ἔστιν οὐδὲ τοῦτο, οὐκ ἔστιν, καί τοι πολλαχοῦ τὰ ὑστερογενῆ τῶν πρεσβυγενῶν προτετίμηται, ὡς τοῦ Ἡσαῦ Ἰακὼβ καὶ Δαυὶδ τῶν ἀδελφῶν καὶ Παῦλος τῶν προμηθευθέντων Χριστῷ καὶ τοῦ Νόμου τὸ Εὐαγγέλιον. Πλὴν ἡμεῖς οὐκ ἐπίπροσθέν σου μεταγενέστερον ἄλλον τεθείκαμεν. Ἔχεις γὰρ ἣν ἔλαχες πάλαι τάξιν ἀναφαίρετον καὶ πρωτοστατεῖς τῶν αὐτῶν ὧν ἐπρωτοστάτεις καὶ πρὶν, καὶ προεδρεύεις ὧν πρώην προήδρευες κἀπὶ τὰ πρεσβεῖα τῆς ἀνωτέρω τιμῆς προβαίνεις ἀπαραγκώνιστος. Οὐ γάρ τινα τῶν ὑφεστώτων ἀνωτέρω σου φέροντες προεστήσαμεν. Βάρος δὲ διακονίας ὅπερ οὐχ οἷός τε ἦσθα καὶ αὐτὸς ἀναδέξασθαι δι' ἣν ἔχεις ἀσθένειαν σωματικὴν, ἀνεθέμεθα ἑτέρῳ ἀνδρὶ οὐ πολλοστῷ μετὰ σὲ, ἀλλ' εὐθὺς τεταγμένῳ μετὰ σὲ καὶ τῇ ἐκκλησίᾳ διακονησαμένῳ πολυτρόπως, καὶ οὐ μόνον σοῦ, ἀλλὰ καὶ ἑτέρων πολλῶν ἄμεινον. 6. Εἰ δὲ δυνατὸς εἶναι φῂς τὰ ἱερὰ σκεύη ἐποπτεύειν τε

1. *σοί τε*. — 9. ‖ Κώδ. 37,α. *τί*. — 27. *οἷος*. — 28. *αὐτὸς*.

www.ibtool.com.cn

Digitized by Google

καὶ φυλάττειν μετὰ τοιαύτης ἀσθενείας, τάχα καὶ ὁ παρ' ἡμῖν οὗτος ἄλαλος καὶ κωφὸς ἀξιώσει κορυφαῖος χοροστάτης γενέσθαι τῶν ἱεροψαλτῶν ὡς ψάλλειν τε καὶ ὑπακούειν δυνάμενος; Ἀλλὰ πλείστους σκευοφύλακας λέγεις γενέσθαι τυφλούς. Πῶς τοῦτο εἴρηκας; Εἰ μὲν μετὰ τὸ προβληθῆναι λέγεις ἀμβλυνθῆναι τοὺς ὀφθαλμοὺς αὐτῶν, καινὸν οὐδέν. Πολλοὶ γὰρ καὶ τῶν ἐπισκόπων τῇ συμφορᾷ ταύτῃ περιπίπτουσιν. Εἰ δὲ τυφλοὺς πρῶτον ὄντας εἶτα περιβληθῆναι διισχυρίζῃ πρὸς τὰς διακονίας ταύτας, ψευδής σου ἡ ἔνστασις. Οὔτε γάρ τις ἐπίσκοπος γίνεται οὔτε μὴν ἱερεὺς ἢ διάκονος τυφλὸς καὶ κωφὸς ὢν κατὰ τὸν ἀποστολικὸν καὶ θεῖον κανόνα, ὃν μετὰ μικρὸν ὕστερον παραθήσομαι. 7. Ἐγὼ δέ σου κἀκεῖνο θαυμάσας ἔχω, ὅπως τὸ σαυτοῦ πλημμέλημα ἐμοὶ προσέρριψας. Δέον γὰρ σαυτὸν αἰτιάσασθαι, ἐθελήσαντα τὴν μὲν τοῦ ὀφφικίου σφραγῖδα δέξασθαι, τὴν δὲ διακονίαν ἐνεργεῖν ἕτερον, ἐμὲ τὸν ἀναίτιον ἠτιάσω. Ποῦ γὰρ ὑπαίτιος ἐγὼ ἐν οἷς, αὐτὸς ἐπιτρέχων τῇ σφραγῖδι, τὴν ἐνέργειαν τὴν τοῦ ὀφφικίου ἀπεβάλου καὶ τὸ σφραγισθῆναι προείλου διὰ τὴν τοῦ πλείονος ἔφεσιν; Καὶ ταὐτὸν πέπονθας τῷ τῆς αἰσωπείας κυνός, ἥτις, ἐπιλαβέσθαι προθυμηθεῖσα τῆς φανταζομένης ἐν τῷ ποταμῷ σκιᾶς ὡς πολλῷ μείζονος, καὶ ὃ κατεῖχεν ἀπώλεσεν.

8. Ἄλλως τε τότε μὲν καὶ ἐσφραγίσθης ἄν, εἴ περ ἠβουλήθης, οὔπω τοσοῦτον ὡς νῦν ὑπὸ τῆς ἀσθενείας καταποθείς, νῦν δὲ πῶς ἂν ἐπιστεύθης φυλακὴν ἱερῶν σκευῶν ἀνὴρ κλίνης τοῦ λοιποῦ καὶ γωνίας ἄξιος καὶ οὐχ οἷός τε ὢν σεαυτῷ χρῆσθαι, ἀλλὰ καὶ πρὸς τὸ βαδίζειν τρία ποδὸς βήματα τοῦ χειραγωγοῦντος δεόμενος; Ἱκανούσθω ἡμῖν, ὦ βέλτιστε σακελλίων, τὰ ἤδη ἀπολωλότα ἱερά· φειδώμεθα τῶν περιλειφθέντων, μὴ γένωνται φροῦδα καὶ ταῦτα. Οὐ γὰρ μικρὸς ὁ ἐντεῦθεν κίνδυνος. Μόνος ὁ Ἄχαρ ὑφείλετό τι τῶν ἀναθημάτων καὶ θυμὸς Κυρίου ἐπὶ πάντα τὸν Ἰσραήλ. 9. Ἐπεὶ δὲ ζητεῖς

15. *σφραγίδα*. — 16. *ἠτιάσω* κατὰ διόρθωσιν τοῦ τὸ πρῶτον γραφέντος *αἰτιάσω*. — 19. *ταυτὸν*. — 25. *οὐχ' οἷος τε*. — 27. *σακελλίου*.

Digitized by Google

εἰ κανονικόν ἐστι τὸ παροφθῆναί σε διὰ τὴν τύφλωσιν, ζητῶ κἀγὼ μαθεῖν παρὰ τῆς σῆς λογιότητος ὁποῖος κανὼν διορίζεται κατὰ βαθμὸν τὰς σφραγῖδας ποιεῖσθαι καὶ τὰς προβολὰς ‖ τῶν τοῦ πνεύματος διακονιῶν; Ποῖος νόμος διακελεύεται μὴ ψήφῳ καὶ δοκιμασίᾳ εἰς τὰ τοῦ πνεύματος προκρίνεσθαι λειτουργήματα, χρόνῳ δὲ καὶ βαθμῷ καὶ τῷ προκληρωθῆναι τῶν ἄλλων; Ἆρα χρόνῳ ἢ βαθμῷ δουλεύει τὸ πνεῦμα τὸ ἅγιον, θεοφιλέστατε, καὶ οὐχ ὅτε καὶ ὅπου θέλει πνεῖ; Καὶ πῶς τοὺς πρεσβυτέρους υἱοὺς τοῦ Ἰεσσαὶ παρεῖδε καλοὺς ὄντας καὶ μεγάλους τῷ φαινομένῳ, τὸν δὲ μικρότερον καὶ νεώτερον καὶ ποιμενικὸν ἐξελέξατο; Ἆρα τολμήσεις ἐγκαλέσαι κἀκεῖ τῷ πνεύματι παράλογα χρόνου καὶ πρεσβείου καὶ φυσικοῦ βαθμοῦ σύγχυσιν; Μὴ σύ γε τοσοῦτον ἀντιπνεύσαις τῷ πνεύματι! 10. Ἀλλὰ νόμον μὲν ἢ κανόνα οὐκ ἂν ἔχοις προβαλέσθαι, ἔθος δὲ παλαιόν, μὴ ὑπερβάθμιον πόδα τείνειν ἐν ταῖς ἐκκλησίαις, μηδὲ τὰ κατωτέρω ὑπεράλλεσθαι καὶ τὰς διακονίας τῶν ἀνωτέρω δέχεσθαι. Καὶ μὴν εἰ πρὸς τὴν βασιλεύουσαν ἀναδράμοις, ὦ πολυτίμητε σακελλάριε, ὥσπερ ἄρα καὶ μέλλεις, καθὼς οὐκ ὀλίγοι λέγουσιν, ἴδοις ἂν ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ σακελλίους καὶ σκευοφύλακας καὶ ῥεφενδαρίους ἐκ τῶν ἐσχάτων ὀφικίων εἰς τὰ ὑψηλότερα ταῦτα ὑπερβάντας, ἐνίους δὲ καὶ ἔξωθεν τοῦ κύκλου τῶν ἀρχόντων εἰς τὰ ἀνώτερα ἀπ' ἐντεῦθεν εἰσαχθέντας καὶ νεωτέρους γερόντων προτιμηθέντας κατὰ τὸ ἀνεστηλωμένον ἐκεῖσε νεαρὸν θέσπισμα. 11. Οὐκ ἀκούεις δὲ ὅτι καὶ ὁ νῦν ἁγιώτατος καὶ σοφώτατος οἰκουμενικὸς πατριάρχης πολλῶν προγενεστέρων καὶ προβαθμιωτέρων διὰ τὸ ὑπερβάλλον τῆς σοφίας καὶ ἀρετῆς προτετίμηται καὶ εἰς τὸν ὑπέρτατον θρόνον ἀνήρπασται; Τὸ δὲ καινότερον, καὶ ὁ νῦν χαρτοφύλαξ τῆς μεγάλης ἐκκλησίας ἐκ τοῦ σκευοφύλαξ εἶναι ὑπεβιβάσθη πρὸς

λλ

4. ‖ Κώδ. 37,6. — 13. *ἀντιπνεύσεις*. — 18. *σακε*. — 21. *ῥαιφενδαρίους* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *ῥαιφαιρδαρίους*. — 23. *ἀπερτεῦθεν*.

Digitized by Google

τὸ ὀφφίκιον τοῦτο· καὶ οὐκ ἄν τις εἴποι εὖ φρονῶν σύγχυσιν ταῦτα ποιοῦσαν τὰ ἄνω κάτω καὶ τὰ κάτω ἄνω, ἀλλὰ τῶν οἰκονόμων τῆς ἐκκλησίας ἐξητασμένην διοίκησιν, πρὸς τὸ λυσιτελὲς ἑκάστῃ διακονίᾳ τοὺς ἱκανωτέρους ἢ ἄλλως ἀξιωτέρους δοκιμάζουσαν. Ἦν ὁ μὲν βάπτων εἰς νοῦν οὐκ ἠγνόησεν, ὁ δὲ κατὰ σὲ ἀνεύλογον νομίζει καὶ ἀντίξουν τῇ τῶν κανόνων εὐθύτητι. 12. Πλὴν ἄκουσον καὶ κανόνος τῶν θείων ἀποστόλων, ἐξ οὗ, οἶμαι, καὶ τὸ κατὰ σὲ τμηθήσεται ζήτημα ὡς πάντη σχεδὸν ὅμοιον· «κωφὸς δέ τις, φησιν, ὢν καὶ τυφλὸς μὴ γινέσθω ἐπίσκοπος οὐχ ὡς μεμιασμένος, ἀλλ' ἵνα μὴ τὰ ἐκκλησιαστικὰ παρεμποδίζοιτο». Παρὰ τοῦτο γοῦν οὐδὲ σὺ σκευοφύλαξ παρ' ἡμῶν προεβλήθης, ἵνα μὴ τὰ ἱερὰ σκεύη ἀφύλακτα ὄντα εὐχείρωτα εἴη τοῖς ἱεροσύλοις.

www.libtool.com.cn

κϐ'. Τῷ πατριάρχῃ κῦρ Θεοδοσίῳ.

1. Μετὰ πλείστης αἰδοῦς ἐγχαράττω τὴν παροῦσαν γραφήν, ἁγιώτατε δέσποτα. Οἷς γὰρ μὴ συχνότερον ἐπιστέλλω, οὐδ' ἄξιόν τι ἐπιδείκνυσθαι οἷός τέ εἰμι, ὁποῖον πρὸς τοὺς τηλικαῦτα εὐηργετηκότας οἱ εὐχάριστοι, ἐκάλυψεν ἐντροπὴ τὸ πρόσωπόν μου καὶ οὐδὲ γρύζειν τοῦ λοιποῦ οὐδ' ἐν γράμμασιν ὅλως τολμῶ. Κἂν εἰς τέλος ἐσίγησα, εἰ μὴ πρῶτα μὲν τὸ ἴλεων τῆς σῆς ἁγιότητος καὶ εὐπαραίτητόν τε καὶ συγγνωμονικὸν ἐπαναφέρειν τῆς ἀμέτρου ὑποστολῆς ἔπειθεν, εἶτα καί τίς με λογισμὸς πρὸς τὸ γράφειν ἀνεζωπύρησεν, ὑπαγορεύων ἄμεινον εἶναι πολλῷ τὸ ἐκ διαλειμμάτων γοῦν καὶ χρόνῳ τὴν καθήκουσαν διὰ γραμμάτων ὁμιλίαν ἀφοσιοῦν ἢ ἐλλείπειν παντάπασιν. 2. Ἴλαθί μοι τοίνυν, ἁγιώτατε δέσποτα. Οὐκ ἐπιλήσμων ἐγὼ τοῦ θεοῦ μου, πόνος δ' ἄλλος

1. *εἶπη*. — 6. *ἀνευλόγον*.

κϐ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 37,6-38,α.

16. *οἷος τέ*. — 20. *συγγνωμονητικὸν*.

Digitized by Google

ἐπ' ἄλλῳ προσπίπτων ἀνθέλκει καὶ οὐκ ἐᾷ προσανέχειν οἷς ἔδει τὴν μνήμην ἐναδολεσχεῖν συνεχῶς ἀεί. Πρόσευξαι δὲ καὶ τὴν σὴν θεάσασθαι καὶ προσκυνῆσαι ἁγιωσύνην πρὶν ἢ τὴν παροῦσαν καταλῦσαι ζωήν. 3. Γεωργικοῦ βιβλίου χρῄζομεν καὶ ἐπεὶ πολλὰ τοιαῦτα οἶδα ἔχειν τὴν ἁγιωσύνην σου, παρακαλῶ σταλῆναί μοι ἐν ἀπ' αὐτῶν ἢ δοθῆναι πρὸς τὸν αὐτάδελφόν μου ἐφ' ᾧ μεταγραφῆναι. Μετὰ γὰρ τῶν λοιπῶν ματαιοτήτων καὶ τῇ περὶ γεωργίαν προσκεῖσθαι ἀναγκαζόμεθα.

4. Οὕτως ἄνωθεν κάτω προβαίνομεν ‖ ἢ κατωκάρα, ὡς ἔφη τις, βιοτεύομεν μετὰ τὴν σεμνοτάτην ἱερωσύνην καὶ πολυέραστον. Ἀλλὰ στόμα πρὸς στόμα λαλήσαιμέν ποτε πρὸ τοῦ κατακριθῆναι τὴν τελευταίαν σιωπήν, ἵλεώ μοι γινομένου τοῦ θεοῦ διὰ τῶν σῶν ὁσιωτάτων προσευχῶν.

κγ'. Τῷ Νέων Πατρῶν καὶ ὑπερτέμῳ κυρῷ Εὐθυμίῳ.

1. Εὐλογητὸς ὁ θεός, ἁγιώτατε καὶ σοφώτατε, ὅτι σε καὶ πάλιν ἡμῖν ἀπέδωκε, τὸν πᾶσι μὲν οἷς ἡδύ τι καὶ λέγειν ἐράσμιον, Ἑλλάδι δὲ καὶ τῇ Κωνσταντίνου περιμάχητον μάλιστα, τῇ μὲν ὡς ἐνεγκαμένῃ καὶ τὸ εἶναι παρασχομένῃ, τῇ δ' ὡς θρεψαμένῃ σοφίᾳ καὶ χάριτι καὶ τὸ εὖ εἶναι προσθεμένῃ. 2. Διὰ ταῦτα οὖν ἑκατέρα μὲν οἰκειοῦται καὶ ὅλον ἐξιδιοῦσθαι φιλονεικεῖ, σὺ δ' ἀλλ' εἴπερ τινὶ καὶ τοῦτο σοφώτατα διαιτᾷς, θατέρᾳ παρὰ θατέραν χαριζόμενος καὶ κατὰ καιρὸν ὅλον ἀποδιδοὺς ἑαυτὸν καὶ μήτε ἀδικῶν μηδετέραν καὶ ποθεινότερος ἀμφοτέραις γινόμενος. 3. Ὅτε μὲν γὰρ τῇ βασιλίδι πόλει χαρίζῃ, τηνικαῦτα καὶ τῇ Ἑλλάδι θερμοὺς ὑποκάεις τοὺς ἔρωτας· πάλιν δ' ἀναψύχων Ἑλλάδα τῇ παρουσίᾳ, φλέγεις

3. *πριν*ὴ. — 6. *σταλῆναι*. — 7. *ἐφῶ*. — 9. ‖ Κώδ. 38,α.

κγ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 45,α-45,6.

Τίτλος. *τοῦ αὐτοῦ τῶ νέων πατρῶν* κτλ. — 18. *προθεμένη*. —19. *ταῦτα ὧν*. — 20. *εἴπέρ τινι*.

Digitized by Google

τὴν Κωνσταντίνου ‖ τῷ πόθῳ τῆς διαστάσεως· καὶ οὕτως ὑπὸ δυεῖν τούτων βαρυζήλων ἀντιζήλων φιλούμενος παρὼν καὶ ποθούμενος ἀπὼν, οἶδας ἀμφοτέραις ἐν τῷ μέρει χαρίζεσθαι, κοῦφος ἐκ θατέρας εἰς θατέραν φερόμενος ὡς ἂν ὑπ' ὠκυπτέρων ἐρώτων ἀνεχόμενος καὶ οὐδὲ γήρως βαρύτητι, πρὸς ὅπερ ἀποκλίνεις ἤδη, γινόμενος ὀκνηρότερος, ὁποῖοί ἐσμὲν ἡμεῖς, ὧν ἡ ἀκμὴ τῇ κατὰ σὲ παραβαλλομένη παρακμῇ οὐδ' ὅσον πρὸς γῆρας ἀετοῦ νεότης κορύδου παρεξετάζοιτ' ἄν. 4. Καὶ δῆλον ἐκεῖθεν· ἔτος τοῦτο τρίτον πειρώμεθα πρὸς τὴν μεγαλόπολιν ἀνελθεῖν, καὶ οὔπω ἀνήλθομεν. Μένομεν δὲ κατὰ χώραν, ὑπ' ὄκνου μαλακιζόμενοι ὡς οἱ μέλλοντες ἀνίπτασθαι ὄρνιθες καὶ οὐκ ἀνιπτάμενοι, οὕτω δὲ μάτην ὑποχαλῶντες τὰς πτέρυγας. 5. Ἀλλὰ τοῦτο μὲν διοικείτω θεὸς ὅπως καὶ βούλεται· παρ' οὗ πᾶσα ἠρεμία καὶ κίνησις, εἴ περ ἐν προνοίᾳ θεοῦ καὶ ἡ ἡμετέρα οὐθένεια. Σὺ δ' ἀλλ' ἄγε μετάδος ἡμῖν, ὦ θειότατε δέσποτα, τῆς ὑπερτίμου λαμπρότητος, τῆς εὐδαιμονίας, τῶν δόσεων, τῶν χαρίτων, τῶν δωρεῶν, τῶν λοιπῶν ἀγαθῶν ὅσα βασιλεὺς ὁ θεοειδὴς, ἀρετὴν τιμῶν καὶ σοφίαν, φιλοτίμως ἐδαψιλεύσατο. Ἢ ταῦτα μὲν ὅτε ἀλλήλοις ἐντευξόμεθα, διελώμεθα δικαίως, εἴ περ κοινὰ, ἐμοῦ μὲν μετὰ λογιστευτικῆς ἀκριβείας ἀπαιτήσαντος λόγους, σοῦ δ' ὑποσχόντος περὶ πάντων, ὅτε οὐδὲ τὴν τοῦ Περικλέους σκῆψιν ἔχοις ἂν, οἶμαι, προβαλέσθαι, τὸ εἰς τὸ δέον ἀναλῶσαι τοσάδε τάλαντα. 6. Τῷ τέως καὶ ταύτην μοι δὸς πρώτην αἴτησιν, γνησίως καὶ ἰδεῖν καὶ προσδέξασθαι τὸν εὐλαβέστατον καθηγούμενον τῆς σεβασμίας μονῆς τοῦ μεγάλου προφήτου Ἠλιοῦ καὶ ἔχειν τοῦ λοιποῦ τοῦτον ἐν τοῖς μάλιστα τῶν σῶν. Κατὰ πάντα πολυχρόνιον διαφυλάττοι θεὸς τὴν σὴν ἁγιότητα, ἣν προσκυνεῖ καὶ ὁ γραμματικὸς ἡμῶν κῦρ Νικόλαος Ἀντιοχείτης.

---

1. ‖ Κώδ. 45,6. — 6. *ὁποῖοι ἐσμὲν*. — 24. *τωτέως*.

Digitized by Google

www.libtool.com.cn

κδ'. Τῷ αὐτῷ.

1. Σύμφημι καὶ αὐτὸς, σοφωτάτη καὶ ὑπέρτιμε κεφαλὴ, τὰ μὲν τῆς σῆς ἁγιότητος φθονούμενα λέγοντι καὶ διὰ τοῦτο βαλλόμενα πάντοθεν, τὰ δ' ἡμέτερα οὐκ ἐπηρεαζόμενα φθόνῳ, ἅτε μηδὲ ζηλούμενα. Φύσις γὰρ αὕτη φθόνου πρὸς τοὺς ἔχοντας ἔρπειν, τοὺς δὲ μηδὲν αὐχοῦντας σεμνὸν ἢ ἄλλως μέγα μὴ προσποιεῖσθαι, κατὰ τοὺς δεινοὺς ἀριστέας, οἳ, τὸ πλῆθος περιφρονοῦντες, τοῖς ἀνδραγαθιζομένοις ἐπιθυμοῦσι συμπλέκεσθαι. 2. Τί γοῦν σοι καινὸν, εἰ ἐπιφύεται μὲν οἷς πέφυκεν ἐπιφύεσθαι, ἐπιστήμῃ φημὶ, σοφίᾳ, φρονήσει, περιφανείᾳ, ἄλλοις μυρίοις, ὧν τοῖς ἀπολαμπρύσμασιν ἕλκεις πρὸς σεαυτὸν τὸ τοῦ φθόνου βλέφαρον, τὸν δὲ μηδὲν τούτων ἔχοντα τὴν ἀρχὴν ἢ ἀμυδρόν τι καὶ οὐχ οἷόν τε ἄλλως ὑποκνίζειν ἀνεπηρέαστον ἐᾷ μένειν καὶ οὕτως εἰκῇ κείμενον; 3. Εἰ δὲ τὴν ἄκραν ταύτην θαυμάζεις καὶ τὸ ἐν αὐτῇ καθῆσθαι προσκυνούμενον, ὡς ἂν φαίης αὐτὸς, ὡς δ' ἐγὼ οἶδα προσηλῶσθαι λύπαις τὸ ἧπαρ κειρόμενον, τί μὴ πρότερον εὐδαιμονίζεις τὸν μυθευόμενον Προμηθέα ἐφ' ὑψηλοτέρας πέτρας, τοῦ Καυκάσου, ταὐτὰ πάσχοντα; Πῶς δὲ καὶ σχετλιασμοῦ ἠξίωσας τὸ μισεῖσθαί σε φιλοῦντα καὶ κακοῦσθαι ποιοῦντα εὖ, ταῦτα δὴ τὰ τῆς χριστιανικῆς φιλοσοφίας σεμνώματα, δι' ὧν εἰς τὴν κατὰ Χριστὸν ἀναβαίνεις ὁμοίωσιν; ἢ πῶς ὡς ἐπαινουμένους ἡμᾶς ἐμακάρισας, οὓς τοὐναντίον Χριστὸς ἐταλάνισε, τὸν ἐξ ἀνθρώπων θηρωμένους ἔπαινον; 4. Ἀλλὰ ταῦτα μὲν ὅπως καὶ γράφειν προήχθης οὐ λέληθας. Ἵνα γὰρ μὴ τὰ τῆς εὐδαιμονίας καταναγκασθῇς πρὸς ἡμᾶς διελέσθαι, εἰς μέσον κοινὰ προθέμενος, ἐξῆρας μὲν τὰ ἡμέτερα ὡς μᾶλλον εὐδαιμονέστερα, τὰ δὲ περὶ σὲ σὺν τέχνῃ πως ἀπεκλαύσω, ὡς οὐκ εὖ τάχα

κδ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 45,β-46,α.

2. διατοῦτο. — 12. οἷον. — 15. ἧπαρ. — 17. ὑφ'. ταυτὰ. — 27. πῶς.

Digitized by Google

πράττοντα, παραίτησιν ταύτην τῆς τῶν ἀγαθῶν κοινωνίας εὐπρόσωπον προβαλλόμενος. Ἀλλ' ἐν Ἑλλάδι κἀγὼ στρέφομαι καὶ πῶς παρὰ Κρητὶ κρητίζειν ἐτόλμησας; 5. Οὐκοῦν ἐπεί περ ἑάλως || τοιαῦτα μηχανώμενος ἢ σοφιζόμενος, ἄγε δὴ διάπεμπέ τι καὶ πρὸς ἡμᾶς τοὺς φίλους, ἀφ' ὧν κατὰ θεῖον ηὐτύχησας μεταδιδοὺς βασιλικῶν μεγαλοδωρεῶν, δυνάμεως, εὐημερίας, ὕψους, λαμπρότητος· προσθήσω δ' ἔτι καὶ τοῦ ἐπὶ τούτοις φθόνου, ἵνα τῶν φθονουμένων ὦμεν καὶ ἡμεῖς καὶ μὴ τῶν ἐλεουμένων. Ἤ ταῦτα μὲν αὐτόθεν ἔχομεν, εἴ περ κοινὰ τὰ τῶν φίλων, αὐτὸν δὲ σὲ μόνον ποθοῦμεν Ἀθήνησιν ἀπολαβεῖν καὶ τὴν ἐκ τοῦ ἰδεῖν καὶ ὀφθῆναι γλυκυθυμίαν εὑρέσθαι. Ὅ καὶ γένοιτο θᾶττον, τοῦ θεοῦ ἐρρωμένον διατηροῦντός σε.

www.ibtool.com.cn

κε'. Τῷ πατριάρχῃ κῦρ Θεοδοσίῳ.

1. Χρόνος συχνὸς, μακρὰ σιωπὴ καὶ δεσποτικὸν γράμμα οὐδὲ βραχύ. Τάχα εἰς τὸ ταμιεῖον εἰσελθὼν ἀποκρύπτεται καὶ μόνος ἐντυγχάνει μόνῳ θεῷ καὶ τῶν καθ' ἡμᾶς ἀνθρωπικῶν οὐδαμῶς ἐπιστρέφεται, μύσας τὰς αἰσθήσεις καὶ νοερῶς εἰς ἑαυτὸν συναγόμενος, τοῦτο δὴ τὸ μόνον εἰς σωτηρίαν ἄρτι ἐχέγγυον, ὡς τό γε τοῖς ἐν μέσῳ πράγμασιν ἐγκαλινδεῖσθαι καὶ οἴεσθαί τι κατορθοῦν προῦπτος ἀπάτη καὶ ἴδιος προφανὴς ὄλεθρος. Ὅπερ πάλαι τοῖς σοῖς λόγοις ἐδιδασκόμην, μακαριώτατε δέσποτα, νῦν δὲ καὶ ἔργοις αὐτοῖς μανθάνω σαφέστερον, οἴμοι, ὅτι ἀπόλωλεν εὐλαβὴς ἀπὸ τῆς γῆς καὶ οὐκ ἔστιν ὁ ποιῶν ἀγαθὸν, καὶ δεόμεθα δευτέρου κατακλυσμοῦ, φθαρείσης αὖθις τῆς γῆς, οὐκ οἶδα εἰ πάσης, τῆς γε μὴν καθ' ἡμᾶς πάσης συμπάσης ὁμοῦ, ἔνθα φθόνος κότος τε καὶ ἄλλων ἔθνεα

4. || Κώδ. 46,α. — 10. *δέ σε*.— 12. *διατηροῦντος*.

κε'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν τῷ λαυρεντιακῷ κώδικι, φ. 46,α καὶ τῷ βαροκκικῷ, φ. 160,β.

18. *ἐγκαλιδεῖσθαι* B. — 20. *πάλιν* B. — 22. *ἔστιν ὁποῖον ἀγαθὸν* B.

Digitized by Google

κηρῶν. Ὡς ἐμέ γε καὶ δέος οὐκ ἀνεύλογον θράττει, μὴ παραπολαύσω θεομηνίας τοῖς ἐνταῦθα συναναστρεφόμενος. 2. Βαβαὶ τοῦ ψεύδους, ἡλίκον καὶ ὅσον, βαβαὶ τοῦ φθόνου, ὁπόσος. Πῶς ἂν ἐκτραγῳδήσω τὴν τηλικαύτην ἀδικίαν, τὴν πλεονεξίαν, τὴν μισαδελφίαν, τὰ σύστοιχα τούτοις ἄλλα κακά; ὧν τὴν μὲν θεραπείαν πάλαι ἀπηγορεύκαμεν, ἐν μέρει δ' εὐχαῖς ποιούμεθα μὴ μετασχεῖν τοῦ κακοῦ κατὰ τὴν μετάδοσιν τοῦ λοιμοῦ. 3. Ἐπεὶ γοῦν τοιοῖς δε κινδύνοις περιειλημμένους μεμάθηκας, μὴ προσευχαῖς μόνον ἀντιλαμβάνου τῆς ἀσθενείας ἡμῶν, ἀλλὰ καὶ συχνότερον παραμυθοῦ τοῖς γράμμασι.

www.libtool.com.cn

κς'. Τῷ πατριάρχῃ κῦρ Βασιλείῳ.

1. Ἔδει μὴ ἐς τοσοῦτον στερεῖσθαι τῆς ἐκ τοῦ θεοειδοῦς σου προσώπου ἐλλάμψεως, ὦ τῆς κατὰ Χριστὸν ἱερωσύνης φανότατε ἥλιε, ἀλλ' εὐθὺς προσδραμεῖν ὅ τι ἐγγυτάτω καὶ παρὰ σοὶ φωτὸς ἐμπλησθῆναι καὶ τὸν σκότον τῶν λυπηρῶν ἀπώσασθαι. Ἐπεὶ δὲ καὶ εἰςέτι τὴν λαχοῦσάν με ταύτην ἐσχατιὰν οἷά τινα ὑποχθόνιον χώραν οἰκῶ, ἐπιπροσθοῦσαν ἐνώπιον ἐνωπίῳ ἐνατενίζειν σε, ἀγαπητὸν ἐμοὶ καὶ εἴ ποτε διὰ γράμματος ἀμυδροῦ ὅσα καὶ διόπτρας τινὸς τῷ ἀκραιφνεστάτῳ φωτί σου προσομιλήσας συνέσομαι. 2. Τὸ γὰρ ἐθέλειν ἐντυχεῖν τῇ μεγάλῃ ἁγιωσύνῃ σου καὶ μετασχεῖν σοφίας τινὸς καὶ ἁγιασμοῦ πείθει με καὶ ἀπόντα συνεῖναι δοκεῖν καὶ τῷ ὑπερτάτῳ σου θρόνῳ πελάζειν καὶ τῶν αὐτόθεν ἐλλάμψεων ἀμέσως ἐμπίπλασθαι. Οὕτω τὰ ἰνδάλματα τυποῦνταί μοι

ἴ

4. *ἐκτραγωγήσω* B. — 5. *ταύτης* B. — 6. *θεραπείαν* B. — 10. *γράμμασιν* B.

κς'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν τῷ λαυρεντιακῷ κώδικι, φ. 46,α-46,β καὶ τῷ βαροκκικῷ φ. 160,β-161,α.

16. *δοκῶ* B. — 19. *θέλειν τυχῆ τῇ* B. — 20. *ἁγιωσύνη* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *ἁγιωσύνην*. B. — 23. *τυποῦνται* ΛB.

Digitized by Google

πρὸς ἐνάργειαν. 3. Εἴη δὲ καὶ ἐκ τῆς γῆς ταύτης ἀνελθεῖν ποτε, ἧς οἱ μοχλοὶ κάτοχοι αἰώνιοι, καὶ ὀφθαλμοῖς αὐτοῖς ἰδέσθαι τὸ ἄκρον τῆς ἱερωσύνης, ποιητὴς ἂν εἶπεν, ἄωτον, ἵνα μὴ τῆς τοῦ νότου βασιλίσσης ἐλεγχώμεθα δεύτεροι, οἷς μὴ κατ' ἔρωτα σοφίας πολλῷ τῆς σολομωντείου μείζονος ἐπιτομωτέραν ὁδοιπορίαν ἐθαρρήσαμεν. Καί τοι ἐκείνην μὲν μόνη φήμη τοῦ Σολομῶντος εἵλκυσε, πρᾶγμα οὐ σφόδρα πιθανὸν καὶ ὡς τὰ πλεῖστα ψευδόμενον· ἡμᾶς δὲ πεῖρα μακρὰ, τῆς κατὰ σὲ σοφίας γεύσασα, δυσκαθέκτους μᾶλλον ποιεῖ καὶ δυσέρωτας καὶ οὐκ ἀνεχομένους τὸ μὴ οὐ θᾶττον πρὸς τὸ ποθούμενον θαῦμα ἴεσθαι. 4. Γένοιτο οὖν μοι τὸν ἀποστολικόν σου θρόνον προσπτύξασθαι καὶ τῆς παρ' αὐτοῦ καταπολαῦσαι χάριτος. Ἡμεῖς μέντοι πολλὰς δυσχερείας εὑρηκότες ἐν τῇ καθ' ἡμᾶς ἐκκλησίᾳ καὶ τῆς παρὰ τῆς μεγάλης ἁγιωσύνης σου δεομένας ἐπιλύσεως, τῷ τέως δεόμεθα ἵνα τὰ κακῶς ἐκδεδομένα ἀκίνητα ἐπανέλθωσιν εἰς αὐτὴν, περὶ ὧν ἡ ἀποσταλεῖσα πρὸς τὴν μεγάλην ἁγιωσύνην σου ἀναφορὰ κατὰ μέρος ἀναγγελεῖ. Ἴλεως εἴη μοι θεὸς διὰ τῶν σῶν ἁγίων εὐχῶν.

κζ'. Τῷ Ματζούκῃ κῦρ Θεοδοσίῳ.

1. Τοῖς μὲν ἄλλοις ἀνιαροῖς οἶδε μαραίνειν τὴν ἀκμὴν ὁ χρόνος καὶ οὐκ ἔστι τι πάθος ἢ συμφορὰ ἣν οὐκ ἂν ὁ χρόνος κοιμίζοι· διὰ ταῦτα καὶ θεὸν εὐμαρῆ τὸν χρόνον φασί. Τὴν δ' ἐκ τῆς ἀποδημίας ἀλγηδόνα οὐχ οἷός τέ ἐστιν ἀμαυροῦν, ὅτι μὴ καὶ σφόδρα ἐπιτείνει καὶ πλέον ὀδυνηροτέραν ποιεῖ. Εἰ γοῦν

1. *ἐνέργειαν* Λ.— 2. *ποτὲ* ΛΒ. — 4. *τοῖς* Β.—10. *ἀνεχομένη* Β. — 12. *κατὰπολαῦσαι* Β. — 14. *καὶ τὰς παρὰ* Β. *τῇ μεγά.λῃ ἁγιωσύνῃ* Λ. *σου* λείπει Β. — 15. *τωτέως* Β. — 18. *εἴημι* Β.

κζ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν τῷ λαυρεντιακῷ κώδικι, φ. 46,β-47,α καὶ τῷ βαροκκικῷ, φ. 161,α-161,β.

Τίτλος. *ματζούκι* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *ματζοῦκι* Λ. *θεοδώρῳ* Β. — 20. *τί* Β.— 21. *κοιμίζη* Λ. *καμύζῃ* Β.—22. *οἷος* ΛΒ. — 23. *μὴν* Β. *ἐπιτεῖναι* Β. *οἱ γοῦν* Λ.

www.tiptool.com.cn

Digitized by Google

οἱ ποθοῦντες ἐν ἥματι γηράσκουσιν ὅτε δήπου διίστανται, τί πάσχειν εἰκὸς τοὺς ἐν ἀποδημίαις ἀπενιαυτιάσαντας; Εἰ δ' ἐνιαυτὸς εἷς τῶν παρὰ τῷ Μέτωνι μεγάλων ἐνιαυτῶν τοῖς κάμνουσι πόθῳ μακρότερος, ὁπόσος ἂν νομισθείη ὁ ὑπερέκεινα;

2. Οὕτως εἰ καὶ μηδὲν ἕτερον εἴχομεν τὸ λυποῦν, τὸ γοῦν ἀπόδημον ἀπόχρη μόνον εἰς λόγον κακώσεως· καὶ μᾶλλον ὅτι οὐκ οἶδ' ὅπως ὑπὸ συνηθείας ἐσμὲν ἁλώσιμοι καὶ ἄλλως ἀγώγιμοι καὶ οὐ φέρομεν ἀνδρῶν τοιούτων διάστασιν, ὧν οὐ μόνον ὄψις καὶ λόγος ἐφέλκεται, ἀλλὰ καὶ γράμμα καὶ πρόσρημα στελλόμενον ἐπιστρέφει καὶ μνήμη μόνη πείθει δοκεῖν τοῖς φιλτάτοις συνεῖναι καὶ τὴν ἐκεῖθεν γλυκυθυμίαν δρέπεσθαι, ἕως ἐν ἐμαυτῷ ποτε γενόμενος τοὺς μὲν φίλους οὐκέτι βλέπειν δύναμαι, συναποπτάντας τῷ τῆς φαντασίας ἰνδάλματι, τὴν δ' ἐκ τῆς εἰδωλοποιίας χαρὰν εἰς κοπετὸν εὐθὺς μετατρέπω καὶ ἐμαυτὸν ὀδύρωμαι τῆς μονώσεως.

3. Βαθεῖα γὰρ Ἀθήνησιν ἐρημία καὶ σπάνις οὐ μόνον τῶν λοιπῶν ἀγαθῶν, ἀλλὰ πολλῷ πλέον καὶ φιλίας καὶ τῆς κατὰ Χριστὸν ἀγαπήσεως, ὅσον καὶ τῶν ἄλλων καλῶν τὸ χρῆμα τουτὶ σπανιώτερον. Καὶ νέμεσις μὲν οὐδεμία, οἶμαι, ἐπὶ στερήσει τοιούτων ἀνδρῶν μαλακίζεσθαι καὶ παθαίνεσθαι, πρὸς σὲ δ' ὅμως, γενναῖον ἄλλως ὄντα καὶ ἀξιοῦντα μὴ παρ' ὁτουοῦν τῶν ἀνθρωπικῶν παθῶν τοὺς καθ' ἡμᾶς ἁλίκεσθαι, φέρειν δὲ πάντα, εἰ μὴ μέλλοιμεν τοῦ ἐπαγγέλματος καταψεύδεσθαι, αἰδὼς καὶ γράφειν ὅλως τοιοῦτόν τι. 4. Ἐκεῖνα μέντοι προσανακλάεσθαι ὅσα τὸ μικρὸν ἡμῶν θλίβει ποίμνιον οὐδὲ τὸ σὸν, οἶμαι, καταμέμψεται μεγαλόψυχον ὡς οὐκ ἀγεν-

1. *ἥματι* ΛΒ. — 5. *ἔχομεν* Β. — 7. *ὑποσυνηθείας* Β. — *πρόρρηση* ὅπερ ἀναλυόμενον ἀποδεικνύει ὅτι ὁ βιβλιογράφος τὸ μὲν πρῶτον ἐνόει νὰ γράψῃ *πρόσρηση*, εἶτα δὲ διώρθωσεν εἰς *πρόρρημα* Β. — 12. *ποτὲ* Β. — 15. *ἀποδύρομαι* Β. — 18. *ὅσων* Β. — 19. *οὐδὲμία* ΛΒ. *ἐπιστερήσει* Β. — 24. *αἰδὼς ἐκ τοῦ τὸ πρῶτον γραφέντος αἰδῶς* Λ. — 25. *προσανακλαίεσθαι* Β. *ποίμνιον καὶ οὐδὲ* ΛΒ. — 26. *καὶ οὐκ ἀγεννῶς* Β.

www.nbtool.com.cn

Digitized by Google

www.libtool.com.cn

νοῦς τοσοῦτον ἀνδρὸς ὅσον φιλοποιμνίου καὶ συμπαθοῦς· γνώρισμα, τὸν χαλκοῦν φημι οὐρανὸν, τὴν σιδηρᾶν διὰ ταῦτα γῆν καὶ ἄσπαρτον καὶ ἀνήροτον, πρὸς ἐπὶ τούτοις, ἵνα τἄλλα σιγῶ, πειρατὰς ληιζομένους τὰ κύκλῳ τῆς Ἀττικῆς καὶ νῦν μὲν ἀγέλας βοσκημάτων ἐλαύνοντας, κατακόπτοντας, νῦν δὲ τοὺς ἀνόπλους καὶ ἀρράβδους ἀγεληδὸν καὶ αὐτοὺς ἀνδραποδιζομένους καὶ σιδήρου ποιουμένους πάρεργον ἢ τὰ ἐνεργὰ καὶ καιριώτερα τῶν μελῶν ἀκρωτηριάζοντας ἢ, τὸ τελευταῖον, ἀπεμπολοῦντας, ὁπότε καὶ φιλανθρωπεύσασθαι βούλονται, πλὴν οὐκ ἀλογοπραγήτως καὶ ἄλλως ἀβασανίστως, ἀλλὰ μετὰ τὸ τυπτῆσαι πολλὰ καὶ στρεβλῶσαι καὶ ἀναρτῆσαι καὶ τῷ βυθῷ καταδῦσαι πολλάκις καὶ οὕτω λαβεῖν ἀντάλλαγμα τῆς ψυχῆς τῶν ἀθλίων πάντα τὰ προσόντα σφίσι, πρὸς δὲ καὶ ὅσα δυνηθεῖεν παρὰ τῶν φιλανθρωποτέρων δανείσασθαι. 5. Προστίθημι τοῖς ὀλοθρευτικοῖς τούτοις κακοῖς καὶ τὴν κακῶς γενομένην διανομὴν καὶ κουφισμὸν τῶν δημοσίων τελῶν....καὶ ἐπὶ συντριβῇ μᾶλλον τῶν πτωχοτέρων καὶ ἀποικισμῷ παντελεῖ· ὧν τοὺς στεναγμοὺς οὐκ ἀπολεῖσθαι εἰς τέλος διδάσκει με Δαυὶδ ὁ φιλόπτωχος. 6. Τούτους νόμισον μεθ' ἡμῶν ἱκετηριάζοντας τεταριχευμένους ὁρᾶν, ῥάκη ῥωγαλέα περικειμένους καὶ τὴν αἰδῶ μόλις ἀμφικαλύπτοντας, πελιδνοὺς ἀκριβῶς καὶ ὑποκεκαυμένους λιμῷ. Μὴ γὰρ κριθοφαγοῦντας τοὺς Ἀθηναίους μανθάνων δόξῃς κριθιῶντας ‖ εἶναι καὶ εὐτραφεῖς, ὡς ὅτε τις ἵππος στατὸς ἀκοστήσας ἀπὸ φάτνης, ὅτι μηδὲ πολύχους μηδ' ἐριφυὴς Ἀθήνησιν ἡ κριθὴ καὶ ἧς πληρώσαι ἂν ὁ θερίζων τὴν χεῖρα καὶ τὸν κόλπον αὐτοῦ ὁ τὰ δράγματα συλλέγων· ἐνίους δὲ μήτε θερισμὸν μένειν μήτε μὴν ἅλωνα,

2. *φημὶ* Β. *σιδηρᾶν* Β.— 3. *προσεπιτούτοις* Β.— 6. *ἀράβδους* Β.— 8. *κυριώτερα* Β. *ἀκρωτηριάζονται* Λ.— 9. *ἀπεμπολοῦντες* Λ. *α*
ἀπέμπολοῦντες Β. — 12. *ἀντάλγμ* Λ. — 16. *κουφισμοῦ* Λ. *κουφισμῶ* Β. *ἐπισυντριβῇ* Β. Μετὰ τὴν λέξιν *τελῶν* φαίνονται ἐκπεσοῦσαι ἐν τοῖς κώδιξί τινες ὀλίγαι λέξεις. — 19. *νόμισαι* Λ. *νομίσαι* Β.— 20. *ῥωμαλέα* Λ.—21. *αἰδὼ* Β.— 23. ‖ Κώδ. 47, *α*. —24. *τίς* Β.— 25. *ἐριφνὴς* Β. *πληρῶσαι* ΛΒ.— 26. *αὐτοῦ* ΛΒ.

Digitized by Google

ἀλλ' αὐτοῦ που τίλλοντας ταῖς χερσὶ ψήχειν τοὺς στάχυας κατὰ τοὺς ἐν Εὐαγγελίοις πεινῶντας μαθητάς. 7. Τίς οὐκ ἐλεήσει τοὺς τοιούτους, τίς οὐκ οἰκτίσεται, οὐ σιτοδείᾳ μόνον, ἀλλ' ἤδη καὶ κριθοδείᾳ τετρυχωμένους; Ὁ μὴ καμπτόμενος τούτοις οὐ σιτοφάγῳ ἀνδρὶ ἔοικε, θηρίῳ δὲ ἄλλως ὠμοφάγῳ καὶ μισανθρώπῳ. Τούτων αἱ κραυγαὶ δι' ἡμῶν εἰσελθέτωσαν εἰς τὰ ὦτα τοῦ κυρίου μου, τοῦ λαμπροτάτου Χούμνου, καὶ μὴ στραφήτωσαν οἱ τῆς χώρας ἐντολεῖς κατηχυμένοι, τεταπεινωμένοι. Ναὶ, οὕτως ὄναιτο τοῦ βασιλείου κήδους καὶ τῆς καθ' αἷμα συνανακράσεως, οὕτω τύχοι τῆς εὐημερίας μονιμωτέρας καὶ τῆς τύχης ἀσφαλεστέρας καὶ οὐκ ἀγνώμονος.

8. Ἀλλ' οὕτω μὲν ἐγὼ τοῖς τῶν ἐμῶν Ἀθηναίων ἐπιτραγῳδῶ κακοῖς. Τῆς σῆς δ' ἂν εἴη φιλανθρώπου ψυχῆς καὶ κηδομένης τῆς ἡμῶν οὐθενότητος πεῖσαι μὲν τὸν τοιοῦτον ἄνδρα ἐνδοῦναι τῇ διορθώσει τῆς διανομῆς, διοικονομήσασθαι δέ τι καὶ κατὰ τῆς Αἰγίνης, τοῦ κοινοῦ καταγωγίου τῶν κατὰ θάλατταν πειρατῶν, ἀφ' ἧς ὡς ἐξ ὑπερδεξίου ὁρμητηρίου τῶν δεῦρο χωρῶν ἁπασῶν κατατρέχουσι, καὶ ὅλως τὰ ὑπὲρ ἡμῶν πραγματεύεσθαι, ἐπεὶ σὲ μόνον ἀντιλήπτορα ἡμῖν ὁ θεὸς ἐχαρίσατο· ὑφ' οὗ διατηροῖο ὑγιὴς, εὔθυμος, μακροχρόνιος.

κη'. Τῷ Τεσσαρακονταπήχει κῦρ Γεωργίῳ.

1. Ναὶ δὴ ταῦτά γε πάντα, φιλτάτη μοι ψυχὴ, κατὰ μοῖραν ἔειπες. Τεθέρισμαι τὴν γλῶτταν, ἀφήρημαι τὴν φωνὴν,

1. *ψώχειν* Λ. *ψ χειν* Β. — 2. *ευαγγελίοις* Β. — 3. *ἐλεήσει τούτους τίς* Β.— 8. *κατησχυμμένοι* Β. — 16. *διοικονομίσασθαι* Β.— 19. *κατατρέχουσι* κατὰ διόρθωσιν ἐκ τοῦ τὸ πρῶτον γραφέντος *κατέχουσι* Λ.— 20. *ἐπεί σε* Β.— 21. *πολυχρόνιος* Β.

κη'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν τῷ λαυρεντιακῷ κώδικι, φ. 47,α - 47,6 καὶ τῷ βαροκκικῷ, φ. 161,6.

23. *ἔειπας* Β.

Digitized by Google

τὸ πᾶν εἰπεῖν, βεβαρβάρωμαι χρόνιος ὢν ἐν Ἀθήναις, καὶ, τὸ σχετλιώτερον, ἐπελήσθην ὡςεὶ νεκρὸς καὶ ἐπιλέλησμαι. Κατέβην γὰρ εἰς τὴν κατωτάτην ταύτην ἐσχατιὰν, ἧς οἱ μοχλοὶ κάτοχοι αἰώνιοι. 2. Καὶ σὺ μὲν, τὰς τῆς φιλοσοφίας ἐκμετρήσας κλίμακας, οὐδὲ τὰς πολιτευτικὰς θέμιδας περιιδεῖν ἐδικαίωσας, ἀποβλέπων, οἶμαι, πρὸς τοὺς Κάτωνας καὶ Κικέρωνας, Ἀρριανούς τε καὶ Θεμιστίους καὶ τοὺς πρὸ μικροῦ Ψελλοὺς, οἳ τὴν ἄκραν φιλοσοφίαν πατήσαντες καὶ τὰς κοσμούσας τὰ ἀνθρώπινα θέμιδας ἐμελέτησαν, οὐκ ἐν τῇ γνώσει μόνῃ τῶν ὄντων τὸ θεοείκελον ὁριζόμενοι, ἀλλὰ καὶ ἐν τῷ τῶν δευτέρων ἐπεστράφθαι καὶ κοσμεῖν ὡς οἷόν τε. Δέον οὖν ἐπὶ τούτοις εὐθυμεῖν, αὐτὸς μᾶλλον ὡς μέσην συμφορὰν τὴν τῆς φιλοσοφίας προσθήκην προσανεκλαύσω μοι. Καὶ μή ποτε τοῦτο ἦν ὃ Σολομὼν πεφιλοσόφηκεν « ὁ προστιθεὶς, λέγων, γνῶσιν προστίθησιν ἄλγημα»; 3. Εἰ δ' αὐτὸς οὕτω σχετλιάζεις, τί χρεὼν πάσχειν ἡμᾶς τοὺς ἁπάσης σοφίας ὑπερορίους καὶ παρ' οἷς βάρβαρος μόνον ὄχλος καὶ τὸ φιλοσοφεῖν ἀπωσάμενος καὶ οἱ πάλαι ἀττικισταὶ νῦν βαρβαρισταὶ, ὡς μόλις τῶν τριῶν τούτων ἐνιαυτῶν τῆς διαλέκτου σύνεσιν μελετῆσαι ἄνευ τῶν ἔτι περισωζομένων ἀδιαφθόρων ὀνομάτων, τοῦ Πειραιέως, τοῦ Ὑμηττοῦ, τοῦ Ἀρείου Πάγου, τῆς Καλλιρρόης, τῆς Ἐλευσῖνος, τοῦ Μαραθῶνος καὶ τοῦ ὑπακορύζειν δενδρύφια, προβατύλλια, παιδύλλια καὶ τἆλλα τὰ λοιπὰ, ὀτεῦτος καὶ ἀτοῦνος καὶ τὰ τούτοις σύστοιχα; Τίς καὶ συνήσει μὴ συγγηράσας καὶ μαθὼν γλῶτταν ἐπαΐειν βάρβαρον; 4. Εἶτα πρὸς τὸν οὕτως ἀπενεχθέντα εἰς ἄμουσα ἔθη τετόλμηκας αὐτὸς ἀποκλαύσασθαι φιλοσοφίας στέρησιν, ὁ τοῖς ἀνακτόροις αὐτῆς ἐνσκηνούμενος; Φεῦ πῶς ἀνέμνησάς

1. *βεβαρβάρωμαι* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *βεβάρωμαι* Λ. — 5. *πολιτικὰς* Λ. *πολυτευτικὰς* Β.— 7. *ἀρριανοὺς τὲ* Β. *προμικροῦ* Β. — 8. *τὰ ἄκρα φιλοσοφίας* Β. — 10. *μόνον* Β. — 11. *οἷον* ΛΒ.— 14. *ὃ ὁ* Λ.— 15. *οὕτως* ΛΒ. — 21. *καλιρρόης* Β. — 23. *δενδρίφια* Β. — 24. *ὀτεῦτο* Β. — 25. *συνοίσει* Β. — 28. *αὐτοῖς* Β. *πῶς ἀνέμνησας - ἔθελγε* λείπουσι μετατεθειμένα κατωτέρω Β.

www.libtool.com.cn

Digitized by Google

με τῆς ἐμῆς συμφορᾶς καὶ τὸν θρῆνον ἐξήγειρας; καὶ εἰ μὴ ‖ τὸ γράμμα ταῖς παρ' αὐτοῦ χάρισιν ἔθελγε καὶ οὕτω παρεμυθεῖτο τὸ τῆς ψυχῆς ὀδυνώμενον, τάχ' ἂν καὶ δάκρυα ἐπεστάλαξα. Βεβληκὸς γοῦν με τὸ γράμμα ἐν τῷ μέρει πως καὶ ἰᾶσατο καὶ ξύλον ἦν ἰνδικὸν, κινάμωμον τοῦτό φασιν, ἐν τῷ στύφειν καταγλυκαῖνον ἢ ῥόδον πλῆσσον ἀκάνθαις, ἀλλὰ καὶ τῷ κάλλει καὶ τῇ εὐωδίᾳ παραμυθούμενον. Ἀμέλει τοι ἐκέντει με φιλοσοφίας ἀναμιμνῆσκον καὶ αὖθις ἀνέψυχε, πῶς εἶποις, οἷς ἐφιλοσόφει καὶ ῥητορικῶν ἀπέπνει χαρίτων καὶ ἔρως μηλοβολῶν δι' ὧν ἔβαλλεν ἔθελγεν.

5. Μὴ γοῦν καὶ εἰςέτι κατόκνει τοιαῦτα στέλλειν χρυσᾶ γράμματα, μηδὲ τοῖς ἡμετέροις παραμέτρει τὰ σά. Ἡμεῖς ἄσχολοι καὶ πολλοῖς κλυζόμεθα πράγμασι, σὺ δὲ σχολαστὴς καὶ τὴν ἀκρόπολιν τῆς φιλοσοφίας οἰκῶν καὶ τοῖς λόγοις ἐννεάζων τοσοῦτον ὅσον ἡμεῖς ὑπορρέομεν καὶ πρὸς τὸ πρεσβυτικώτερον ἀποκλίνομεν. Ἴστω μέντοι ἡ εὐγένειά σου ὡς πολλῶν ὄντων αἰτίων τοῦ μὴ συχνότερον ἐπιστέλλειν σοι, τὸ πρῶτον καὶ μᾶλλον ἀληθές ἐστι τὸ αἰδεῖσθαι οἷς μηδέπω ἄξιόν τι τοιαύτης φιλίας ἐνεδειξάμεθα, πολλὰ καὶ ταῦτα βουλόμενοι. Αἰδὼς γὰρ ἀληθῶς γράμμασι μόνον περιλαλεῖν οὓς δέον ἀμείβεσθαι πράγμασι. Δοίη δὲ θεὸς καὶ σχολὴν καὶ ἰσχὺν ἵνα καὶ γράφοντες καὶ ὡς εἰκὸς δεξιούμενοι μὴ πόρρω τοῦ φιλικοῦ καθήκοντος πίπτωμεν. 6. Προςαγορευθήτω ὁ ἄριστος τὰ πάντα καὶ δίκαιος γαμβρός σου· οὐκ ἔχω γὰρ κρεῖττόν τι τούτου προςειπεῖν, μανθάνων ὅπως τὴν πραιτωρικὴν ἀρχὴν κάλλιστα διοικῶν πυκνὰ τὸν τιμωρητικὸν λῶρον κατὰ

1. ‖ Κώδ. 47, 6.— 4. *πῶς* B.— 5. *τοῦτο φασὶν* ΑΒ.— 8. *ἀναμιμνῆσκον* κατὰ διόρθωσιν ἐκ τοῦ τὸ πρῶτον γραφέντος *ἀναμιμνήσκων* B.— 8. *εἶποις φεῦ πῶς ἀνέμνησάς με τῆς ἐμῆς συμφορᾶς καὶ τὸν θρῆνον ἐξήγειρας καὶ εἰ μὴ τὸ γράμμα ταῖς παρ' αὐτοῦ χάρισιν οἷς ἐφιλοσόφει* B. — 16. *ἴσθω* ΑΒ. — 17. *αἰτιῶν* A.— 18. *ἀληθὲς, ἐπὶ* B.— 21. *δὲ* λείπει Λ.— 23. Μεταξὺ τῶν λέξεων *καθήκοντος* καὶ *πίπτομεν* (sic) ἀπεσβέσθησαν ὡσεὶ τρία γράμματα ἐν τῷ B.— 24. *κρεῖττον τί* ΑΒ.

www.hbtod.com.cn

Digitized by Google

τῶν ἀτασθάλων καὶ ὑβριστῶν ἐπιφέρει· ὡς εἴθε καὶ πρὸς τοὺς ἐμοὺς καὶ οὐκ ἐμοὺς κατωτικοὺς ἀπεστάλη, ἵνα πολλῶν ἀδίκων γοῦνατ' ἔλυσεν· ἐπεὶ οὕτω τοῦ δικαίου ζηλοῖ. Εἴη ὁ θεὸς διαφυλάττων ὑμᾶς.

www.libtool.com.cn

κθ'. Τῷ πατριάρχῃ κῦρ Βασιλείῳ.

1. Εὐλογητὸς ὁ θεὸς ὁ εἰδὼς τὰ πάντα καὶ πρὸ γενέσεως αὐτῶν καὶ πρὸ μακροῦ μὲν ὑποσημαινόμενος καὶ φαίνων ὅτε μέγα τι βούλεται διοικήσασθαι, ἐν καιρῷ δὲ παράγων καὶ τελεσιουργῶν ἅττα δὴ καὶ προώρισεν. Ὥςπερ δῆτα καὶ τὰ κατὰ τὴν μεγάλην ἁγιωσύνην σου προεῖδε μὲν πάλαι καὶ προρρήσεσιν ἐναργεστάταις καὶ ἀποκαλύψεσιν οὐκ ὀλίγοις προεγνώρισεν· ὧν ἄλλοτε ἄλλην πάλαι καὶ αὐτὸς ἀκούων σχεδὸν ἑκάστοτε τὰ ὦτα διατεθρύλημαι. 2. Νῦν δὲ, ἡνίκα τὰ προπεφασμένα εἰς ἔργον ἐνεγκεῖν ἐδικαίωσεν, εἰς τὸν ὑπέρτατον θρόνον ἀνύψωσεν, οὐκ αὐτοματίσας, οὐδὲ σχεδιάσας τὴν τοιαύτην ἀνάβασιν, ἀλλ', ὡς εἶπον, ὁράσεις πληθύνας τοῦ μέλλοντος καὶ ταῖς προρρήσεσι σεμνώσας τὸ χρίσμα τῆς μεγίστης ἱερωσύνης σου. 3. Ἐντεῦθεν ἀκόλουθον εἰπεῖν ὡς ἔχρισέ σε θεὸς ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετεσχηκότας σοι τοῦ αὐτοῦ καὶ θρόνου καὶ χρίσματος· οὐ μόνον οἷς πρὸ χρόνων οἷον ἀνακηρύξας μόνον οὐκ ἐνέδυσε τὴν τῆς ἱε-

1. *εἴθε* B.— 2. *ἀπεστάλει* B.— 3. *επεὶ* B. *ὑπερποτεῖ*, ἄνωθεν δὲ τούτου ἐπιγεγραμμένον *καὶ ζηλοῖ* B.

κθ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν τῷ λαυρεντιακῷ κώδικι, φ. 47,β - 48,α καὶ τῷ βαροκκικῷ, φ. 161,β - 162,α.

Τίτλος. *Τῷ τέων πατρῶν καὶ ὑπερτίμιω κῦρ εὐθυμίω* δι' ἐρυθρᾶς γραφῆς, ἀλλ'ἐν τῇ ὧᾳ διὰ μέλανος [πα]*τριάρχῃ μᾶλλον ἢ*— γεγραμμένα διὰ χειρὸς ἄλλης, ὡς φαίνεται, ἀλλὰ συγχρόνου Λ. ἐν τῇ ὧᾳ *πατριαρχικὸν* B.

5. *προγενέσεως* ΛB. — 7. *μεγά* ΑΒ. — 9. *πρόοιδε* Λ. — 12. *διατεθρύλλημαι* ΛΒ. — 14. *οὐκαυτοματίσας* Λ.— 15. *ὁράσει* B. — 18. *σε ὁ* B. — 20. *μόνον* λείπει B. *ενέδυσε* B.

Digitized by Google

ρωσύνης στολὴν, ἀλλ' ὅτι καὶ μόνῳ σοὶ μέγιστα πράγματα προσανέθετο· οὗ καὶ σφόδρα προκινδυνεύσας ἆθλον τὴν ὑψίθρονον ἀρχιερωσύνην ἀπέλαβες. Ἦ ἆθλον μὲν τῶν πόνων ἐκείνων ὁ ἀποκείμενος τῆς δικαιοσύνης στέφανος, ὁ δὲ θρόνος ἀρραβὼν τῆς μελλούσης ἐκείνης μακαριότητος καὶ ἀφορμὴ τοῦ ἐπιθεῖναι κορωνίδα χρυσέαν τοῖς καλοῖς ἀγωνίσμασιν.

4. Ἔχεις γοῦν τὸν θρόνον, τὴν τῆς εὐσεβείας ἀκρόπολιν, τοῦτο μὲν ὡς προαθλήσας τῆς ἀληθείας, τοῦτο δὲ καὶ ὡς αὐτόθεν θεμιστεύων τὰ τελεώτερα. Ναὶ, καὶ κοσμήσαις ἐπὶ μακρὸν τὸν τοῦ Χριστοῦ θρόνον ὁ ἁγιώτατος καὶ σοφώτατος, ἵνα καὶ οἱ ὑπο‖ποίμενες ἡμεῖς τοιοῦδε πρωτοποίμενος ἀπολαύσωμεν καὶ περιφρονουμένη ἀρχιερωσύνη ἐπὶ τῶν χρυσῶν τούτων ἡμερῶν ὑψωθῇ. Πότε γὰρ ἄλλοτε, εἰ μὴ νῦν, ὁπότε θεωρία καὶ πρᾶξις τὸν ἡμέτερον ἀρχιποίμενα δορυφοροῦσι καὶ οὐδὲν τῶν ὅσα θεῖά τε καὶ ἀνθρώπινα πράγματα διαπέφευγεν, οὐ φρόνησις πολιτευτικὴ, οὐ διοίκησις πραγμάτων πολύστροφος, οὐκ ἄλλο οὐδὲν τῆς εὐδαίμονος ἀρχιερωσύνης μικρὸν ἢ μέγα, ὅ φασι, παραπλήρωμα, ἀλλ' ἐπ' αὐτὸν τὸν βατῆρα τῆς μακαριότητος, τὸ τοῦ λόγου, ἐλήλακεν. Οὗ ταῖς εὐχαῖς ἵλεω τύχοιμεν τοῦ θεοῦ.

λ'. Τῷ Ματζούκῃ κῦρ Θεοδοσίῳ.

1. Πιστὸς ὁ θεὸς, πανεντιμοτάτη μοι κεφαλὴ, ὃς οὐκ ἐᾷ ἡμᾶς πειράζεσθαι ὑπὲρ ὃ δυνάμεθα, ἀλλὰ φειδοῖ τῆς ἡμῶν ἀσθενείας πρὶν ἢ τὸ πέλαγος τραχυνθῆναι δεσποτικῶς ἐπιτιμᾷ τοῖς πνεύμασι καὶ τοῖς κύμασι, καὶ αὖρα παρὰ χρῆμα

1. *σοι* Β. — 3. *ἢ κατὰ διόρθωσιν τοῦ τὸ πρῶτον γραφέντος ἢ* Λ. *ἢ* Β. — 5. *ἀφορμὴν* Β. — 8. *προαθλήσας* Β. — 9. *μιστεύων* Λ. *κοσμίσαις* Β. — 11. ‖ Κώδ. 48,α. — 15. *θεῖα τὲ* ΛΒ.

λ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν τῷ λαυρεντιακῷ κώδικι, φ. 48,α - 48,β καὶ τῷ βαροκκικῷ φ. 162,α - 162,β.

Τίτλος. *θεοδώρῳ* Β. — 21. *εᾶ* Β. — 23. *πρινὴ* ΛΒ. — 24. *πνεύμασιν* Β. *αὖρα παραχρῆμα* ΛΒ.

Digitized by Google

πραεῖα τὸν τυφῶνα κατασιγάζει καὶ τοὺς ναυαγοὺς ὑποδέχεται λιμὴν εὔορμος. 2. Ὅπως δὲ τὸ τροπολογεῖν ἐάσωμεν, ὁ πανυπέρλαμπρος πραίτωρ πρό γε τῶν ἄλλων τὰ καθ' ἡμᾶς ἐπεσκέψατο καὶ οἷος οὗτος μισοπόνηρος φύσει καὶ φιλοδίκαιος ἐπεχείρησε τὰ δεῦρο πλημμελῶς φερόμενα κοσμεῖν καὶ ῥυθμίζειν. Καὶ πρῶτον τὴν ἄνισον διανομὴν τῶν ἐκκοπέντων τελῶν, ἣν καὶ πρόφασιν, εἰ καὶ μὴ εὔλογον, τῆς ἀμέτρου παρεισπράξεως ὁ πράκτωρ προβάλλεται· καὶ, εἴ περ μὴ αὖθις ἀναδασθείη, δυσχέρεια δὲ οἶμαι οὐδεμία, πολλὰ τὰ ἐντεῦθεν ἀναφυήσονται ἄτοπα, μᾶλλον δὲ ἤδη ἀναφυέντα μενοῦσιν ἀνίατα, ὁ συντριμμὸς τῶν πενήτων, ἡ τῆς φορολογικῆς ἀδικίας εὐάφορμος πρόφασις· ὧν ἁπάντων ἓν φάρμακον, ἡ τοῦ παντὸς ἀξία μοι κεφαλή. Καί μοι διάφερε τὰ λυποῦντα ἢ καὶ τὸ παράπαν διάλυε· ἔξεστι γάρ. 3. Εἰ δ' οὖν κατ' ἴχνος τοῦ θειοτάτου βαδιοῦμαι δεσπότου, καὶ εὐθὺ τῆς μακαριστῆς Τερεβίνθου πλευσοῦμαι, ἵνα μηδὲ κἀκεῖ πράγματα ἔχω, καταναγκαζόμενος πλινθοποιεῖν καὶ λιθοδομεῖν καὶ τὰς ἀτρίπτους καὶ παναπάλους χεῖρας περὶ τὰ χειρωνακτικὰ κατατρίβεσθαι· τίς γὰρ ἐς τοσοῦτον ἀπάλαμνος ὡς τὸν πάμμεγαν ὁρῶν αὐτουργοῦντα, μὴ βιάζεσθαι καὶ αὐτὸς φιλεργεῖν; εἰς τὸ κατὰ σὲ φροντιστήριον προςδραμοῦμαι, ἔνθα βίος ἀληλεσμένος καὶ ἄμοχθος, ἔνθα ὕδωρ μὲν πηγιμαῖον καὶ ζῶν καὶ ἀλλόμενον, ἀλλ' οὐ συλλογιμαῖον καὶ νοσερὸν καὶ ὡς τὰ νεκρά που φασὶν ἑστὼς καὶ ἀκίνητον, ὁ δὲ ἄρτος στέαρ πυροῦ καὶ ἄρτος ἐπιθυμιῶν, ὁ δὲ οἶνος μὴ καὶ πλείων εἴη τοῦ ἐν τῇ Τερεβίνθῳ λακκαίου ὕδατος, ὁ δ' αὖ προεστὼς ἐπιεικὴς καὶ συγγνώμων τὰ πάντα καὶ εὔκολος. 4. Ἐπὶ τούτοις τὸ ἐπὶ θαλάττῃ κεῖσθαι τὸ φροντιστήριον καὶ μήτε τῶν τῆς θαλάττης χαρίτων λείπεσθαι μήτε τῶν ἀγαθῶν τῆς ἠπείρου στέρεσθαι πόσῳ ἄμεινον τοῦ νησιδίῳ βραχεῖ περιγράφεσθαι καὶ, δεῆσαν τῆς

3. *παγυπέρλάμπρος* B. — 7. *ἄλογον* B. — 9. *οὐδεμία* AB. — 10. *μένουσιν* B.— 14. *κατίχνος* AB.— 19. *αὐτεργοῦντα* B. — 20. *τὰ κατὰ σὲ φροντιστήρια* B. — 21. *ἀληλευσμένος* B.— 24. *πυρροῦ* B.— 25. *πλεῖον* B.— 30. *βραχύ* B.

www.tiptool.com.cn

Digitized by Google

ἐκεῖσε μεταβῆναι εἰρκτῆς πιστεύειν ἑαυτὸν ὀλίγῳ ξύλῳ καὶ κύμασιν.

www.libtool.com.cn

5. Ἀλλά, πρὸς τῆς ἀγάπης αὐτῆς, ἐν ἀπορρήτῳ ὑπανάγνωθι ταῦτα, μή που καὶ πύθοιτο. Οἶδας δὲ ὅπως ἐραστής ἐστι τῆς νήσου βαρύζηλος καὶ οὐκ ἀνέξεται τῆς ἐρωμένης παρευδοκιμουμένης καὶ φερούσης τὰ δεύτερα. Ἦν μέχρι μὲν καὶ τῆς ἔναγχος ἐγίνωσκον ὁποίαν, οἶμαι, καὶ ἡ φύσις ἐδημιούργησεν, ἔκ γε μὴν τῆς μεγαλοφωνίας τοῦ δεσποτικοῦ γράμματος ἀλλοίαν τινὰ καὶ ὑπερφυῆ φαντάζεσθαι τοῦ λοιποῦ βιάζομαι. Ἦν γὰρ τῷ τέως ἥδειν ἄχλοον, ἄφυλλον ὡς τοῦτ' αὐτὸ φυλλοβόλον Τερέβινθον ||, ἀειθαλῆ τινα εἶναι ἀθρόον διδάσκομαι καὶ τὴν μικροῦ πολυδίψιον, παράδεισον ἄρτι κατάρρυτον. Καὶ θαυμάζειν ἔχων οὐ πάνυ τεθαύμακα. Ἡ γὰρ ἔπαινος μόνον ἦν ἀνδρὸς ἐραστοῦ καὶ σοφοῦ καὶ τὴν γλῶτταν λαμπροῦ καὶ καινὸν οὐδὲν εἰ τὴν μικρὰν νῆσον ὑψηγορεῖ καὶ ταῖς δάφναις στεφανοῖ καὶ τοῖς μύρτοις κοσμεῖ, ἢ καὶ ἐν ἔργοις τὰ ἐπαινούμενα καὶ οὐδ' οὕτως παράλογος ἡ καινοτομία, οὐδὲ τῆς περὶ τοὺς ἁγίους φιλοφροσύνης τοῦ Χριστοῦ ἀπάδουσα· ὃς οὐ μόνον ξηραίνει ποταμοὺς Ἠθὰμ καὶ τὴν καρποφόρον εἰς ἁλμώδη μεταβάλλει γῆν ἀπὸ κακίας τῶν κατοικούντων ἐν αὐτῇ, ἀλλὰ καὶ τοὐναντίον γῆν ἄνυδρον εἰς διεξόδους ὑδάτων τοῖς ἁγίοις μεταποιεῖ καὶ μέλι θηλάζειν ἐκ στερεᾶς πέτρας δίδωσι καὶ ἔλαιον ἐκ στερεᾶς πέτρας. 6. Τί γοῦν θαυμαστὸν εἰ καὶ νῦν διὰ τὸν δίκαιον τὴν κραναΐκὴν νῆσον καὶ διψηρὰν εἰς εὔυδρον καὶ πολύδενδρον καὶ μακάρων νῆσον μετεσκεύασε καὶ κατὰ τὸ πάλαι προφητευθὲν ἀντὶ τῆς ἐν αὐτῇ κονύζης τε καὶ στοιβῆς μυρσίνη τε καὶ κυπάριττος ἀναβέβηκεν. Ἄλλως γὰρ πόθεν ἡ Τερέβινθος μυρσινήεσσα αἴφνης καὶ σύμφυτος καὶ δασύ-

3. *ἐναπορρήτω* Λ.— 6. *καὶ* Β. — 7. *εἶναι* Β.— 8. *τοῦ δεσπότου μου γράμματος* Β. — 9. *ἀλλοίαν* ΛΒ. *τι* Λ. *τινα* Β. — 10. *τωτέως* ΛΒ.— 11. || Κώδ. 48,6. *τινὰ* ΛΒ.— 12. *καὶ τὸν* Β. — 14. *ἀνδρὸς ἑρμοῦ* Β. — 16. *κοσμοῖ* Β. — 19. *ἠθὰμ* Β. — 20. *ἀλμάδα* Λ.— 24. *νήσων*.— 26. *κονίζης τὲ* Β.—27. *στιβῆς* Β. —28. *μυρσινόεσσα* Β.

Digitized by Google

σκιος ἡ χθὲς ἐξηκανθωμένη καὶ αὐχμηρὰ καὶ πετρήεσσα καὶ παρὰ τοσοῦτον καὶ ἄδενδρος παρ' ὅσον πίτυν καὶ μόνον πρεβάλλεται, φυτὸν οὐ τὸ ψιθύρισμα οὐ πάνυ τι χάριεν τοῖς ἀσκηταῖς ὡς λάλον ἄλλως καὶ ὀχληρὸν καὶ τὴν νοερὰν ἀνάβασιν καθέλκον εἰς αἴσθησιν. 7. Ἀλλ' οὐδὲ τὸ ἄνοφι τῆς νήσου σφόδρα ἐκπέπληγμαι ὅτι μηδὲ παρὰ τοῦτο καὶ ἄθηρος τὸ παρ' ἅπαν ἐστί· βόσκει γὰρ συχνὰ λαγῴδια, κνώδαλα δειλὰ μὲν καὶ ἀσθενῆ, λυπηρὰ δὲ ἄλλως μοναχοῖς καὶ μᾶλλον τοῦ ὄφεως βλαπτικώτερα. Ὄφις μὲν γὰρ οὐδὲν ἂν ἔχοι τὸ ἐπηρεάζον, οὐ διὰ τὴν δοθεῖσαν μόνον ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, ἀλλὰ καὶ διὰ τὸ ἀπεῖναι τῆς νήσου τὴν Εὔαν, τὸ ἀρχαῖον καὶ πρῶτον τοῦ ἕρποντος ὄργανον καὶ ἧς ἄνευ μικρὸν ἢ οὐδὲν βλάψαι δυνήσεται· λαγὼς δὲ τὰ λάχανα, τὸ φίλον ὄψον τῶν ἀσκητῶν, καταβόσκεται. Καὶ ἄλλως δὲ γείτονα μὲν ἔχειν ὄφιν γυμνασία οὐκ ἀγεννὴς εἰς εὐσέβειαν, λαγὼς δὲ δειλίας καὶ φυγῆς ἀνάμνησις.

λα'. Τῷ σεβαστῷ καὶ ἐπὶ τοῦ κανικλείου κῦρ Δημητρίῳ τῷ Τορνίκῃ.

1. Τίς λαλήσει τὰς δυναστείας τοῦ Κυρίου, παναέβαστε κύριέ μου, ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ, ὅτι κατήγαγεν εἰς Ἅδου καὶ αὖθις ἀνήγαγεν, ἐπαίδευσε καὶ ἰάσατο, ὠργίσθη καὶ ᾠκτείρησε καὶ νῦν κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν ὅσας Χριστιανοῖς ὁ δεινὸς ἐκεῖνος ἐπήγαγεν ἄνθρωπος, αἱ παρακλήσεις τοῦ φιλανθρώπου βασιλέως εὐφραίνουσι πᾶσαν ψυχὴν εὐσεβῆ. 2. Τῇ γὰρ πικρίᾳ τῆς παιδεύσεως ἀνάλογον τὸ τῆς γλυκυθυμίας ἐκέρασεν ἀντιφάρμακον καὶ τοσούτῳ φιλάνθρωπον καὶ ἥμερον δέδωκεν αὐτοκράτορα ὅσῳ

2. *παρόσον* ΑΒ. — 5. *ἄνεφον* Λ. — 6. *παράπαν* ΑΒ. — 8. *ποῦ* Β. — 9. *βλαπτικώτερον* Β. *τι ἐπηρεάζειν* Λ. *ἔχοντι ἐπειρεάζειν* Β.

λα'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 48,δ - 49,α.

www.libpool.com.cn

Digitized by Google

κολαστὴν ἀπαραίτητον παρέστησε πρότερον· ἵν' ὡς δι' ἐκείνου ἐπαίδευσεν, οὕτως διὰ τούτου παρακαλέσῃ. Πατρικῶς γὰρ πῇ μὲν ἀτακτοῦντας ῥαπίζει, πῇ δὲ δακρύοντας ἀγκαλίζεται.

3. Ὑπόθεσις μὲν οὖν αὕτη καὶ πρώτη καὶ μάλιστα θυμηδίας καὶ εὐφροσύνης πάσῃ φιλοχρίστῳ ψυχῇ, δευτέρα δὲ τὸ ὑπουργὸν τοιαύτης προβεβλῆσθαι βασιλείας ἄξιον καὶ ἀγαθοῦ βασιλέως ἀγαθὸν θεράποντα, ὅπως εὐροώτερον ἡ τῆς εὐποιίας προρρέῃ πηγὴ καὶ τὰ φιλάνθρωπα σπλάγχνα μᾶλλον εὐρύνηται καὶ πᾶσιν εὐέντεκτα εἴη τὰ εἰς τὴν βασίλειον περιωπὴν καὶ εὐάνυστα, ὧν ἄν τις δέοιτο, καὶ μὴ μέλλησις ἀποκναίῃ τοὺς δεομένους ἢ καὶ ἀπελπίζειν ἐπίπαν ποιῇ, μηδὲ κατανεύουσα κεφαλὴ κατασοφίζηται καὶ βόσκῃ ταῖς ὑποσχέσεσι. 4. Ποῦ γάρ τι τοιοῦτον παρὰ τῇ ἁπλῇ καὶ ἀληθεστάτῃ ψυχῇ, ἧς τὸ ναὶ ἔργον ἐστὶν ἐντελὲς καὶ τὸ οὔ κενῆς προσδοκίας ‖ τομὴ καὶ προεδρίας ματαίας ἀπαλλαγή, ὡς τὸν τυγχάνοντα καὶ μὴ χάριτας εἰδέναι σοι, τὸν μὲν ὅτι μὴ ἔψευσταί τῆς ἐλπίδος, θᾶττον τετυχηκὼς, τὸν δ' ὅτι μὴ λάθῃ ψευσθήσεσθαι εἰς μακρότερον, πεπεισμένος ἀτέλεστα πάντως αἰτήσεσθαι. 5. Εἴη δὲ καὶ ἡμᾶς τῶν τυγχανόντων τῆς αἰτήσεως γενέσθαι καὶ μὴ τῶν διαμαρτανόντων. Αἰτούμεθα δὲ οὐδὲν ἴδιον, ὅτι μηδ' ἔχομεν δεῦρο ἴδιον, ἀλλ' ἢ λυσιτελές τι τῷ κοινῷ τῶν ἐμῶν Ἀθηναίων ἢ καὶ τῇ καθ' ἡμᾶς ἐκκλησίᾳ, ὡς εἶναι τὸ γενησόμενον ἀγαθὸν κοινόν τε καὶ ἐμόν. 6. Ἐμὸν γὰρ τὸ τοὐμοῦ λάχους καλόν· ὡς σύ γε, πανσέβαστε καὶ τοῦ παντὸς ἀξία μοι κεφαλὴ, μηδὲν ἕτερον μεγαλοπρεπέστερον σῶστρον ἀνοίσεις θεῷ οἷς τῶν ὀδόντων τοῦ παμφάγου πυρὸς παραδόξως ἐξέσπασαι, μηδὲ θῦμα σωτηρίου προσενέγκῃς ἱερώτερον ἄλλο ἢ τὸ μετοχετεῦσαι τὸν βασιλικὸν ἔλεον καὶ Ἀθήναζε. Δεινὸν γὰρ, εἰ, πανταχοῦ ἐπικλύζων, ἐνταῦθα κατὰ

12. *κεφαλῇ*. — 13. *τι* λείπει. — 15. ‖ Κώδ. 49,α. — 16. *τὸ μὲν*. — 25. *πανσεβαστε. ἁγία*. — 29. *μετοχεῦσαι*. — 30. *γὰρ ἢ*.

Digitized by Google

στράγγα ῥυήσεται, ἔνθα πλεονάζει μᾶλλον πενία καὶ παρὰ τοῦτο ὑπερπερισσεῦσαι δίκαιόν ἐστιν. Εἴη φυλάττων θεὸς τὴν παγκάλλιστον κεφαλὴν πολυχρόνιον.

www.libiool.com.cn

λϚ'. Τῷ αὐτῷ.

1. Σαφὴς μὲν ἡ τῆς θείας προνοίας ἐνάργεια, εἰ καί τινες πρὸς τὰς ἀκτῖνας οὐκ ἔντρανον ἀτενίζουσι, τῷ ὑποζόφῳ τῆς διοικήσεως τῶν καθ' ἡμᾶς πραγμάτων ἐπισκοτούμενοι, παρ' ὅσον οἱ λόγοι καθ' οὓς πλέκονται τὰ ἐνταῦθα φιλοῦσι τοῖς πολλοῖς κρύπτεσθαι. 2. Νῦν δὲ δοκεῖ μοι, κἂν αὐτὸν Ἐπίκουρον καὶ ὅστις ἕτερος αὐτομάτου καὶ τύχης προστάτης δεινὸς πεπεῖσθαι θείας προνοίας ἐξῆφθαι τὴν τῶν ἀνθρωπίνων πραγμάτων πλοκήν, κἂν Σταγειρίτην αὐτὸν, τῆς περὶ τὴν πρόνοιαν μικρολογίας ἀφέμενον, καὶ τοῖς ὑπὸ σελήνην τὸν πλοῦτον αὐτῆς ἐπιδαψιλεύσασθαι. Οὕτω φανότατα τεκμήρια τῆς περὶ ἡμᾶς κηδεμονίας νῦν εἴπερ ποτὲ εἴδομεν, ὡς ἔγωγε ἀμηχανῶ τί πρῶτον ὑμνήσω, τὴν ῥᾳδίαν τῆς βαρείας τυραννίδος κατάλυσιν, τὴν ἔννομον τῆς φιλανθρώπου βασιλείας ἀνάρρησιν ἢ τὴν τῶν ἐν τῇ γῇ καὶ θαλάσσῃ πολεμίων διαπολέμησιν ἢ τὴν ἐμμελῆ τῶν κοινῶν πραγμάτων διοίκησιν· ἣν ὑπὸ τοιούτῳ βασιλεῖ αὐτὸς, πανυπέρλαμπρε κύριέ μου, πεπίστευσαι. Οὕτω τὰ πάντα σύμφωνα καὶ τὴν περὶ ἡμᾶς ἀγαθότητα τῆς ἀνωτάτω Προνοίας κηρύττοντα.

3. Θαυμαστὰ μὲν δὴ πάντα καὶ πολλῆς γέμοντα τῆς ἐκπλήξεως, θαυμαστότερον δὲ πάντων τὸ βασιλέα μὲν ἄνωθεν ἡμῖν δοθῆναι τὴν βασιλείαν κοινὴν εὐεργεσίαν τιθέμενον, ὑπουργὸν δὲ τοῦ τοσούτου καλοῦ προβεβλῆσθαι ὡς μὲν ἀγαθὸν, ὡς δὲ σοφὸν, θείων τε καὶ ἀνθρωπίνων πραγμάτων ἐπι-

2. *ὑπέρπερισσεῦσαι.*

λϚ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 49,α - 49,β.

6. *παρόσον.*— 12. *καὶ τοῦ ὑπὸ.*— 14. *εἴπέρ ποτε.*

Digitized by Google

στήμονα. Ὑφ' οὗ κακὸν μὲν οὐδεὶς οὐδὲν πείσεται, ἀγαθὸν δὲ οὐκ ἔσται ὅστις οὐχί. 4. Εἰ δ' ἐς τοσοῦτον ἐκκέχυται τὸ πάγκοινον ἀγαθὸν καὶ οὐδὲ λήξει χεόμενον, πῶς οὐχὶ καὶ εἰς τὴν ἡμετέραν ἐσχατιὰν ῥυήσεται; Ὡς ἔγωγε πολλῆς μὲν ἐμπέπλησμαι ἀηδίας ἐξ οὗ περ τὴν ἱερὰν ἀπραγμοσύνης Ἀκρόπολιν οὐκ οἶδ' ὅπως προδέδωκα, εἰς ὄχλον δὲ πραγμάτων φέρων ἐμαυτὸν ἐπέρριψα οἷς προπετῶς ἱερωσύνην ἐθάρρησα, πρᾶγμα ἐργωδέστατον εἴπερ ποτὲ νῦν καὶ οὐδ' ἀνεκτὸν τοῖς πολλοῖς, εἰ μὴ τοῦτο νῦν τὸ παρὰ τῶν προφητῶν θρηνούμενον ὁ ἱερεὺς καθὼς ὁ λαὸς γένοιτο. 5. Τί δ' ἔστιν ὅ φημι; Ἐπέσκηψέ ποτε λοιμὸς εἰς τὴν Ἀττικὴν, ἀπ' Αἰθιοπίας ἀρξάμενος· οἶδας ὃν λέγω, πῶς γὰρ οὔ; ἀπὸ στήθους, οἶμαι, τὰ τοῦ συγγραφέως εἰδὼς καὶ διεξιὼν ἐπὶ λέξεως, ὡς καὶ Δημοσθένης ὁ ζηλωτὴς τῆς ἐκείνου σεμνότητος καὶ δεινότητος λέγεται. Τοῦ τοιούτου λοιμοῦ πλεῖστα μὲν καὶ ἄλλα Θουκυδίδης ἐκτραγῳδεῖ κακὰ, τὸ σχετλιώτατον δέ φησιν ἀπόλλυσθαι τοὺς νοσοῦντας οὐ μᾶλλον ὑπὸ τοῦ λοιμοῦ ἢ τοῦ ἀπορεῖν τῶν θεραπευόντων αὐτούς· οὐδὲ γὰρ τοῖς ἰατροῖς ἢ τοῖς ἄλλως ἐπιμελουμένοις τὸ προσιέναι σφίσιν ἀκίνδυνον εἶναι, ἀλλὰ πρότερον τῆς νόσου μεταλαβεῖν ἢ μεταδοῦναι ὑγιείας. Ταύτην σοι τὴν εἰκόνα τοὐμοῦ πάθους ἐνεστησάμην. 6. Οὐκοῦν ἰδοῦ με κἀνάθρησον οἷα πάσχω κακὰ καὶ οἷον φέρω τὸν κίνδυνον, εἰ, ἄλλους θεραπεύειν ‖ ἐπιβαλλόμενος, τοῖς αὐτοῖς κακοῖς περιπίπτειν βιάζομαι. Οὗπερ ἕνεκα, νὴ τὴν ἱερὰν κεφαλήν σου, ἀτεχνῶς τὰ τῆς θείας ἀπειλῆς δέδωκέ μοι καρδίαν ἀθυμοῦσαν καὶ ἐκλείποντας ὀφθαλμοὺς καὶ τηκομένην ψυχὴν καὶ ἔστιν ἡ ζωή μου κρεμαμένη ἀπέναντι τῶν ὀφθαλμῶν μου καὶ οὐ πιστεύω τῇ ζωῇ μου.

7. Ἀλλὰ ταῦτα μὲν, οἶμαι, μέχρι τοῦ νῦν, τοῦ λοιποῦ δὲ σύ μοι τὸ πολὺ τοῦ δέους περιελεῖς, τῆς ἡμετέρας ἀντιλαμ-

6 - 7. *εἰς ὄχλον - ἐθάρρησα* λείποντα ἐκ τοῦ ἑδάφους εἶνε προστεθειμένα ἐν τῇ ὧχ.— 8. *εἴπερ ποτε.*— 10. *ἐστιν.*— 20. *ὑγείας.* —23. ‖ Κώδ. 49,6. *ἐπιβαλόμενος.*

Digitized by Google

βανόμενος ἀσθενείας, ἐπεί σε θεὸς σωτῆρα κοινὸν προὐστήσατο καὶ τῷ ἐπὶ σοὶ τὸ παρ' ἑαυτοῦ προστέθεικε, τῇ ἀγαθῇ προαιρέσει τὴν δύναμιν. Οἶδας γὰρ ὡς ὃ ἂν εἰς ἡμᾶς ἐνδείξαιο καλὸν, οὐχ ἡμῖν, τῇ μητρὶ δὲ τοῦ θεοῦ ἀναχείσεται. Ἡμεῖς γὰρ ἐφήμεροι καὶ μηδὲν ἴδιον ἔχοντες, ἡ δὲ τί ἄλλο ἢ μήτηρ θεοῦ; Ἢ καὶ φυλάττοι μὲν πολυχρόνιον τὸν κραταιὸν καὶ ἅγιον ἡμῶν αὐτοκράτορα, φυλάττοι δὲ καὶ τὴν σὴν καλοκἀγαθον ὑπεροχὴν, ἵνα μήτε ἀγαθῇ βασιλείᾳ ἐλλείποι θεράποντος ἀγαθοῦ, μήτε τοιοῦτος θεράπων ἄγοι σχολὴν τοῦ εὖ παιεῖν τὸν εὖ πάσχειν δεόμενον, εἴη δὲ τὸ ἀγαθὸν ὑγιές.

8. Ἐκεῖνο δὲ τῷ τέως ἀναφέρω, ὡς ἡ μᾶλλον δεομένη εὐποιίας ἡμετέρα χώρα τῶν Ἀθηνῶν, ὡς καὶ μᾶλλον ἐρημωθεῖσα, οὐκ ἀναλόγως ταῖς λοιπαῖς χώραις τῆς βασιλικῆς δωρεᾶς ἀπήλαυσε. Βραχεῖα γὰρ ἡ τῶν συστημάτων ποσότης καὶ οὐδ' αὐτὴ κοινωφελής. 9. Εἰ δὲ τὴν γενομένην ἐπὶ τοῦ μακαρίτου βασιλέως κυροῦ Ἀλεξίου ἐκκοπὴν λέγοις, πρῶτα μὲν οὐχ ἡμεῖς μόνοι, ἀλλὰ καὶ Εὔριπος καὶ Κόρινθος ἀπήλαυσαν ἐκκοπῆς παρὰ τοῦ αὐτοῦ βασιλέως, εἶτα εἰ μὴ καταστρωθῆναι γένηται ὁρισμὸς τὸ παρὰ τοῦ μακαρίτου Προσοὺχ γενόμενον κατάστιχον, οὐδ' ἐκ τῆς ἐκκοπῆς ταύτης ὠφελοῦνται οἱ μᾶλλον ἐλέους δεόμενοι. Ἡ γὰρ τοῦ Χούμνου οἰκονομία ταῖς δυναμένοις ταύτην ἀπέδοτο. Ἀλλὰ καὶ ὅστις ἂν πράκτωρ ταύτην ἐμπιστευθῇ, τὸ αὐτὰ ποιήσει. Καταστρωθήτω τοίνυν δι' ὁρισμοῦ τὸ τοῦ Προσούχ. Κάλλιον γὰρ οὐκ οἶμαι ἕτερον γενέσθαι παρ' οὐδενός. 10. Τὰ κάλλιστά μοι τέκνα καὶ ὃ φασι τοῦ πατρὸς τὰ παιδία προσαγορεύω καὶ ἐπεύχομαι σφίσι τὰ εὐκταιότατα. Εἴη θεὸς διαφυλάττων τὴν πανσέβαστόν σου κεφαλὴν μακροχρόνιον καὶ πάσης θνητῆς δυσχερείας ἀπηλλαγμένην.

---

7. *καλοκάγαθον.*— 11. *τωτέως.*

Digitized by Google

λγ'. Τῷ πατριάρχῃ κῦρ Θεοδοσίῳ.

1. Ἁγιώτατέ μου δέσποτα, πότερον μόνοις ἡμῖν σιωπᾷς ἢ καὶ τοῖς ἄλλοις; Ἐπεὶ, θεῷ τὰ πάντα δεδωκὼς, τελευτῶν καὶ λόγον αὐτῷ ἀνέθηκας καὶ σιγὴν ἔνθεον ἠλλάξω λόγου διδασκαλικοῦ καὶ τὸ ἀπεστράφθαι πρὸς τὸν θεὸν τοῦ τῶν δευτέρων καὶ καθ' ἡμᾶς ἐπεστράφθαι προτετίμηκας. 2. Εἰ μὲν καὶ τοῖς λοιποῖς, κοινοτέρα μὲν ἡ ζημία, ἀνεκτὴ δ' ὅμως οἷς τὸ κοινωνοῦν συνανέχει τὴν συμφοράν, εἰ καὶ οὕτως ἐγὼ βαρυτέρας τῆς ζημίας αἰσθάνομαι παρ' ὅσον καὶ τοῦ ἐκ τῶν σῶν λόγων κέρδους πλέον ἀπήλαυσον. Ἀμφισβητήσει μοι γὰρ οὐδεὶς τὸ μὴ σὺ πάντων πλέον εἶναί με τῶν σῶν σειρήνων ἁλώσιμον. Εἰ δὲ τοῖς ἄλλοις μὲν τὰς ἐκ τῆς γλώττης ἐπιρρέεις χάριτας, ἡμῖν δὲ καὶ τὰς μικρὰς τῷ ποσῷ, τῇ δὲ δυνάμει τῶν πολυστίχων βιβλίων μείζους ὑποκρατεῖς συλλαβάς, τοῦτο κολοφὼν τῶν ἐμῶν κακῶν, τοῦτο οὐδὲν ἀλλ' ἢ ἐπιλησθῆναι ὡσεὶ νεκρὸν ἀπὸ καρδίας ἢ καὶ μνήμης ἐκπεσεῖν θεοῦ, εἴ περ καὶ σοῦ. 3. Ὦ τῆς ἡμῶν συμφορᾶς, εἰ καὶ τὴν ἱερὰν φωνὴν προσαφαιρούμεθα, τὸ λοιπὸν καὶ μόνον ἡμῶν παραμύθιον. Ἀπεμηκύνθημεν τῆς πρωτοτύπου εἰκόνος· ἵνα τί καὶ τῶν ἐνδαλμάτων στερούμεθα; Τί δοκεῖς τοῦ λοιποῦ πάσχειν ἡμᾶς, οἳ οὐχ ὅπως, θείας συνουσίας ἐκτοπισθέντες, ὄψεως ἀγιοπρεποῦς ἐστερήθημεν, ἀλλὰ καὶ τὴν παρὰ τῶν γραμμάτων παραμυθίαν ζημιούμεθα ‖, ὅτε, οὐδὲ τῆς τῶν ἐπιστολῶν παρηγορίας ἀπολαύοντες, ἀποχρώντως καὶ ῥᾳότερον εἴχομεν, ἀλλὰ καὶ οὕτω στένοντες ἀπωλοφυρόμεθα; Πότε ἥξομεν καὶ ὀψόμεθα καὶ ὀφθῶμεν τῷ προσώπῳ τοῦ δευτέρου θεοῦ καὶ ζησόμεθα; 4. Ἀλλ' εἰ μὲν τῶν πραγμάτων τὸ πλημμελὲς ἀτάκτως φερόμενον ἔπειθε σιωπᾶν, καινὸν οὐδέν. Θεῖον γὰρ

λγ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 49,δ - 50,α.

8. *παρόσον*. — 18. *ἀπεμηκίσθημεν*.— 22. ‖ Κώδ. 50,α.

Digitized by Google

παράγγελμα, εἰσερχόμενον εἰς τὸ ταμιεῖον ἀποκρύπτεσθαι μικρὸν ὅσον ἕως ἂν παρέλθῃ ἡ ὀργὴ Κυρίου. Εἰ δ' ἄλλως ὀλιγωρούμεθα καὶ οὐδὲ τοῦ προσφθέγγεσθαι ἀξιούμεθα, νῦν τὸ κεφάλαιον τῶν ἐμῶν ἀτυχημάτων ὁ φθόνος ἐπήνεγκε καὶ παρὰ τοσοῦτον οὐ τέθνηκέ μοι πᾶσα ἐλπὶς παρ' ὅσον ἔτι θάλπομαι προσδοκίᾳ φιλοτίμων γραμμάτων καὶ τὴν προτέραν ἀφωνίαν ἀντισηκούντων. 5. Εἰ δὲ καὶ πορρωτέρω ἐπιταθήσεται τὰ τῆς σιωπῆς μυστήριον, τοῦτο ἐκεῖνο, εὗρε θεὸς τὸν ἀλιτρόν. Καί μοι πολλὰς πολλάκις πικρίας ἐπενεγκὼν ἐξ οὗ περ προπετῶς ἱερωσύνην ἐθάρρησα, καὶ ταῦτ' ἀφ' ἑστίας καὶ παρὰ τοῦ διδασκάλου τὴν ἐργωδίαν μανθάνων τοῦ λειτουργήματος, νῦν καὶ τὸ θανάτου πικρότερον προσεπήνεγκεν. 6. Ἀλλὰ στηρίζοις μὲν προσευχαῖς, παρηγοροίης δὲ καὶ γραφαῖς τὸν σὸν Τιμόθεον. Αἱ σαὶ γὰρ χεῖρες ἐπαίησάν με καὶ ἔπλασάν με, εἰ καὶ τῆς τοιαύτης πλάσεως καὶ εὐλογίας ἀναστρεφόμεθα.

www.libtool.com.cn

λϑ'. Τῷ Ματζούκῃ κῦρ Θεοδοσίῳ.

1. Νῦν εἴπερ ποτὲ μνείαν ἐποιήσατο θεὸς τῶν παλαιῶν θαυμασίων αὐτοῦ καὶ διὰ τῶν νῦν γεγονότων τὰ παλαίτερα ἀνεκαίνισεν, ἵνα καὶ ὀφθαλμοῖς ὁρατὰ τὰ πρότερον ἀκουστὰ γένηται. Ἀλλὰ τὰ μὲν ἄλλα ἄλλοις ἐάσω, τὰ δέ γε κατὰ σὲ, μεγαλυπέροχέ μοι κεφαλὴ, θαυμάσομαι καθ' ὅσον ὁ νόμος τῆς ἐπιστολῆς ἐνδίδωσιν. 2. Ἤκουσα πολλοὺς παλλάκις ἐξ ἀφύκτων ῥυσθῆναι κινδύνων παρὰ θεοῦ καὶ ἐξ αὐτῶν ἀναχθῆναι, ὡς φησι Δαυὶδ, τῶν τοῦ θανάτου πυλῶν καὶ οὐ διηπίστουν ἀκούων· ἀμφότερον ὅτι τε θεῖαι γραφαὶ λέγουσι καὶ ὅτι θεῷ δυνατὰ καὶ τὰ παρ' ἀνθρώποις ἀδύνατα. Νῦν δὲ καὶ πάλιν ὁρῶ ὅπως Ἰωνᾶς μὲν ὑπὸ κήτους κατεπόθη καὶ οὐκ

2. *δσον δσον ἕως*.— 5. *παρόσον*. — 8. *ἐκεῖνο* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *ἐκεῖ με*.

λϑ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 50,α - 50,β.

20. *καθόσον*.— 26. *ὁρᾶν*.

Digitized by Google

ἀναλώθη, Δανιὴλ δὲ συνώκησεν ἀνέπαφος λέουσιν, ἐν μέσῃ δὲ καμίνῳ παῖδες εὐσεβεῖς ἐχόρευσαν ἄκαυτοι, Αὐδιοὺ δὲ τῷ Ἀχαὰβ ὑπουργήσας γόνυ τῷ Βάαλ οὐκ ἔκαμψεν, οὐδὲ ταῖς ἐκείνου μιαιφονίαις προςέθετο. 3. Ἀλλὰ τίς ὁ νῦν Ἰωνᾶς ἢ Δανιὴλ ἢ Αὐδιοὺ ἢ ἐκείνοις τοῖς παισὶν ἰσοστάσιος; Αὐτὸς, ὦ μακάριε, σὺ, αὐτός. Κῆτος δὲ καὶ κάμινος καὶ λέων καὶ μιαιφόνος Ἀχαὰβ ὁ γέρων ἐκεῖνος καὶ πολλῶν κακῶν αὐτουργὸς, οὗ τὸν ὄλεθρον παραδόξως ἐκπέφευγας καὶ ᾧ συναπολέσθαι οὐ συγκεχώρησαι, τὸ μὲν ἵνα κἀνταῦθα θαυματουργήσῃ θεὸς, τὸ δὲ ἵνα μὴ συναπόληται δίκαιος μετὰ ἀσεβοῦς. 4. Τί γὰρ ἂν καὶ ἔδρασας, τοῦ τυράννου καταδουλοῦσθαί σε θέλοντος καὶ οὐκ ἐῶντος ἀπηλλάχθαι τῆς ὑπ' ἐκείνου πονήρου ζωῆς; μᾶλλον δὲ τοῦ διὰ τὸν ἐκείνου φόβον θνήσκειν ἑκάστοτε; Σὺ μὲν γὰρ ὅλον ἑαυτὸν ἀνέθηκας τῷ θεῷ καὶ τόπον ἐζήτεις οἰκεῖον τῷ ἐπαγγέλματι· ὁ δὲ τυραννῶν, εἰ καὶ μὴ τῆς γνώμης, ἀλλὰ τοῦ σώματος κύριος ἦν καὶ μερίζεσθαι θεῷ καὶ καίσαρι ἐβιάζετο. Ἦν δ' ἄρα προνοίας θεοῦ καὶ τοῦτο, τὸ μὴ καὶ σὲ παρ' ἅπαν ἐκποδὼν ποιήσασθαι. 5. Οἶμαι γὰρ ὡς οὐδὲ τῶν ἐπιφυλλίδων ὁ ὠμότατος τρυγητὴρ ἐκεῖνος ἐφείσατο, εἰ μὴ παρὼν αὐτὸς ἐτιθάσευες σὺν τέχνῃ τὸν θῆρα καὶ πρὸς τὸ ἡμερώτερον οἷα σοφὸς λεοντοκόμος ἐγερονταγώγεις || καὶ μετ' ἐπιστήμης κατεγοήτευες. Ἅπερ, οἶμαι, καὶ ὁ φιλανθρωπότατος βασιλεὺς, εἰδὼς τὰς τῶν πολλῶν αἰτιάσεις, οἳ φιλοῦσιν αἰτιᾶσθαι καὶ τὸν ἀναίτιον, οὐ προςεποιήσατο· καὶ δόξα τῷ ἀπαλλάξαντι καὶ σὲ πραγμάτων καὶ ἡμᾶς τῶν ἐπὶ σοὶ θλίψεων. 6. Οἷα γὰρ ἠκούομεν ἀπόφημα, οἵαις δὲ λύπαις ἐπὶ τούτοις ἐβαλλόμεθα, ὅπως δὲ νῦν εὐφημοῦμεν καὶ μακαρίζομέν σε τῆς ἀπράγμονος τοῦ λοιποῦ ζωῆς. Νυνὶ τὰς ἱσταμένας βιοτεύσεις ἡμέρας, ἤδη τὰς λυομένας ἐκμετρησάμενος· νῦν ἀποδώσεις τὰ τοῦ θεοῦ τῷ θεῷ, μᾶλλον δὲ πάντα θεῷ, ἐπεὶ καὶ τὰ τῶν καισάρων προαποδέδωκας καίσαρι. 7. Δέ-

3. τῇ (προελθὸν μετὰ διαξέσματα) *βάαλ οὐ οὐκ ἔκαμψαν.* — 18. *παράπαν ἐκποδῶν.*— 20. *ἐτιθάσευες.* — 21. || Κώδ. 50,6. — 22. *τὰ τῶν ἐκ τοῦ τὸ πρῶτον γραφέντος τὰ τὸν.*

Digitized by Google

δωκας μερίδα τοῖς ἑπτὰ, νῦν ἀποδώσεις καὶ τοῖς ὀκτώ· χθὲς ἐπηυχενίζου ζυγὸν βαρὺν καὶ τυραννικὸν, σήμερον αἴρεις τὸν εὐαγγελικὸν καὶ χρηστὸν, καὶ, ἀποθέμενος τὰ μολίβδων πολυταλάντων βαρύτερα, τὸν σταυρὸν ἐπεφορτίσθης, τὸ τοῦ Χριστοῦ φορτίον τὸ ἐλαφρὸν καὶ κουφίζον μᾶλλον τὸν βαστάζοντα καὶ τῷ ἐσταυρωμένῳ δεσπότῃ ἑπόμενον. Ὃς καὶ φυλάττοι σε ὑγιῆ ψυχῇ τε καὶ σώματι.

www.vhbook.com.cn

λε'. Τοῖς Βελισσαριώταις.

1. Οὐ διορίζω προσηγορίαις ἢ γράμμασιν οὓς φιλάδελφος ὁμοψυχία καὶ φύσις ἑνοποιοῦσα οὐχ ὑπό τι διίστησιν, ἑνίζω δὲ καὶ αὐτὸς τῇ αὐτῇ προσηγορίᾳ καὶ τῷ αὐτῷ γράμματι τοὺς νέους παῖδας θεοῦ· οἳ πρότριτα μὲν, μὴ ὑπείκοντες βαβυλωνίῳ τυράννῳ, ἐς κάμινον ἐρριπτοῦντο σιδηρᾶν πειρασμῶν, ἄκαυτοι δὲ διαφυλαχθέντες ᾄδουσι νῦν καὶ τὸν σωτῆρα ὑμνοῦσιν. Εὐχάριστοι γὰρ καὶ γεννάδαι, καὶ ὥςπερ οὐδὲν ἀπεχθὲς ἐφθέγξαντο τηνικαῦτα πυρούμενοι, οὕτω καὶ νῦν τὸν ἐξαγαγόντα εἰς ἀναψυχὴν αἰνοῦσι θεόν. 2. Ἀλλὰ γὰρ ἐς τέλος οὕτω διαφυλάττοισθε βέβαιοι, ἐν οὐ μένουσι μένοντες καὶ μήτε καταπίπτοιτε τοῖς σκυθρωποῖς συστελλόμενοι μήτ' ἄγαν διαχέοισθε ἀνιέμενοι, ὁποίους μέχρι καὶ δεῦρο πάντες οἶδασιν, ἐμβριθεῖς καὶ στασίμους καὶ μὴ ταῖς ῥοπαῖς τῆς τύχης ὁσονοῦν παρεκκλίνοντας· οὓς οὐ βαρεῖα τύχη κατήνεγκεν ὡς μικροψύχους, οὐδ' ὡς χαύνους ἡ ἐναντία ἐκούφισεν. Ἀμφοτεροδέξιοι γάρ ἐστε καὶ τοῖς ἀριστεροῖς καὶ δεξιοῖς ὅπλοις ἄριστα χρώμενοι καὶ τοὺς διπλοῦς πειρασμοὺς

λε'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν τῷ λαυρεντιακῷ κώδικι φ. 50,6 (A) καὶ τῷ βαροκκικῷ φ. 35,α - 35,6 (B).

Τίτλος. *τῷ αὐτῷ μεγάλῳ λογοθέτῃ καὶ μεγάλῳ λογιστῇ* B.

8. *προσαγορείαις* AB. *καὶ γρ.* B.—10. *προσαγορείᾳ*.—12. *σιδηρᾶν* B.—13. *ἄκαυστοι* AB.—15. *ἀπηχθὲς* B. *ἐφθέγξατο* A. *ἐφθέγξατο* B.—19 *ἀριούμενοι* B.—23. *γὰρ ἐστὲ* AB.—23-24. *Ἐν τῇ ὥᾳ ὅρα* A.

Digitized by Google

ἐμμελῶς διαφέροντες. Πειρασμὸς γὰρ καὶ τὸ εὐημερεῖν καὶ στερροτέρας ψυχῆς δεόμενον ἵνα μὴ πρὸς ὕβριν ἐκφέρηται, καὶ ῥᾷον πενίαν ἐσχάτην ὑπενεγκεῖν ἢ πλοῦτον βαθύν. 3. Καὶ ἵνα τὰς πόρρω πίστεις ἐάσω, ποῖος λυσιτελέστερος βίος τῷ παλαμναίῳ ἐκείνῳ γέροντι, ὁ πλάνης καὶ φυγὰς, ὁ περιδεὴς ἀεὶ ἢ ὁ τυραννικὸς καὶ, ὅ φασιν, ἐπ' αὐτὸν τὸν βατῆρα τῆς εὐδαιμονίας ἐληλακώς; Ὁ πρῶτος δῆλα δή. Εἰ γὰρ καὶ τὴν αὐτὴν ἐν τῇ πλάνῃ ψυχὴν περιέφερεν, ἀλλ' οὐκ ἀποχρῶσαν καὶ ὕλην τῇ τοσῇδε μιαιφονίᾳ εἶχε πορίζεσθαι. Ἀγαθὸν δὲ ἦν καὶ τὸ τὴν μοχθηρὰν φύσιν σχολάζειν, μένουσαν ἀχορήτον· ὀλίγοι γὰρ ἂν ταύτης παρούσης παραπολαύοιεν. Ἅμα δὲ ὑποκείμενον εὗρε χωρῆσαι τὴν κακομηχανίαν πᾶσαν δυνάμενον, καὶ κακὸν οὐδὲν ὃ μὴ φιλοτίμως οἷον ὑπετίθετο. Οὐχ ἧττον γὰρ τὰς κακοποιοὺς ψυχὰς ἢ τὰ μοχθηρὰ τῶν σωμάτων ὅσον θρέψεις τοσοῦτον βλάψεις καθ' Ἱπποκράτην τὸν ἰατρόν.

4. Εἴη δὲ σταθηροτέρας ὑμᾶς καὶ μονίμου τῆς κατὰ τὸν βίον ἱλαρότητος ἀπολαύειν, εἰ καὶ πρὸς τοὐναντίον ἑτοιμαζόμενοι ὡς εὐσεβεῖς οὐ ταράττεσθε· ἵνα καὶ ἡμεῖς τὸ ἐφ' ἡμῖν εὖ πράττωμεν, τοὺς ἀντιλαμβανομένους εὐτυχοῦντες καὶ τὰς ἄλλοτε ἄλλας ἐμπιπτούσας ἡμῖν δυσχερείας ἐξομαλίζοντας. Ὑγιαίνοντες καὶ εὐθυμοῦντες διατελοίητε.

λς'. Τῷ Θεσσαλονίκης κυρῷ Εὐσταθίῳ.

1. Ἤθελον αὐτὸς συμπαρεῖναί σοι, μακαριώτατε δέσποτα, καὶ ξυναυλίαν θρηνεῖν καὶ τοῦ ὀλοφυρμοῦ κοινωνεῖν τῷ καθ'

2. *στερροτέρας* ΑΒ.— 4. *βίω* ΑΒ.— 5. *πλάνης ὁ φυγὰς* Α.— 7. *δηλαδὴ* ΑΕ.— 9. *τῇ* λείπει Α. — 16. *ὑμῶν*. — 18. *τὸ εὐφ' ὑμῖν* Α. *τὸ ἐφ' εὖ ὑμῖν* Β.— 20. *ἐξομαλίζοντες* ΑΒ.

Λς'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν τῷ λαυρεντιακῷ κώδικι, φ. 51, α. Ἐδημοσιεύθη δὲ ὑπὸ Tafel, de Thess. ejusque agro, σελ. 359 (Τ) καὶ κατ' αὐτὸν ὑπὸ Ellissen, Mich. Akominatos σελ. 69 κ. ε. (Ε) καὶ Migne, ἐν τῷ φμ' τόμῳ τῆς Πατρολογίας σ. 336 (Μ). Τὰ κοινὰ πταίσματα ἐδήλωσα διὰ τοῦ Π.

23. *συμπαρεῖναι* Π.

Digitized by Google

ἡμᾶς Ἱερεμία, εἶτ' οὖν Ἰεζεκιὴλ, καθότι παραπλήσιον ἐκείνοις τοῖς πάλαι τῆς αἰχμαλωσίας τῆς σῆς παραπήλαυσας πόλεως. Ἐπεὶ δ' ἀνάγκη διεστᾶναι, γράμματι τῷ τέως ἀφοσιοῦμαι τὸ συμπενθεῖν καὶ δακρύουσαν καὶ ὅ φασιν ἀχνυμένην ταύτην πέμπω σκυτάλην. 2. Ὦ, οἵα πόλις ἑάλω, πρώτη μετὰ τὴν πρώτην καὶ τοῖς ἀγαθοῖς ἁπασῶν βασιλεύουσαν. Οἵαν Ῥωμαίων συμφορὰν εἶδεν ὁ ἥλιος. Φεῦ, ἡλίκον ἴσχυσεν Ἰταλικὴ αἰχμή· ὅσον σικελικὴ ἀνερροίβδησεν ἄμπωτις· οἵαν πόλιν ἐπέκλυσε. Φεῦ τοῦ φθόνου, φεῦ τῶν Τελχίνων. Φθόνος ἦν ὁ τοῖς ἀγαθοῖς βασκήνας τῆς πόλεως, φθόνος κατὰ γῆν στρατεύει καὶ κατὰ θάλατταν ἕρπει καὶ τὴν δορυφορουμένην παρ' ἑκατέρων στοιχείων ἑκατέρωθεν πορθεῖ καὶ κατ' ἄκρας αἱρεῖ. 3. Οἴμοι, τί τοσοῦτον πόλις πεπλημμέληκεν εὐσεβὴς, ἵνα καὶ μάρτυρος πολιούχου ἔντευξις αἰσχυνθῇ καὶ σοφοῦ ἀρχιερέως ὁσία εὐχὴ, μᾶλλον δὲ πάντων εὐσεβῶν δέησις; Τίς γὰρ οὐκ ἐδεῖτο ὑπὲρ Θεσσαλονίκης, θεοκλυτῶν ὡς κοινῆς πατρίδος καὶ καταγωγίου κοινοῦ; Ἀλλ' ἠλέγχθημεν πάντες μάτην εὐξάμενοι· πᾶσι γὰρ, οἶμαι, κερᾶσαι πικρίας ποτήριον θεὸς ἐδικαίωσε καὶ παρὰ τοῦτο τὸ κοινὸν ἐντρύφημα προῦδωκε. 4. Τίνα τῶν ἁπάντων οὐκ ἐδεξιοῦτο Θεσσαλονίκη, ἐκ Βυζαντίου ἢ ἐς Βυζάντιον ἢ ὁπουδήποτε παροδεύοντα; Οἵα γάρ τις καρδία τῆς ῥωμαϊκῆς ἀρχῆς τὴν μέσην αὐτῆς ἔλαχε χώραν καὶ πᾶσι κοινὸν ἀγαθὸν ἐξέκειτο καὶ τῇ Κωνσταντίνου ὅσα κεφαλῇ καὶ πόλῳ τοῦ κράτους ὑφιζάνουσα τῶν λοιπῶν ἀγαθῶν ἡμφισβήτει. Οὐ γὰρ πλέον τι λέγειν ἡ περὶ τὴν βασιλεύουσαν αἰδὼς δίδωσιν. 5. Ἐπὶ κοινῇ γοῦν, ὡς ἔφην, μάστιγι τὸ κοινὸν ἑάλω παραμύθιον. Εἰ δὲ πλέον αὐτὸς, ἁγιώτατε καὶ σοφώτατε δέσποτα, τῆς πικρίας ἐγεύσω, καινὸν οὐδέν. Φιλεῖ γὰρ τὸ θεῖον τὰς δυνάμεις μετρεῖν καὶ ταῖς δυνάμεσιν ἐπάγειν τὸ βάρος τῆς πείρας ἀνάλογον. Καὶ ὥς-

1. *εἰτ'* E.— 2. *παλαι* E.— 3. *Επεὶ* E. *διεστάναι* Λ. *τωτέως* Π.— 5. *οἷα* E.— 7. *οἶδεν* Λ.— 11. *σρατεύει* E. — 12. *κατάκρας* Π. — 17. *πάντες* λείπει ΤΕΜ. — 21. *ὁποδήποτε* Λ. — 24. *πόλει* Π.

www.libtool.com.cn

Digitized by Google

περ τὸν μαλακὸν καὶ οἷον μηδὲν φέρειν οὐδὲ τὴν ἀρχὴν καθῆκεν εἰς οὐδὲν δυσχερὲς, ἵνα μὴ πρὸς τῷ μηδέν τι κερδᾶναι καὶ τῇ λύπῃ καταποθῇ, οὕτω τῷ γενναίῳ κατὰ σὲ καὶ τὴν πεῖραν τῶν ἀβουλήτων καὶ [κακῶν] ὕλην ποιουμένῳ εὐδοκιμήσεως θερμοτέραν τὴν παρὰ τῶν κινδύνων ἐπήνεγκε πύρωσιν. 6. Ἀπειρόκαλον οὖν τοιῷδε ἀνδρὶ παραμυθητικὸν ἐπιστέλλειν, ὃν ἔχομε αὐτοὶ πάσης φιλοσοφίας διδάσκαλον, ἀεὶ φυλαττόμενον παρὰ θεοῦ πολυχρόνιον.

λζ'. Τῷ ἀρχιμανδρίτῃ κυρῷ Λουκιανῷ.

1. Καὶ τοῦτο σὸν καὶ τοῦτο τῆς σῆς ἀρετῆς, ὁσιώτατε ἀδελφὲ, τὸ τὴν αὐτὴν φυλάττειν ἡμῖν κατὰ πνεῦμα διάθεσιν καὶ διὰ μνήμης ἔχειν ἀεὶ καὶ γράμμασιν ἀναθάλπειν τὴν πάλαι στοργήν. Οὐ γὰρ ταὐτὰ τοῖς πολλοῖς καὶ αὐτὸς πέπονθας, οἳ, μὴ δεχόμενοι γράμματα παρ' ἡμῶν, ἄλλοτε ἄλλοις κλυζομένων πράγμασι, καὶ τῆς πάλαι φιλίας ἀπεστάτησαν, ἀγνοοῦντες, ὡς ἔοικεν, ὡς ἡ κατὰ θεὸν ἀγάπη οὐ διά τι ἀνθρώπινον ἢ τὴν ἀρχὴν γίνεται ἢ καὶ μέχρι τέλους συνίσταται, οὐδὲ ταῖς διὰ γραμμάτων προσηγορίαις οἱ φιλοῦντες κατὰ Χριστὸν τεκμηρίοις χρῶνται φιλίας ἀκραιφνοῦς, ἀλλὰ ταῖς κατὰ ψυχὴν εὐθείαις καὶ ἀδόλοις διαθέσεσιν. 2. Ὁποῖος καὶ αὐτὸς εὑρέθης ἡμῖν καὶ ἡμεῖς εὑρεθῶμεν. Σὺν θεῷ δ' εἰρήσθω τῇ σῇ τιμιότητι, κἂν ἄλλως μὴ συχνοτέροις γράμμασιν ἀλλήλους ἀμειβώμεθα. Ἀξιῶ τὴν ἁγιωσύνην σου συχνότερον ἀναθεωρεῖσθαι τὰ βιβλία καὶ ἐν καλῷ τόπῳ φυ‖λάττεσθαι. Τὸν ἁγιώτατον ἡμῶν δεσπότην, εἴ περ ἐντυγχάνεις αὐτῷ, προσκύνει ἀφ' ἡμῶν. Ἡ ἁγία εὐχή σου χαρισθείη μοι.

---

2. *μὴ* λείπει Π. *κερθᾶναι* Ε.— 4. *πεῖραν* Ε. *κακῶν* λείπει Π.

λζ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 51,α - 51,β.

12. *ταυτὰ*.— 17. *προσηγορείαις*. —23. ‖ Κώδ. 56,β.

Digitized by Google

λη'. Τῷ αὐτῷ.

www.libtool.com.cn

1. Εὐχόμεθα ὑγιαίνειν σε, τιμιώτατε ἀδελφὲ, καὶ μὴ παρ' ἅπαν ἐπιλελῆσθαι τῆς ἀρχαίας καὶ ἐκ μειρακίων φιλίας καὶ οἷον συνανακράσεως. Οἶδα γάρ σου τὸ βαρύζηλον καὶ τὸ ὑπὸ μικρολυπίας πρόχειρον εἰς ἀποστροφήν. Ἀνάσχου γὰρ οὕτω βαλλόμενος, ὅτι καὶ ἡμεῖς ἐς τοσοῦτον ἀποστρεφόμενοι. 2. Ὦ λόγοι καὶ κοινοὶ παιδευταὶ καὶ κοινὸς ἔρως παιδεύσεως καὶ ἔρις ἀγαθὴ καὶ, ὡς οἱ ποιηταί φασιν, ὁμηλικίη ἐρατεινὴ, δι' ὧν ἁπάντων εἰς μίαν ψυχὴν συνετάκημεν, ἠλέγθητε ἄρα πάντα, καὶ οὐκ οἶδα εἴτε χρόνος εἴτε διάστασις τοπικὴ εἴτε τι ἄλλο κατεκαυχήσατο καὶ ὑμῶν. Ἀλλ' ὁρᾷς, τιμιώτατε, ὅπως μικροῦ καὶ τραγῳδόν με ποιεῖς. 3. Εἶτα ἐπὶ τούτοις τί ἄλλο εἰς ἀπολογίαν ἀνθυπενέγκῃς; ἢ πάντως ἐκεῖνο, τὸ ἀπροσήγορον, τὴν ἀγραφίαν καὶ τὸ καὶ τό. Ἐγὼ δὲ, πολλὰ ἔχων λέγειν, ἐκεῖνο τῷ τέως φημὶ, ὡς εἴ περ ἡ τοιαύτη φιλία δικαία ἐστὶ διὰ τοιαύτας σκήψεις λύεσθαι, λελύσθω· φθόνος οὐδείς· εἰ δὲ γελοῖόν ἐστιν εἰπεῖν, ἐγκαλύφθητι ταῦτα διὰ γραμμάτων. Εἰ δὲ δοίη θεὸς καὶ ἐς ὄψιν ἐλθεῖν, καὶ δριμυτέροις ἐπαντλήσομεν σκώμασιν. Εἴης ἐρρωμένος ψυχῇ τε καὶ σώματι.

λθ'. Τῷ λογοθέτῃ κῦρ Βασιλείῳ τῷ Καματηρῷ.

1. Οὐκ οἶδα, πανσέβαστε κεφαλὴ, ὅπως τῷ παρόντι χρήσομαι γράμματι· διπλῷ γὰρ πάθει μερίζομαι, λύπῃ, λέγω, καὶ ἡδονῇ καὶ τὸν λεγόμενον ἀτεχνῶς πάσχω κλαυσίγελων. Ὅτε

λη'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 51,6.

1. *παράπαν.* — 10. *εἴτέ τι.* — 14. *τωτέως.* — 18. *ἐπαντλήσωμεν.*

λθ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 51,6 - 52,α.

Digitized by Google

μὲν γὰρ ἀναλογίσομαι οἷον ὀφθαλμὸν τῆς βασιλείας ἐξέκοψεν ὁ παλαμναῖος ἐκεῖνος ἀνὴρ καὶ ἡλίκον ἀπέκειρε βόστρυχον τῆς γενναίας Ῥωμαίων ἀρχῆς, τῆς ἐντεῦθεν δυνάμεως ψιλῶσαι ταύτην πραγματευσάμενος, ὥςπερ ἄρα καὶ οἱ τῷ μεγάλῳ Σαμψὼν ἐπιθέμενοι ἑτερόφυλοι, δακρύων ἐμπίπλαμαι καὶ μόνου γίνομαι τοῦ πενθεῖν. 2. Ἀναφέρω δ' αὖθις τοῦ πάθους καὶ τοῦ δακρύειν ἀνακωχεύω, ἐννοούμενος τὴν ταχεῖαν περὶ ἡμᾶς θεοῦ χρηστότητα καὶ ὅπως, τὰς ἐν ὀδύνῃ ψυχὰς παραμυθούμενος, ἐπανήγαγεν ἐκ τῆς ὑπερορίου ταλαιπωρίας, καὶ τὴν σὴν σεβαστότητα καὶ τοῖς βασιλείοις καὶ ἡμῖν ἀπέδωκεν ὅλον ὑγιῆ τῷ κρυπτομένῳ καὶ οὐδενὸς ἐλλελοιπότα τῶν ὅσα εἰδοποιοῦσι τὸν ὄντως ἄνθρωπον. 3. Εἰ γὰρ καὶ διαλελώβηταί σοι παρὰ τῆς ἐπηρείας ὁ ἔξω καὶ πήλινος ἄνθρωπος, ἀλλά γε ὁ ἐντὸς καὶ κατ' εἰκόνα θεοῦ ὑγιὴς διεφυλάχθη καὶ ἀδιάφθορος, ὅτι τοῦ σοφοῦ οἱ ὀφθαλμοὶ ἐν τῇ κεφαλῇ αὐτοῦ καὶ νοῦς ὁρᾷ καὶ νοῦς ἀκούει, δν σῶον δήπου φέρεις καὶ ἀρτεμέα, ὡς τῆς ἐπηρείας τοῦ Τελχῖνος ἐκείνου καὶ ὁλοθρευτοῦ τῶν καλῶν ὑψηλότερος, ἵνα μὴ λέγω ὅτι καὶ τοῖς πειρασμοῖς πειρασθεὶς καὶ τὰ ἐς ψυχὴν λεπτυνθεὶς ἐπανῆλθες σεαυτοῦ τελεώτερος.

4. Οἶδα γὰρ ὡς μεγαλοψύχως φέρεις τὴν συμφοράν, καὶ, παίδευσιν Κυρίου λογιζόμενος ταύτην, φιλοσοφίας γυμνασίᾳ κέχρησαι καὶ τὰ ἀγαθὰ ἐκ χειρὸς Κυρίου δεξάμενος ὑποφέρεις καὶ τὰ κακά, μᾶλλον δὲ στερρότερον τοῦ Ἰὼβ πρὸς τὰς ἐπαγωγὰς τῶν λυπηρῶν ἀντιβαίνων οὐδὲ κακὰ ταῦτα νομίζεις ἢ ὀνομάζεις. Ἁμαρτία γὰρ μόνη κυρίως καὶ ὄντως κακόν· νόσος δὲ καὶ πενία καὶ πήρωσις οὐ κακόν· ὕλη γὰρ φιλοσοφίας, εἰ βουλόμεθα, χρώμεθα· ὥςπερ οὐδὲ τἀναντία τούτων ἀγαθὰ κυρίως, ὕβριν ὡς τὰ πολλὰ τοῖς μὴ νήφουσι τίκτοντα. 5. Εἰς τελεωτάτην γὰρ τάξιν ἀναβεβηκὼς υἱοῦ, παιδαγωγίαν νομίζεις τὰ πατρικὰ ῥαπίσματα καὶ τεκμήρια

19. *πυρωθεὶς*. Ἢ διορθωτέον *τοῖς ὀφθαλμοῖς πηρωθεὶς*; — 27. *ὕλην*.

Digitized by Google

στοργῆς σοι νομίζονται, τῶν φιλημάτων οὐ χείρονα. Τάχα καὶ εὐεργέτην ὀνομάζεις τὸν ὠμότατον ἐκεῖνον οἷς δι' αὐτοῦ τὴν πατρικὴν ἐδέξω παιδείαν ὅσα καὶ παρὰ || δούλου ἰταμοῦ καὶ βαρύχειρος. 6. Τοιαῦτα πιστεύω φιλοσοφεῖν τὴν πολύφρονα καὶ σοφὴν ψυχὴν, τοσούτῳ φωτὶ τὸν νοῦν τὸν ὑψηλὸν περιλάμπεσθαι, οὕτως ὀξυδορκεῖν πρὸς τὴν ἄποπτον τοῖς πολλοῖς τῶν ὄντων ἀλήθειαν. Οὐκέτι γὰρ ἔξω διὰ τῶν αἰσθητηρίων χεόμενος, ἀλλ' εἰς ἑαυτὸν νοερῶς ἀνακλώμενος ἐπαναδιπλοῦται καὶ πολλαπλασίων ἑαυτοῦ καθίσταται, καὶ, πλείστῳ φωτὶ καὶ οἰκείῳ οὕτω καταστραπτόμενος, μᾶλλον δὲ φῶς αὐτὸς ὤν, τοῦ πρώτου φωτὸς ἀπόρροια, οὐ δεῖται τοῦ ἐπεισάκτου καὶ θύραθεν, ὅπερ ἐξοικίζει μᾶλλον τῆς οἰκείας ἕδρας τὸν νοῦν καὶ πείθει πόρρω που φέρεσθαι, πρὸς τὴν τῶν αἰσθητῶν φαντασίαν πλανώμενον. Ὡς κἀκεῖνο τῶν ἱερῶν ῥημάτων κατὰ λόγον ἁρμόττειν σοι· «ἐκαρδίωσας ἡμᾶς ἐνὶ ἀπὸ ὀφθαλμῶν σου». Εἷς γάρ ἐστιν ὀφθαλμὸς, ὁ νοῦς δῆλα δὴ ὁ καὶ τὸν νοητὸν νυμφίον καρδιῶσαι λεγόμενος. 7. Ὀφθαλμοὶ δὲ σώματος οὗτοι οὔτε θεῷ ἐράσμιοι καὶ ἄλλως δὲ ὠκύμορον φῶς ἐν ἑαυτοῖς θαλαμεύουσιν. Ἡ γὰρ νόσος ἠμαύρωσεν ἡ χρόνος ἤμβλυνεν ἡ συμφορὰ ἐπεσκότησεν ἡ θάνατος ἔσβεσεν. Ἔτι μικρὸν καὶ πάντες τοῦ φωτὸς τοῦδε στερησόμεθα· οὗ περ οὐδὲ ζῶντες ἐνδελεχῶς ἐμπιπλάμεθα, καθότι καὶ ὕπνῳ διακόπτεται καὶ νυκτὶ σβέννυται, ἐνίοτε δὲ οὐδ' ἐγρηγορότες καὶ μεθ' ἡμέραν τῆς γλυκύτητος τοῦ φωτὸς αἰσθανόμεθα, μερίμναις καὶ συμφοραῖς τὴν διάνοιαν κατατεινόμενοι· καθ' ὃν τρόπον καί τινες φέγγοντες ἐν μεσημβρινῇ σκοτίᾳ φέγγειν παρὰ τῷ προφήτῃ λέγονται. Ὥστε μὴ πάνυ λυπείτω ἡ τοῦ φωτὸς τοῦδε στέρησις, ἐκείνου δὲ τοῦ φωτὸς λυπείτω μᾶλλον ἡ ἔκπτωσις, οὗ καὶ τυχεῖν μακαριστὸν καὶ ἐκπεσεῖν φοβερώτερον.

---

3. || Κώδ. 52,α.— 5. *τὸν ὑψηλὸν* προστεθειμένα ἐν τῇ ὥᾳ.— 14. *πλανωμένην*.— 16. *δηλαδὴ*.— 26. *φεύγοντες*.—27. *φεύγειν*.

Digitized by Google

μ'. Τῷ λογοθέτῃ κῦρ Δημητρέῳ τῷ Τορνέκῃ.

1. Ἠπάτησάς με, Κύριε, καὶ ἠπατήθην· φθέγξομαι γὰρ πρὸς τὸ πανσέβαστον ὕψος σου ὅπερ Ἱερεμίας πρὸς τὸν θεόν. Ἀλλ' ὅπως μὲν ὁ προφήτης ἠπατῆσθαι λέγει παρὰ θεοῦ, αὐτὸς ἂν λέγοις, λύων συνδέσμους κατὰ τὸν σοφὸν Δανιὴλ καὶ ἀναγγέλλων κρατούμενα. Ὅπως δ' ἐγὼ φενακισθῆναι παρὰ τῆς θεοειδοῦς κεφαλῆς καὶ τοῦ παντὸς ἐμοὶ τιμωμένης ἔδοξα, ἀκούοις ἂν ἐμοῦ λέγοντος. 2. Ὤμην, ἀγχίθεε κύριέ μου, μᾶλλον δ' ἐπεπείσμην, ὡς νῦν ἥκει καιρὸς Ἀθήνας ἀναζωπυρηθῆναι καὶ συνοικισθῆναι καὶ τῆς παλαιᾶς ταλαιπωρίας ἀνενεγκεῖν καὶ τὸν οὐκ εὐτυχῆ ταύτης ἱερέα τῶν ἐπ' αὐτῇ θρήνων ἀνακωχεῦσαι βραχὺ καὶ μικρὰν εὑρέσθαι τῶν μυρίων δυσχερειῶν ἀνάπνευσιν, ὅτε φιλανθρωπότατος μὲν βασιλεὺς κατεπέμφθη κατορθῶσαι τὴν οἰκουμένην, ἀγαθὸς δὲ θεράπων ὑποδρηστεύει· καὶ τῆς τοιαύτης ἀρχῆς ἄξιον καὶ δίκαιον Ἀθήναζε μᾶλλον ἢ ἑτέρωθί που <μᾶλλον> μετοχετεύειν τὸν τοῦ αὐτοκράτορος ἔλεον, καθότι, τοῖς πάλαι σοφοῖς ὁμόθεν γενόμενος, τῇ κοινῇ τῶν φιλολόγων πατρίδι ὀφείλει θρεπτήρια καὶ τὰς σοφὰς αἰδέσεται ψυχάς, εἰ μὴ δι' αὐτοῦ παύσονται Ἀθῆναι τοῦ ἀεὶ τῶν οἰκητόρων ἐκκενοῦσθαι καὶ ἕως τῶν θεμελίων καταστρέφεσθαι, ὅτε βασιλεία καὶ φιλοσοφία συνηλθέτην ἐπ' εὐδαιμονίᾳ τῶν πόλεων.

3. Ὤμην ταῦτα ὁ δύσελπις ἀεὶ καὶ οὔ ποτε παρ' οὐδενὸς τῶν ἀνθρώπων χρηστόν τι καραδοκήσας ἀλλ' ἢ τὰ νῦν καὶ παρὰ σοῦ, τῆς σοφῆς κεφαλῆς. Μάτην δ' ἄρα ὠνείρωξα ταῦτα καὶ κενὸς ἄλλως ἠλέγχθην, οὕτω ῥᾳδίως ἐλπίσι βουκοληθείς, ὑφ' ὧν οἱ εὐηθέστεροι βόσκονται, καὶ γέγονα, κατὰ τὴν προφητικὴν εἰκόνα, ὡς ὁ διψῶν ἐν ὕπνῳ καὶ πίνειν δοκῶν καὶ διυπνιζόμενος καὶ αὖθις διψῶν. 4. Τί ἐστιν ὅ φημι; Ταῖς μὲν

μ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 52,α - 52,β.

14. ἄξιος. δίκαιος.

Digitized by Google

ἀστυγείτοσιν ἡμῶν πόλεσι κουφισμοὶ τελῶν καὶ φόρων ἀνέσεις, Ἀθήναις δὲ ταῖς ἀθλίαις τοιοῦτον οὐδέν, ἀναγραφικὴ δὲ μᾶλλον ‖ πολυπραγμοσύνη, οὐκ οἶδ' ὅπως ἐπὶ σωτηρίᾳ γενήσεσθαι δόξασα· τὸ δὲ βαρύτερον, πάλιν ἀντιπραίτωρ, ὁ πρῶτος καὶ τελευταῖος Ἀθηνῶν ὄλεθρος, οὗ τῆς ἐπηρείας ἀπαλλαγέντες Ἀθηναῖοι ἔτος τοῦτο τρίτον, ἐπεὶ παρὰ δόξαν εἶδον ἀνθ' ἑνὸς ἐπιστάντας δύο, ὠλόλυξαν ἐλεεινὸν καὶ ὡς τέλεον ἁρπαζομένων Ἀθηνῶν ἐξ ἀνθρώπων ἐκόψαντο. 5. Ἐπὶ τούτοις τίς Ἱερεμίας ἐμοῦ θρηνητικώτερος; Ἀλλὰ μνήσθητι Ἀθηνῶν, πανσεβάστη κεφαλὴ καὶ φιλάνθρωπε, μνήσθητι δὲ καὶ τῆς οὐθενείας ἡμῶν. Στῆθι ὡς ἄλλος Φινεὲς ὑπὲρ ἡμᾶς καὶ κοπασάτω ἡ θραῦσις. Ἵνα τί ὑπεροράᾳς ἐν εὐκαιρίαις, ἐν θλίψεσιν; 6. Οὐ μεγάλα τινὰ καὶ ἐπιζήμια τῷ δημοσίῳ αἰτούμεθα· ἀλλὰ πρῶτον μὲν μὴ στέλλεσθαι εἰς Ἀθήνας ἀντιπραίτωρα, αὐτὸν δὲ τὸν πραίτωρα κατὰ περιόδους ἐπιδημεῖν καὶ ὁσάκις δεήσειε, καθὼς ὁ θαυμάσιος Δριμὺς καὶ ὁ πρὸ αὐτοῦ Προσούχ. Εἶτα οὓς ἔτρωσας εἰ βούλει μετρίως ἰάσασθαι, διορισθήτω καταλογίζεσθαι τὸν ἀναγραφέα τὸν γεωμετρούμενον γήδια τοσούτων μοδίων τῷ νομίσματι ὅσων καὶ ταῖς ἀγχιθυρούσαις χώραις ἡμῖν κατελογίσθησαν, καὶ δεῖξον ἔργοις αὐτοῖς ὡς οὐκ ἐπελήσθημεν ἀπὸ καρδίας ὡσεὶ νεκροὶ, ἀλλ' ἐν καιρίῳ μνήμης παρὰ τῇ σῇ ἀντιλήψει [κείμεθα] καὶ εἰςέτι κεισόμεθα. Εἴη ὁ θεὸς διαφυλάττων τὴν πανσέβαστόν σου ὑπεροχὴν ὑγιῆ, εὔθυμον, πολυχρόνιον.

μα'. Τῷ Αὐτωρειανῷ κῦρ Μιχαήλ.

1. Πρόσθες, σοφωτάτη καὶ φίλη μοι κεφαλὴ, καὶ τοῦτο τῇ καθ' ἡμᾶς βίων ὁμοιότητι, εἴ περ ἤσθα μεμνημένος ὅπως ἐπὶ

3. ‖ Κώδ. 52, 6. — 11. *ἡμῶν*. — 12. *ἐρατεί*. — 13. *μεγάλά τινα*. — 14. *ἀντιπραίτορα*. — 19. *τῷ δ'*. — 20. *ἡμῶν*. — 22. *κείμεθα* λείπει.

μα'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 52, 6.

Digitized by Google

τῶν χρυσῶν ἐκείνων ἡμερῶν, σχολήν ποτε ἄγοντες καὶ παίζοντες, οὐκ ἀμούσως παραλλήλους τοὺς βίους ἡμῶν ἐτιθέμεθα, ἀπ' αὐτοῦ τοῦ ὁμωνυμεῖν τὴν ἀρχὴν ποιησάμενοι. Εἰ γὰρ τὸ περὶ φιλίαν ἐξ ὁμοιότητος ἀκριβοῦς ἡρμόσθαι φιλοσοφεῖ, ὅμως δεδόσθω τὰ οὕτως ἐσπουδασμένα τηνικαῦτα λέγεσθαι παίγνια, παρεξεταζόμενα πρὸς τἄλλα τοῦ θεωρητοῦ καὶ σχολαστοῦ βίου σεμνώματα, ὥςπερ καὶ τὰ νῦν παρ' ἡμῶν σπουδαζόμενα. Ἀλλ' οὐ βούλομαι φλαῦρον ἐρεῖν οὐδὲν αἰδοῖ τῆς τῶν καθ' ἡμᾶς ἐπαγγελμάτων σεμνότητος. 2. Ὅπερ οὖν ἔλεγον, πρόσθες οὖν ταῖς ἤδη συμπαθούσαις ἡμῖν ὁμοιότησιν καὶ τὸ ὑπογραμματέας γενέσθαι πατριαρχικῆς ἀμφοτέρους μεγαλειότητος. Ἐλπίζω δ' ὅτι καὶ κατὰ τὴν ἱερὰν ἀξίαν οὐκ εἰς μακρὰν διοίσομεν. Ἂν δὲ καθ' Ἑλλάδα καὶ ἐπὶ ταῖς τῶν ἀγχιθύρων ἐκκλησιῶν λυχνίαις δοίη θεὸς φαίνειν καὶ φαίνεσθαι, τότ' ἂν ἡ αὐτότης ἡμῶν ὑπερβάλῃ καὶ αὐτὸ τὸ τῶν φιλαδέλφων Διοσκούρων ὁμόγνιον, καὶ μᾶλλον εἰ μὴ κατ' ἐκείνους ἑτερήμεροι βιοτεύσομεν. Ἀλλὰ ταῦτα μὲν φερέσθω ὅπῃ φίλον θεῷ, ἄγοντι πρὸς τὸ ἄμεινον ἀεὶ τὴν ἡμετέραν ζωήν.

μϐ'. Τῷ μεγαλυπερόχῳ πρωτονοταρίῳ ὑπερτέμῳ καὶ πραίτωρι κῦρ Νικολάῳ τῷ Τρεψύχῳ.

1. Ἀνέπνευσα μικρὸν τῶν περιστοιχιζόντων με μυρίων ὀδυνηρῶν, μεγαλυπέροχε καὶ ἐν Κυρίῳ ἀγαπώμενέ μοι αὐθέντα, δεξάμενος ἐπιστολὴν τῆς τοῦ παντὸς τιμωμένης μοι κεφαλῆς, ἀναψύχουσαν μὲν καὶ τοῖς ἄλλοις οἷς ὡς δρόσος Ἑρμῶν ἐπεψέκαζε καὶ ὡς μύρον ἱερὸν προσεπέπνεεν ἡδιστον, ἀναζωοποιοῦσαν δὲ καὶ οἷς τὴν σὴν παρουσίαν ἀπήγγελλεν, ἐλπιζομένην ἔμοι γ' οὖν ὡς ἄλλην τοῦ Κυρίου Ἰησοῦ εἴτε πρὸς

5. *ἐσπουδασμένους.*

μϐ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 68,6-69,α.

Τίτλος. *πραίτορι.*

Digitized by Google

ναυαγοῦντας μαθητὰς ἐπιστασίαν εἴτε πρὸς τοὺς καθημένους ἐν τάφοις κάθοδον. Τί γὰρ ἀλλ' ἢ ναυαγίαν ἢ θανάτου σκιὰν ὑπολῃπτέον τὴν ἐν τοῖς κατωτικοῖς ταύτην ἡμετέραν ζωὴν, ἧς σωτὴρ καὶ κοσμήτωρ κατεπέμφθης αὐτὸς ἄνωθεν; 2. Εἴη εὐλογητὸς ὁ θεὸς ὁ πορεύσας σε δεῦρο κυβερνήτην δεξιὸν καὶ κατευναστῆρα τῶν ἐπιφρισσόντων ταῖς πολιτείαις ἀδικημάτων καὶ φῶς ἐν σκότει ὑψηλὸν ἐφ' ὑψηλῆς λυχνίας πυρσεῦον τῆς Θέμιδος καὶ σοφὸν ἰατρὸν τῶν ἐπισκηπτόντων τῇ Ἑλλάδι ποικίλων ἀρρωστημάτων. Ὧν τὸ μὲν φαρμακεύσεις ἠπίως, τὸ δ' ἐπιπλάσεις ἡμέρως, ἔστι δ' ὅπερ καὶ τεμεῖς τῷ ἀποτόμῳ τῆς ἀποφάσεως ἢ καὶ ἐπικαύσεις τῷ ὑπὲρ τοῦ δικαίου διαπύρῳ ζήλῳ σου, καὶ ἀμφότερα μετὰ λόγου καὶ ἐπιστήμης· καὶ ὅλως οὐδὲν ἔσται νόσημα πολιτείας ὃ μὴ τῆς παρὰ σοῦ θεραπευτικῆς ἐπὶ καλῷ αἴσθηται. 3. Ταῦτα φρονεῖν περὶ σοῦ καὶ λέγειν ἔχω καὶ τοῖς οὐκ εἰδόσιν εὐαγγελίζεσθαι, πάλαι τὸ ἐμπεφυκός σοι καλοκἀγαθον καὶ χρηστόηθες ἀκριβωσάμενος καὶ τὴν τῆς ‖ παιδεύσεως ἐλευθέριον ἀγωγὴν εὖ εἰδὼς καὶ ὡς ἅπασαν ἐπιστήμην λόγου συνειληφὼς, εἶτα καὶ ἰταλικὴν ἐπιστήμην ὥςπερ τινὰ χρυσῆν στεφάνην ἐπέθηκας.

4. Ἀλλ' ὦ πῶς ἔτι γράμμασιν ὁμιλεῖν ἀνέχομαι καὶ τοῖς ἰνδάλμασιν ἀπολαύω τοῦ τηλικούτου καλοῦ καὶ οὐκ ἤδη προστρέχω καὶ τῆς ἀληθείας ἐμπίπλαμαι καὶ δίδωμι τοῖς ὀφθαλμοῖς τρυφᾶν καὶ σχῆμα καὶ πρόσωπον εὐγενοῦς φίλου. 5. Τοῦτο δὴ καὶ ποιήσω μετὰ μικρὸν, εἰ καὶ τῷ τέως ἐπεσχέθην διὰ τὸ παρὰ πειρατῶν τοξευθῆναι τὸν ἐμὸν ἀνεψιὸν καὶ χαλεπῶς ἔχειν τοῦ τραύματος, ὡς τῶν γε λοιπῶν κωλυμάτων ἕνεκα πάλαι ἂν ἐθεασάμην τὴν αὐθεντίαν σου. Ναὶ, καὶ θεασαίμεθα ὑγιῶς ἔχουσαν καὶ εὐθύμως συντηρουμένην παρὰ τῆς ἄνωθεν δεξιᾶς.

---

10. *ἠπίως*. — 16. *καλοκάγαθον*. — 17. ‖ Κώδ. 69,α. — 19. *ὥσπέρ τινα*.— 25. *τωτέως*.

www.tibook.com.cn

Digitized by Google

μγ'. Τῷ Γαρδικίου καὶ Περιστερᾶς ἐπισκόπῳ κῦρ Ἐπιφανίῳ.

1. Ἱερώτατε καὶ ἐν Κυρίῳ ἀγαπώμενέ μοι ἀδελφὲ καὶ συλλειτουργέ, δεξάμενοι τὴν γραφήν τῆς ἁγιωσύνης σου, εὐφροσύνης ἅμα καὶ λύπης ὑπεπλήσθημεν, τοῦτο μὲν οἷς ἐμάθομεν ὑγιαίνειν τὴν σὴν ἱερότητα, τοῦτο δὲ ὅτι πειρασμοῖς προσπαλαίοις ὁποίους οἱ καθ' ἡμᾶς σχεδὸν πάντες ὑφίστανται. Ὅμως εὐχαριστητέον τῷ θεῷ καὶ ὑπομενετέον μεγαλοψύχως, ἵνα μὴ μάτην, μᾶλλον δὲ καὶ ἐπικινδύνως πειραζώμεθα. 2. Ἐγὼ δὲ, εἰ μὴ φορτικὸς, ἔχω τι ἀξιῶσαι τὴν ἁγιωσύνην σου. Οἶδας δὲ πάντως ὅτι ἡ νῦν κατάστασις τῶν καθ' ἡμᾶς ἐπισκόπων τά τε ἄλλα κοσμιωτέρα ἐστὶ καὶ περὶ τὰς βαναυσικὰς καὶ λοιπὰς χειρωνακτικὰς τέχνας ἀποσχολεῖται, ὡς καὶ βοῦν ἀροτῆρα ἐνίοτε ἐπισκέπτεσθαι καὶ ἄροτρον περιεργάζεσθαι καὶ περισκοπεῖν ἅμαξαν. Ἐπεὶ γοῦν τὰ ἀθηναϊκὰ πάντα γλίσχρα καὶ εὐτελῆ, καὶ δὴ καὶ τὰ γηπονικὰ ὄργανα, στεῖλον ἡμῖν ἁμαξοποιούς.

μδ'. Τῷ πρωτοπανεντιμοϋπερτάτῳ θείῳ τοῦ βασιλέως τῷ Κασταμονίτῃ.

1. Ἔμελλεν ὁ πάμμεγας καὶ ἅγιος Κύριός μου ὀψέποτε μένος καὶ θάρσος ἐμπνεῦσαί μοι, ὥστε καὶ πρὸς τὸ ὕψος τῆς αὐτοῦ περιωπῆς ἀνανεῦσαι καὶ πρὸς τὰ ἐπιστολιμαῖα προσφθέγξασθαι. Ἐγὼ μὲν γὰρ διανοούμενος ὡς οὐρανὸς ὑψηλὸς,

μγ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 69,α.

Τίτλος. *περιστερὰς*.— 5. *ὁποίοις*.— 8. *τί*.— 10. *ἐστι*.

μδ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 69,α - 69,β.

Τίτλος. *ἀ,πανεντϊμουπερτάτω*.— 17. *ἐμπνεῦσαι*.

Digitized by Google

γῇ δὲ βαθεῖα, κατὰ τὸν σοφὸν Σολομῶντα, οὐδὲ τὴν ἀρχὴν γράφειν ἐτόλμων, οὔτε διὰ μέσου γράμματος ὅσα καὶ παραπετάσματος ἐνατενίζειν ἢ ὁμιλεῖν. Οὔτε γὰρ συνήθεια φθάσασα, οὔτε γνωριμότης ἔπειθε ταῦτα θαρρεῖν. Ὑπεστελλόμην οὖν διὰ τοῦτο ὑπὸ δειλίας ἐπαινουμένης, ὡς οἶμαι· καὶ ὡς ὁ Μωσῆς ἀπέστρεφε τὸ πρόσωπον αὐτοῦ· εὐλαβεῖτο γάρ φησι κατεμβλέψαι ἐνώπιον τοῦ θεοῦ· οὕτω καὶ αὐτὸς οὐδὲ διὰ γραμμάτων ἐνατενίζειν τῷ κατὰ χάριν θεῷ εἶχον θαρρεῖν. 2. Ἐπεὶ δὲ πρῶτον γράμμα καὶ δεύτερον ἐδεξάμην, ἐξ ὕψους τοσοῦδε καταπεμφθὲν πρὸς τὴν ἡμετέραν ἐσχατιάν, ἠρξάμην εὐθὺς εἰς θάρσος ἀναζωπυρεῖσθαι καὶ τὸ ἐκ τῆς δειλίας πρὸς τὸ γράφειν ναρκῶδες ἀποσείεσθαι καὶ τοιαῦτα ἐμαυτῷ διαλέγεσθαι· «οὐχ ὁρᾷς, ὦ σὺ τὰ πάντα δειλέ, θεοῦ καὶ πάλιν κατάβασιν ἢ συγκατάβασιν; Τί δέδοικας τοῦ λοιποῦ; Τί τὸ ὕψος μόνον περισκοπεῖς, τὸ δὲ μέτριον καὶ ἥμερον οὐ κατανοεῖς; μέχρι τίνος φόβον οὐκ ἐπαινούμενον φοβῇ; Ἰδοὺ αὐτὸς ὁ πάμμεγας λογοθέτης τὸ ἐνδόσιμον τοῦ λέγειν καὶ γράφειν δέδωκεν, αὐτὸς τὰς ἐπιστολὰς ὥςπερ χεῖρας ἁπλώσας εἰς ἑαυτὸν ἐπιστρέφει. Τί τὸν ἐπιλαμβανόμενον κατὰ μίμησιν θεοῦ φεύγεις, ἀλογίστως δειλαινόμενος; Ὑψηλὸς μὲν ἀνὴρ καὶ τῇ δόξῃ καὶ τῇ τιμῇ ἀπρόσιτος, ἀλλὰ καὶ τὰ ταπεινὰ ἐφορᾷ καὶ τοῖς προσιοῦσι διὰ φιλανθρωπίαν εὐπρόσιτος. Θαρσήσας γοῦν μάλα ἐπίστελλε.» 3. Ταῦτα πρὸς ἐμαυτὸν ἔλεγον πρότερον· ἐπεὶ δὲ καὶ φήμη καὶ γράμμα εὐηγγελίζοντο ἡμῖν ὡς ὁ τὰ πάντα διοικῶν παμμέγιστος λογοθέτης τὰς Ἀθήνας ἰδίας ἑαυτοῦ πεποίηται καὶ τὴν κατ' αὐτὰς ἀνεδέξατο κηδεμονίαν καὶ φροντίδα, πάλιν οἰκονομίας ἀρχαίας θεοῦ φανταζόμενος ἀνεμιμνησκόμην καὶ τὰ παρὰ θεοῦ τοῖς πάλαι φιλανθρώπως πραγματευόμενα ἑώρων || ἀτεχνῶς ἐφ' ἡμῖν ἀνακαινιζόμενα. Ὡς γὰρ ὅτε διεμέριζεν ἔθνη ὁ ὕψιστος καὶ ἔστησεν ὅρια ἐθνῶν, ἐγεννήθη μερὶς Κυρίου, λαὸς αὐτοῦ Ἰακώβ, σχοίνισμα κλη-

μόνον

9. τοῦσοῦδε. — 14. ὕψος περισκοπεῖς. — 20. ἀνὴρ. — 29. || Κώδ. 69,6. — 31. ἐγενήθη.

www.libtool.com.cn

Digitized by Google

ρονομίας αὐτοῦ Ἰσραὴλ, οὕτω καὶ ὁ ὑψηλὸς λογοθέτης, τὰ λοιπὰ τῶν Ῥωμαίων ὅρια καὶ τὰς αὐτῶν διοικήσεις ἄλλοις ἄλλως διαμερίζων, αὐτὸς ἑαυτῷ τὰς Ἀθήνας ἀπεκληρώσατο καὶ λαὸν ἡμᾶς οἰκεῖον ἰδιώσατο. 4. Πάντες οὖν ὑπὸ χρηστοτέρων ἐλπίδων ἀνεθάλφθημεν, πάλαι ταῖς πολυτρόποις νενεκρωμένοι κακώσεσιν. Εἰ γὰρ καθήπτετο τῆς καθ' ἡμᾶς ἐκκλησίας ἕνια τῶν τοῦ προσκυνητοῦ ὁρισμοῦ ῥητῶν, ἐξ ἀναφορᾶς πάντως τῶν Τελχίνων καὶ διαβολέων ἐντεθειμένα, ἀλλ' οὐ παρὰ τοῦτο οἱ διυπηρετούμενοι τῇ θεομήτορι τῶν ἀγαθῶν ἐλπίδων καὶ τῆς ἐπὶ ταῖς ἐλπίσι κοινῆς ἡδονῆς ἐξεπίπτομεν, θαρροῦντες ἐπὶ τῷ φιλοδικαίῳ τῆς μεγίστης σου ἀντιλήψεως καὶ ὡς οὐ παρασύρεται ἡ στερροτάτη καὶ φιλοθεωτάτη ψυχὴ παρὰ τῶν βασκάνων, ἐνδιαβαλλόντων διὰ κενῆς εἰς τὸ καινῖσαί τι ἐπὶ τοῖς ἀνέκαθεν δικαίοις τῆς ἐκκλησίας παρὰ τὰς περιλήψεις τῶν προσόντων αὐτῇ χρυσοβούλλων, τοῦτο δὴ ὅπερ καὶ αὐτὸ τοῖς προσκυνητοῖς προσέκειτο ὁρισμοῖς ὡς θεῖόν τι <φάρμακον> τῆς διαβολῆς ἀντιφάρμακον.

5. Ταῦτ' ἄρα καὶ δεόμεθα μὴ οὕτως ἐξ ἐρήμης τοὺς διαβολεῖς ἰσχύειν κατὰ τῆς ἐκκλησίας ἕως παρὰ τῆς ἐναργείας τῶν πραγμάτων πληροφορηθῇ ἡ σὴ παμμεγίστη ἀντίληψις ὡς οὔτε τὸ δημόσιον ἡ ἐκκλησία τῶν Ἀθηνῶν ζημιοῖ, οὔτε τοὺς ἀπορωτάτους ἀδικεῖ, ἀλλὰ καὶ τούτοις κατὰ δύναμιν προσβοηθεῖ· σιγάτω φθόνος καὶ πᾶσα γλῶσσα διάβολος· κἀκείνῳ συνεισφέρει πάντα δὴ τὰ καθήκοντα καὶ εἴ περ τις ἄλλη τὰ Καίσαρος ἀποδίδωσι Καίσαρι. 6. Οὐ γὰρ οὕτως ἡμεῖς ἀπαίδευτοι καὶ τῶν λογίων τοῦ πνεύματος ἀμαθεῖς, ὡς μὴ ἀποδιδόναι πᾶσι τὰς ὀφειλάς, τῷ τὸ τέλος τὸ τέλος, τῷ τὸν φόρον τὸν φόρον, τῷ τὴν τιμὴν τὴν τιμὴν, εἰ καὶ τὰ τῆς καθ' ἡμᾶς ἐκκλησίας κτήματα τὰ μὲν τὸ παρ' ἅπαν ἀπώλοντο πολυτρόπως, τὰ δὲ καθ' ἑκάστην ὑπορρέουσιν, ὑπὸ τῶν

4. *ἰδιώσατο* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *ἰδιῶσατο*.— 9. *δι' ὑπηρετούμενοι*.— 14. *καινίσαί τι*.— 21. *τὸν δημόσιον*.— 24. *εἴπερ*.— 29. *παράπαν*.— 30. *καθεκάστην ὑπορρέουσι*.

Digitized by Google

πειρατῶν ληιζόμενα, καὶ τὰ τῶν προςόδων εἰς στενὸν κομιδῇ καὶ οὐκ ἀνάλογον ταῖς ἀναγκαίαις δαπάναις περίστανται.

www.libtool.com.cn

7. Ἀλλ' ἐπεί περ ἠξιώθημεν ἐπισκέπτεσθαι καὶ ἐπιτροπεύεσθαι παρὰ τοῦ κοινοῦ καὶ μόνου διοικητοῦ τῶν ῥωμαϊκῶν πραγμάτων, θαρροῦμεν ὡς ἥ τε καθ' ἡμᾶς χώρα καὶ ἐκκλησία πάλαι τεθνηκυῖαι νῦν ἀναβιώσουσι καὶ ἀναθηλήσουσιν ὡς ἔξον, ἵνα μὴ ἐπὶ τοῖς παλαιοῖς ἀγαθοῖς ἀνδράσιν Ἀθῆναι σεμνολογῶνται μόνον, Μιλτιάδῃ καὶ Περικλεῖ καὶ Θεμιστοκλεῖ καὶ συνοικιστῇ Θησεῖ καὶ ἐξισωτῇ Ἀριστείδῃ τῷ δικαίῳ, ἀλλὰ καὶ ἀνοικιστῇ καὶ ἀνακαινιστῇ καὶ σωτῆρι τῷ παμμεγίστῳ λογοθέτῃ ἐγκαλλωπίζωνται. 8. Τοιαῦτα ἡμεῖς εὖ παθεῖν παρὰ τῆς εὐεργετικωτάτης ψυχῆς ἐλπίζομεν. Διὰ ταῦτα καὶ ἐπευχόμεθα τῷ τε κρατίστῳ καὶ ἁγίῳ ἡμῶν αὐτοκράτορι καὶ τῇ μεγίστῃ ἀντιλήψει σου ὑγίειαν εὔθυμον καὶ βιοτὴν μακροχρόνιον καὶ τῆς αἰωνίου βασιλείας κληρονομίαν.

με'. Τῷ Αὐτωρειανῷ κῦρ Μιχαήλ.

1. Ὅπερ, τῆς Γραφῆς ἱστορούσης, μανθάνομεν συμβεβηκέναι περὶ τοὺς φίλους τοῦ γενναίου Ἰὼβ, τοῦτο καὶ ἐφ' ἡμῖν ἴδοι τις ἄν, ὦ καλὲ δέσποτα. Ὡς γὰρ ἐκεῖνοι, μόνον οὐκ ἐκπεσόντες ἑαυτῶν διὰ τὸ μέγεθος τῆς πληγῆς, ἑπτὰ μὲν ἡμέρας καὶ νύκτας ἑπτὰ παρεκάθισαν αὐτῷ, οὐδεὶς δέ φησιν ἐλάλησε πρὸς αὐτὸν λόγον, καί περ παραγενόμενοι πόρρωθεν πρὸς τὸ παρακαλέσαι καὶ ἐπισκέψασθαι αὐτὸν, τάχα δὲ καὶ μακροτέραν σιωπὴν ἠγάπησαν, εἰ μὴ αὐτὸς ὁ γεννάδας ἀνοίξας τὸ στόμα διαλέξεως ἀφορμὰς ἐνδέδωκεν· οὕτω καὶ αὐτὸς, πόρρωθεν ἰδὼν, οὐ λέγω ὅτι οὐκ ἔγνων ὡς ἐκεῖνοι τὸν φίλον, οὐδ' ἐμαυτοῦ τὴν στολὴν ἔρρηξα, ᾤμωξα δὲ μόνον καὶ ἔκλαυσα καὶ τὴν πληγὴν ὁρῶν δεινὴν οὖσαν καὶ μεγάλην σφόδρα μέ-

6. *τεθνηκυῖα*.— 14. *ὑγίειαν*.

με'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 69,δ - 70,α.

Digitized by Google

χρι καὶ ἐς δεῦρο σιωπῶν ἐκαθήμην, οὐκ ἔχων μὲν ὅ τι καὶ εἴποιμι, προδοκῶν δὲ πρῶτον ἀκοῦσαί τι λαλοῦντος καὶ οὕτως εὐαφόρμως λαβέσθαι ‖ τῆς διαλέξεως. 2. Ἐπεὶ δὲ τοσοῦτον οὐκ οἶδ' ὅπως ἐσιώπησας χρόνον αὐτὸς, οὐ προπετεῖς ἡμεῖς τοῦ λοιποῦ προσφωνοῦντες διὰ γραμμάτων καὶ περὶ τῆς πληγῆς πυνθανόμενοι. Ἄγε γοῦν εἰπὲ, πότερον ὁ χρηματίσας διὰ λαίλαπος καὶ νεφῶν θειότατος βασιλεὺς ὤφθη σοι οὕτως ἔχοντι καί τί σοι προσδιείλεκται· τοῦτο γὰρ ἴαμα τῆς κατὰ σὲ συμφορᾶς οἴδαμεν· ἢ ἔτι τῷ πάθει προσταλαιπωρεῖς; Ἀποκρίθητι πυνθανομένοις. Οὐ παρακλήτορες ἡμεῖς κακῶν; οὐδὲ τῆς νόσου βαρύτεροι· πεποίθαμεν γὰρ ὡς τὸ τοῦ ἀγαθοῦ κυβερνήτου ἐκείνου καὶ ἐπεπόνθεις καὶ ἔλεξας· «ὀρθὰν, ὦ Πόσειδον, καταδύσεις τὰν ναῦν». 3. Ἦ δοκεῖς ὡς ἐπελήσθης ὡςεὶ νεκρὸς ἀπὸ καρδίας ἡμῶν; Οὐκ ἔστι τοῦτο, οὐκ ἔστι. Πῶς γὰρ οἵ γε τοσοῦτον τὰ περὶ σὲ κατὰ νοῦν περιφέρομεν ὥστε καὶ ὄναρ τὰ περὶ σοῦ μεθημερινὰ διανοήματα φανταζόμεθα; Καὶ ἵνα, τῶν ἑώλων ἀφέμενος, εἶπω τι τῶν προσφάτων, ἐδόκουν ὁρᾶν σε πειρώμενον ἐπιβῆναί τινος ὀχήματος, τὸ δ' οὐχ ἵστατο ἀτρεμὲς, οὐδ' ἐπιβαίνοντος ἠνείχετο, ἀνεσκίρτα δὲ καὶ πτυρόμενον ἐδυςχέραινεν. Οὐ μὴν ἀνῆκας αὐτὸς παρὰ τοῦτο· ἅπαξ καὶ δὶς τῆς πείρας διαμαρτὼν, καὶ τρίτον ἐπικεχείρηκας καὶ ἀνέβης ἐπὶ τὸ ὑποζύγιον καὶ γαῦρος ἐφέρου τὸ λοιπόν. 4. Ταῦτ' εἶδον πρὸ μικροῦ, εἴτε τῶν ἡμερινῶν περὶ σοῦ φαντασμάτων ἀπηχούντων τουτί, εἴτε τυποῦντος τοῦ θέλειν τὴν σὴν ἐπὶ τὸ ἱερὸν ὕψος ἀνάβασιν ἢ ἐπάνοδον. Οὐ φιλῶ μὲν ἀθύρμασιν ὀνείρων παίζεσθαι, ἀλλὰ κἂν σημαίνωσί τι ποτὲ οὐ προσποιοῦμαι, φυλαττόμενος μὴ περιχαίνων τῷ δελητίῳ λάθω περιπαρεὶς τῷ χαλκῷ. 5. Τούτῳ μέντοι καὶ πιστεύειν ὡς θείῳ καὶ πείθεσθαι βούλομαι καὶ θεόπεμπτον εἶναί πως εὔχομαι οὐχ ὡς τοῖς κατὰ τὸν Ἰωσὴφ ἢ Δανιὴλ παρεξετάζων ἐμαυτόν· μὴ οὕτως ὑπνώσαιμί ποτε εἰς

3. ‖ Κώδ.70,α.— 6. *πρότερον*.— 8. *τι*.—11. *τοτὸῦ*.—17. *τί*. — 18. *ἐπιβῆναι τινὸς*.— 21. *πεῖρας*.— 31. *ὑπνώσαιμι*.

Digitized by Google

θάνατον ὡς ὀνειρῶξαί τι τῶν θείων ἐκείνων ἀνδρῶν περὶ ἑμαυτοῦ, ὧν τοσοῦτον ἀνάγκη καὶ ἐν ὀνειρείῃσι πύλῃσι λείπεσθαι ὅσον καὶ ἐναργῶν πραγμάτων ἀφαυρὰν ὀνείρων σκιάν· ἀλλ' εἰδὼς ὅτι καὶ Ἀσσυρίοις τυράννοις καὶ Αἰγυπτίοις ἐφίσταταί ποτε ἄνωθεν ὄνειρος. Καὶ τί καινὸν ἀξιοῦσθαι τῶν ὁμοίων τοὺς περὶ τὰς ὑπολήψεις τοῦ θείου ὑγιαίνοντας, κἂν οὐ προβάλλωνται τὰς ψυχὰς διὰ τῶν καθαρτικῶν ἐπιτηδείους πρὸς ἔλλαμψιν; 6. Οὕτω τῷ περὶ σὲ πόθῳ κάμνομεν καὶ ἐπευχόμεθα τὰ καλλίω καὶ προσδοκῶμεν τὰ λῴονα. Εἰ δὲ καὶ τὰ περὶ σὲ πράγματα κατ' ἐλπίδα καὶ εὐχὴν ἡμετέραν φέρονται ἢ διοικοῦνται παρὰ θεοῦ, λέγοις ἂν αὐτὸς καὶ γνωρίζοις ἡμῖν. Ἐρρωμένος διατελοίης ψυχῇ τε καὶ σώματι.

μς'. Τῷ οἰκουμενικῷ πατριάρχῃ κῦρ Λεοντίῳ.

1. Ἁγιώτατέ μου δέσποτα καὶ αὐθέντα, καὶ πρώην μὲν εἶχον ἐρωτικῶς τῆς πρὸς τὴν μεγαλόπολιν ἀνόδου καὶ σχεδὸν ἐξ οὗ περ εἰς τὴν κατωτάτην ταύτην κατεκυλίσθην ἐσχατιάν, νῦν δὲ καὶ μᾶλλον ἐρωτικωτέρως ἔχω καὶ οὐκέτι κατέχειν ἐμαυτὸν οἷός τέ εἰμι, ἐφιέμενον τοῦ προσκυνῆσαι τὴν μεγάλην ἁγιωσύνην σου καὶ τοῦ παρ' αὐτῆς ἁγιασμοῦ καὶ φωτισμοῦ μετασχεῖν. Καὶ ἐπεὶ πλείη μὲν γαῖα κακῶν, πλείη δὲ θάλασσα καὶ ἡ δι' αὐτῆς ὁδὸς ὅσα καὶ ἡ φέρουσα πρὸς Ἅιδην ἠγρίωται, ποτνιῶμαι διὰ ταῦτα κατὰ τὸν θεῖον Δαυὶδ καὶ πτέρυγας αἰτοῦμαι περιστερᾶς ὡς πετασθήσομαι καὶ διαέριος ἐνεχθήσομαι. 2. Ἀλλ' ὤμοι, διαπίπτει μοι κἀνταῦθα ὁ ἔρως καὶ σχάζει τὸ πτερὸν ἀμηχανῶν καὶ ἐλεγχόμεθα εἰς ἀδύνατα μάτην ἀναπτερούμενοι, καθότι μηδ' ὑπὸ τῆς κατὰ πνεῦμα τὸ θεῖον ἀκεραιότητος κουφιζόμεθα, ὡς σάρκες δὲ μᾶλ-

3. *ἀφορὰν*.— 7. *ἐπιτηδείοις πρὸς ἔλλαψιν*.

μς'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 70,α - 70,β.

14. *τὴν πρὸς*.— 17. *οἷος*.

Digitized by Google

λον εἰς γῆν ἕρπομεν. 3. Πότε γοῦν καὶ ὅπως ἀναβήσομαι; ὡς ἔγωγε ἀπελπίζω καὶ, ὑπὸ κήτους τῆς ἀπογνώσεως καταποθεὶς, τὸ τοῦ Ἰωνᾶ φθέγγομαι πρὸς θεόν· «ἆρα προσθήσω τοῦ ἐπιβλέψαι με πρὸς ναὸν τὸν ἅγιόν σου,» ἆρα τὸν ἀποστολικὸν προσκυνήσω καὶ περιπτύξομαι θρόνον; Ὃν ἄλλοτε μὲν ἄλλοι κατεκόσ‖μησαν ἄνδρες θεῖοι καὶ πρὸς τὸν πρῶτον καὶ μέγαν ἀρχιερέα καὶ ὑψηλότερον τῶν οὐρανῶν ἀφομοιούμενοι, τὰ νῦν δὲ τοσούτῳ κοσμεῖ θειότερος ὅσῳ ἐκείνων μὲν ἕκαστος ἱερῷ βίῳ ἢ μοναδικῷ προέλαμψαν, εἶθ' οὕτως εἰς τὴν μεγίστην λυχνίαν ἐτέθησαν, αὐτὸς δὲ, ὦ τῆς κατὰ Χριστὸν ἱερωσύνης κεφάλαιον, ἀμφοτέροιν τοῖν βίοιν τοὺς κατὰ θάτερον λάμποντας ὑπερέλαμψας. Ναὶ, καὶ ἐπὶ μακρὸν πυρσεύοις τὰ καθ' ἡμᾶς.

4. Ἡ ἐκκλησιαστικὴ νῆσος ἡ Αἴγινα ἀνετέθη μὲν ἡμῖν πρὸ χρόνων τριῶν, καὶ ἐνεργήσαντες τὴν ταύτης δουλείαν ἐπὶ ἐνιαυτῷ ἑνὶ καὶ ἰδόντες τὴν ταύτης δυσχέρειαν εὐθὺς παρητησάμεθα. Ἐπεφορτίσθημεν δὲ πάλιν οὐκ οἶδ' ὅπως ταύτην καὶ οὐκ ἐθέλοντες καὶ ὅσον ἠδυνήθημεν ἐκεῖθεν ἀκρόστιχον ἀναλαβέσθαι διὰ μυρίων καινοτομιῶν καὶ δεξιώσεων ἀπεστείλαμεν, ἤγουν λίτρας ὑπερπύρων δύο. 5. Καὶ τοῦ λοιποῦ γενέσθω ἐπ' αὐτῇ οἰκονομία οἵαν κελεύει ἡ μεγάλη ἁγιωσύνη σου. Ἡμεῖς γὰρ οὐκέτι δυνάμεθα οὐδὲ ἄνθρωπον γοῦν ἀποστέλλειν ἐκεῖσε διὰ τὸ τοὺς πλείονας φυγάδας γενέσθαι σφαττομένους καὶ πάντα δὴ τρόπον κακουμένους, ὀλιγοστοὺς δέ τινας ἐναπομεῖναι, ὅσοι δῆλα δὴ ἐμίγησαν τοῖς πειρατικοῖς ἔθνεσι δι' ἐπιγαμιῶν καὶ ἔμαθον τὰ ἔργα αὐτῶν, καθὼς πλατύτερον περὶ τούτου ἐδηλώθη τῷ πανεντιμοτάτῳ μεγάλῳ οἰκονόμῳ. Ἵλεως εἴη μοι θεὸς διὰ τῶν ἁγιωτάτων εὐχῶν τῆς μεγάλης ἁγιωσύνης σου.

---

6. ‖ Κώδ. 70, ε.— 8. *ταῦτ.*— 20. *λίτρας* ᶜʸⁿ.— 25. *δηλαδὴ.*

Digitized by Google

μζ'. Τῷ Κοψηνῷ κῦρ Ἰωάννῃ.

www.libtool.com.cn

1. Τὴν ἐπισυμβᾶσάν σοι συμφορὰν ἤδη πυθόμενος, οὐκ ἔχω γράφειν, ἀνδρῶν ἄριστε, ὅσα δέδηγμαι τὴν ἐμαυτοῦ καρδίαν καὶ νῦν σχεδὸν οὐκ ἀδακρυτὶ τὴν ἐπιστολὴν ἐγχαράττω σοι, τοῦ φιλικοῦ νόμου συμπαθεῖν, μᾶλλον δὲ ταὐτοπαθεῖν ἀναπείθοντος. Φεῦ οἵῳ περιπέπτωκας πάθει ἀναγκαίῳ μὲν καὶ οὐκ ἀλλοτρίῳ τῆς ἀνθρωπίνης φύσεως, ἀλγεινοτάτῳ δὲ ὅμως καὶ οἵῳ μέσης ἅψασθαι τῆς καρδίας. 2. Τί γὰρ ἀλγεινότερον ἀνδρὶ τοῦ ἀπερρωγέναι θανάτῳ τῆς συνοικούσης, ἄλλως τε σώφρονος οὔσης καὶ ἀγαθῆς οἰκουροῦ καὶ γενναίων παίδων μητρὸς καὶ τὰ πάντα θυμηρεστάτης τῷ γήμαντι; Πῶς ἤνεγκας τοῦ συμφυοῦς οὕτω μέλους τὴν διχοτομίαν, πῶς οὐ τῇ ὁμοψύχῳ καὶ αὐτὸς συναπέψυξας, πῶς δὲ καὶ φέρεις εἰσέτι μονούμενος, μᾶλλον δὲ ἡμίνεκρος ὢν καὶ βιοτεύων ἡμίτομος; Πῶς ἕλκεις τὸ βιωτικὸν ἄχθος μόνος, τῆς ὁμοζύγου διαζευχθείς, ἀνὴρ οὐ πάντη τοῦ βίου τῇ τύρβῃ δεδωκὼς, οὐδὲ ταῖς ἀκάνθαις τῶν μεριμνῶν κατὰ πολὺ συμπνιγόμενος, ἀνανεύων δὲ καὶ πρὸς τὴν ὡς ἐξὸν ἀπράγμονα τοῦ λόγου σχολὴν καὶ συνάγων εἰς ἑαυτὸν δι' ἀναγνώσεως τὸν νοῦν καὶ οὐκ ἐῶν ἐς ἀεὶ ἀποπλανᾶσθαι πρὸς τὴν τῶν παρόντων πολυφρόντιδα ματαιότητα; Τοῦτο γάρ ἐστιν, ὡς οἶμαι, ὅπερ, καθ' ἑαυτὸ λυπηρὸν ὄν, τὸ πάθος πολλῷ σοι ποιεῖ λυπηρότερον.

3. Πλὴν εἰ καὶ ἀλγεῖν ἐπέσκηψέ σοι τοσοῦτον, ἀνάγκη φέρειν γενναίως καὶ λόγῳ κοιμίζειν τὸ ἀγριαῖνον τοῦ πάθους, πρῶτα μὲν λογιζόμενον ὡς ἀνθρώπινον τὸ συμβὰν καὶ ὡς οὐδέν σοι πλέον εὑρεῖν ἐξέσται ἐκ τοῦ μᾶλλον ἀλγεῖν, εἶτα τοῦ ἀποστολικοῦ κατὰ καιρὸν ἀναμιμνησκόμενον ῥητοῦ, παράγειν φιλοσοφοῦντος τὸ σχῆμα τοῦ κόσμου τούτου, ἵνα καὶ οἱ

μζ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 70,6 - 71,α.

1. *ἐπισυμβᾶσαν*. — 4. *ταυτοπαθεῖν*. — 9. *οὔσης. ἀγαθῆς*. — 22. *ἀλῖσεῖν*.

Digitized by Google

ἔχοντες γυναῖκας ὥσι, φησίν, ὡς μὴ ἔχοντες· ὁπότε καὶ πρὸ τῆς παραγωγῆς τοῦ παντὸς ἔχων οὐκ ἔχειν ἐδόκεις δήπουθεν, ὁρῶν ὡς ἀγχίνους ὅπως καὶ τὰ καρτερώτατα τῶν σωμάτων καὶ μονιμώτερα ἐκλείπει ποτὲ, ἡ δέ γε σελήνη καὶ συχνοτέραις ὑπόκειται ἀλλοιώσεσιν. Οὐ γὰρ μόνον ἐκλείπει, οὔτε τῷ κώνῳ τοῦ τῆς γῆς ἀποσκιάσματος ἐμπίπτει, ἀλλά γε καὶ καθ' ἑκάστην μηνὸς περίοδον ἀφαντοῦται καὶ θνήσκουσα οἷον ἁρπάζεται. Εἰ δὲ πάλιν τρόπον ἀναβιώσκει τινὰ, τί τοῦτο; Καὶ ἡμεῖς τὸ τῆς παλιγγενεσίας ἡμῶν προσδοκῶμεν μυστήριον.

4. Εἶχον ἐπισυνείρειν καὶ πλείω, ἀλλ' αἰδοῦμαι πρὸς ἄνδρα φιλοσοφοῦντα καὶ ἄλλους νουθετεῖν εἰδότα ποιεῖσθαι λόγους ὁποίους ἔδει λέγειν ἐπὶ παραμυθίᾳ πάθους ὁμοίου πρὸς τοὺς ἀγεύστους ἀληθῶς παιδεύσεως. 5. Οὐκοῦν τὴν ἐκ τοῦ λέγειν παραμυθίαν παρεὶς, ἔχεις ‖ γὰρ ταύτην παρὰ σαυτοῦ, εὐχῇ κατεπάδω τοῦ ἄλγους σου, εἴ περ μὴ φθάσας ὁ λογισμὸς καὶ τὴν ἡμετέραν εὐχὴν καὶ τὴν ἐκ τοῦ χρόνου εὐμάρειαν· χρόνος γάρ φησιν εὐμαρὴς θεός· τὴν ὀδύνην κατεγοήτευσε τῷ παρ' αὐτοῦ νηπενθεῖ φαρμάκῳ καὶ τοῦ κρατῆρος τῆς Λακαίνης πολλῷ κρείττονι. Ἄψαιτό σου τῆς ὀδυνωμένης καρδίας ὁ πάσης παρακλήσεως θεὸς, οὗ καὶ μόνη ἡ μνήμη οἶδεν εὐφραίνειν τὴν ἀπαναινομένην παρακληθῆναι ψυχὴν καὶ τὸ τῆς ἀθυμίας ἕλκος παρὰ χρῆμα φεύξαιτο, ὃ καὶ ἐπὶ τοῦ πολυτλήμονος Ἰὼβ διδασκόμεθα.

μη'. Τῷ αὐτῷ.

1. Τί ποτε, τὴν σιωπὴν ἀσπαζόμενος, ὦ θαυμάσιε, τὸ εὔγνωμον τῆς ἠχοῦς οὐκ ἐζήλωσας, οὐδ' ἀντίφθογγον φωνὴν

15. ‖ Κώδ. 71,α.— 19. *αὐτοῦ*.— 23. *παραχρῆμα*.

μη'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 71,α.

www.libtool.com.cn

Digitized by Google

ἀπέδωκας; Πότερον περισσοτέρᾳ κατεπόθης λύπῃ διὰ τὸ ἐπὶ τῇ γυναικὶ πάθος καὶ παρὰ τοῦτο ὅ τε λογισμός ἐπισκοτεῖταί σοι ἔτι καὶ τὸ τοῦ λόγου φῶς ἐπαχλύεται; Ἔτι μόνον δακρύεις, ἔτι μόνον θρηνεῖς καὶ νῦν μὲν ξυναυλίαν πενθεῖς, νῦν δὲ μονῳδεῖς; Ἢ τοῦτο μὲν οὐχί· οὐ γὰρ οὕτως ἀγεννὴς ὁ ἐμὸς Κοψηνὸς ἢ ἄλλως ἀμαθὴς τῶν τε θνητῶν καὶ ἀθανάτων πραγμάτων· τὸ γράμμα δὲ τυχὸν οὐκ ἀπέλαβες; Ἢ γὰρ ἄν, τὴν σιωπὴν αὐτῷ πάθει ἀποβαλόμενος, εἰς σεαυτὸν ἐπανῆκας καὶ τοῦ λέγειν καὶ γράφειν ἐγένου καὶ τὴν συμφορὰν, εἰ χρὴ οὕτω λέγειν, φιλοσοφίας καὶ μεγαλοψυχίας ὕλην ἐπεποιήκεις. 2. Τοιαῦτα ἐγὼ περὶ τῆς πεπαιδευμένης λογίζομαι ψυχῆς· ὅθεν οὐδὲ συχνὰ οὐδ' ἄλλως παρήγορα στέλλω τὰ γράμματα, ἵνα μὴ λάθωμεν τὸν μὴ κάμνοντα θεραπεύοντες καὶ πρὸς σοφὸν σοφιζόμενοι περισσὰ ἢ τὸν ἑστῶτα βεβαίως ὑποστηρίζοντες ἢ πυρσὸν ἀνάπτοντες τῷ μὴ ναυαγοῦντι νυκτὸς ἢ στάθμην ἰθύνοντες ἢ κανόνα ὑπορθοῦντες ἢ ἁλίζοντες ἅλας ἀμώραντον. 3. Οὐκ ἔστι γὰρ τῆς μωρανθείσης σοφίας μαθητὴς ὁ λόγιος Κοψηνὸς, ἵνα τὸ τῆς παλιγγενεσίας μυστήριον ἀγνοῇ καὶ ἄμετρα πενθῇ διὰ τοῦτο ὡς οἱ μὴ τῇ ἐλπίδι τῆς ἀναστάσεως παραμυθούμενοι. 4. Ὁποῖον καὶ τὸν Ἀθηναῖον Ἡρώδην ἀκούω, σοφιστὴν μὲν ἄκρον καὶ βασιλέα τῶν λόγων ἀκούοντα, οὕτω δὲ ἀσόφως καὶ δουλικῶς διατεθειμένον ἐπὶ τῷ θανάτῳ Ῥηγίλλης τῆς γυναικὸς, ὡς ὑπερπενθῆσαι μὲν ἀμέτρως, ὑπαλλάξαι δὲ καὶ τὸ σχῆμα τῆς οἰκίας, μελαίνοντα τοῦ οἴκου τὰ ἄνθη παραπετάσμασι καὶ χρώμασι καὶ λεσβίῳ λίθῳ, μέλανι σφόδρα καὶ κατηφεῖ· γενέσθαι δὲ μικροῦ καὶ ἄθυρμα σπουδαίων ἀνδρῶν καὶ οὐκ ἄκομψον ἀκοῦσαι σκῶμμα παρὰ φιλοσόφου ἀνδρὸς, ἰδόντος ἑτοιμαζομένας αὐτῷ ῥαφανίδας καὶ εἰπόντος ὡς ἀδικεῖ Ῥηγίλλαν Ἡρώδης λευκὰς ῥαφανίδας ἐν μέλασιν οἰκήμασι σιτούμενος. 5. Τοιοῦτοι οἱ παρ' Ἕλλησι σοφοὶ, γελοῖοι καὶ παρ' ἑαυτῶν κωμῳδούμενοι.

7. ἢ γὰρ. — 8. *εἰσεαυτὸν*. — 19. *διατοῦτο*.— 23. *ῥιγίλλης*.— 29. *ῥιγίλλαν*. — 30. *μελαίνη*.

www.libtool.com.cn

Digitized by Google

Ὧν διάφερε σύ· ἔξεστι γάρ· καὶ τοῖς παρὰ τῆς ἀνωτάτω προνοίας διοικουμένοις ἐφέπου θεοφιλῶς. Οὐ γὰρ ἐσμὲν τῆς αὐτοσοφίας σοφώτεροι καὶ ἐπὶ τοῖς συνοίσουσιν ἡμῖν βουλευτικώτεροι, οὐδ' ἀγαπῶμεν ἡμᾶς αὐτοὺς μᾶλλον τῆς αὐτοαγάπης. Ἧ καὶ γένοιτό σοι παρήγορος καὶ φῶς ὑπανάψαι σου τῇ ψυχῇ καὶ τὴν ἀχλὺν τῆς ἀθυμίας διασκεδάσαι. Οὐκ ἔχω γὰρ κρεῖττον τούτου ἀλεξιφάρμακον ἕτερον.

www.libtool.com.cn

μθ'. Τῷ ἐπὶ τοῦ κανικλείου κῦρ Δημητρίῳ τῷ Τορνίκῃ.

1. Φόβος δν ἐφρόντισά φησιν ἦλθέ μοι καὶ δν ἐδεδοίκειν συνήντησέ μοι. Εἰ γὰρ ἥλιον βλέπομεν καὶ σελήνην ἐκλείποντα ἢ βασκάνοις ἐπισκοτούμενα νέφεσι· φιλοσοφητέον γὰρ ἐν καιρῷ τὰ τοῦ γενναίου Ἰώβ· πῶς ἐξῆν περὶ τῆς ἀνθρωπίνης λαμπρότητος ὡς ἀναλλοιώτου καὶ ἀνεπισκοτήτου διανοεῖσθαι ; Οὔκουν οὔτε αὐτὸς, ὦ πανσεβάστη κεφαλὴ, τῶν οὐκ ἐς ἀεὶ ἑστηξομένων ὡς ἑστώτων ἀεὶ περιείχου. Πῶς δς καὶ ἐν εὐχῆς μέρει τὴν ἀπόθεσιν τούτων φθάνων ἐποιοῦ;

2. Οὔτε μὴν ἔγωγε βεβαίαν ἔσεσθαι τὴν πόνηρον εὐδαιμονίαν ἤλπιζον, τοῦτο μὲν ‖ παρὰ τῆς παροιμίας συλλογιζόμενος, ὡς εἰ τὸ πόρρω Διὸς καὶ κεραυνοῦ ἐστι πόρρω, τὸ ἔγγιστα Διὸς δῆλον ὅτι καὶ κεραυνοῦ ἐστιν ἔγγιστα· τίς δ' οὐ πέφρικεν ἐγγυτάτω ἑστὼς κεραυνίου πυρός; τοῦτο δὲ τὸ τοῦ φθόνου κακεντρεχὲς εἰδὼς καὶ ἐπηρεαστικὸν ἀεὶ τῶν καλῶν. Καὶ εἰ πρὸς τὸν ἔχοντα ἔν γέ τι τῶν καλῶν ἔρπειν φιλεῖ, πῶς, ἔλεγον, ἀφέξεσθαι μελλήσει τοῦ πᾶν ἀγαθὸν ἔχοντος, εὐσέβειαν, καλοκἀγαθίαν, σοφίαν, ἐπιστήμην θείων τε

1. *καὶ τῆς παρὰ.*— 5. *ὑπανάψοι.*— 6. *διασκεδάσοι.*

μθ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 71,α - 71,6.

8. *ἦλθε.* — 13. *αὐτὰ. πανσέβαστη.* — 17. ‖ Κώδ. 71,6. — 19. *φηλονότι.*— 24. *καλοκαγαθίαν.*

Digitized by Google

καὶ ἀνθρωπίνων πραγμάτων, καὶ ἐπὶ πᾶσιν ἄκραν ἐν βασιλείοις αὐλαῖς λαμπρότητα καὶ παρὰ μεγίστῳ βασιλεῖ εἰς τἀκριβὲς ἡρμοσμένην οἰκείωσιν; Οὐκ ἔστιν ὅπως οὐ τελχινῶδες ἐμβλέψει τῷ σωρῷ τῶν τηλικῶνδε καλῶν ὁ καὶ τοῖς ἀμυδροτέροις τῶν ἀγαθῶν ὀφθαλμοβολῶν ἔμπικρον. 3. Ταῦτ' ἐλογιζόμην καὶ ἐδεδοίκειν, τὰ δ' οὐκ εἰς μακρὰν ἔμελλεν ἔσεσθαι. Οὐ μὴν ἐπελθόν μοι τὸ προσδοκώμενον ἀπαθῶς ὑπέστην καὶ ἀταράχως, ἅτε προεκμελετήσας τῇ προσδοκίᾳ καὶ προφυλαξάμενος, ἀλλ' ἐπλήγην, πῶς εἴποις, καὶ ὤμωξα τὴν κοινὴν συμφοράν. Μικροῦ καὶ πρὸς τὴν τοῦ θείου Ἱερεμίου τόλμαν παρηνέχθην ὑπὸ τοῦ πάθους καὶ λογιστὴς ἤδη θείων κριμάτων ἐκαθήμην θρασὺς καὶ ἵνα τί ὁδὸς μὲν ἀσεβῶν εὐοδοῦται πρὸς τὸν θεὸν διηπόρουν καὶ ἐφύτευσας, ἔλεγον, αὐτοὺς καὶ ἐρριζώθησαν, ὁ δ' ἀγαθὸς θᾶττον ἢ κῆπος Ἀδώνιος ἔρρευσε. 4. Πῶς ὁ μὲν μακρότερα περιβλέπεται, ὁ δὲ ἢ διηνεκῶς ἐν σκότῳ που κρύπτεται ἢ μικρόν τι φανεὶς ἀπεκρύψατο, ὥςπερ διὰ τοῦτο φανεὶς ἵνα, γεύσας μόνον τῆς αὐτοῦ γλυκύτητος, ἀπέλθῃ παρὰ χρῆμα, καταλελοιπὼς τοὺς ταλαιπώρους ἀνθρώπους οὐ μᾶλλον χαίροντας οἷς τὴν ἀρχὴν ἐγεύσαντο τοῦ καλοῦ ἢ δακρύοντας καὶ ὀδυρομένους ὅτι μὴ πρὸς κόρον ἀπήλαυσαν. 5. Καὶ τί ἂν λέγοιμι πάντα τὰ τῆς τότε ζάλης τῶν λογισμῶν ἀποβλύσματα, ἕως τῷ κυβερνήτῃ λόγῳ φέρειν ὡς βούλεται τὰ καθ' ἡμᾶς ἐνδεδώκαμεν; Βούλεται δὲ πάντως ὡς οὐκ ἦν ἄλλως ἄμεινον, εἰ καὶ ἡμῖν ἐπιπολῆς βλέπουσιν οὐχ οὕτω δοκεῖ. Φυλάττοι θεὸς τὴν πανσέβαστον αὐθεντείαν σου ὑγιῆ, εὔθυμον, πολυχρόνιον.

---

3. *ἐμβλέψαι.* — 6. *ἐδεδοίκην.* — 17. *διατοῦτο. αὐτοῦ.* — 18. *παραχρῆμα. καταλελοιπὼς* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *καταλελοιπῶς.*

www.libtool.com.cn

Digitized by Google

ν'. Τῷ πρωτασηκρήτις κῦρ Δημητρίῳ τῷ Δρεμεζ.

www.libtool.com.cn

1. Οὐκ ἔμελλον οὐδὲ νῦν τὰ ἐπιστολιμαῖα ταῦτα προσφέγξασθαί σε, λαμπροτάτη μοι κεφαλή, εἰ μὴ πρὸς τοῦτο γράμμασιν ὁ ἐμὸς ἀδελφὸς παρεκάλεσε· τὴν δ' αἰτίαν, εἰ πυνθάνοιο, μάνθανε. Ἦκες ἐπὶ τὴν καθ' ἡμᾶς ταύτην ἐσχατιὰν ποτὲ ἔνθα φθόνος τε κότος τε καὶ ἄλλων ἔθνεα κηρῶν. Ἔγευσας εὐνομίας καὶ δικαιοπραγίας· εἶτα, μικρόν τι φανείς, ἀπεκρύψω. Πάλιν ἐνεχείριζέ σοι βασιλεὺς ὁ θειότατος τὴν Ἑλλάδα νόμοις ἰθύνειν καὶ βήμασι, σὺ δ' ἐφθόνησας ἡμῖν τῆς δευτέρας καθόδου καὶ τοῦ ἐς κόρον ἀπολαῦσαι τῆς σῆς θέμιδος, διψῶντας δικαιοσύνης καὶ θρόνου κατὰ νόμους δικάζοντος. 2. Ταύτης τῆς ἀδικίας μνησικακῶ σοι, τῷ ἀμέμπτῳ τὰ πάντα δικαστῇ, ὡςεὶ καὶ κυβερνήτῃ ἀγαθῷ κατοκνοῦντι νηὸς ναυαγούσης οἰάκων ἅψασθαι ἢ ἰατρῷ μὴ βουλομένῳ βοηθῆσαι νόσῳ κάμνουσιν ἢ στρατηγῷ δυναμένῳ ἐπικουρεῖν πολεμουμένοις καὶ οὐκ ἐπικουρήσαντι. Καὶ διὰ ταῦτα οὐδὲ γράμμασι προσεννέπειν ἠνειχόμην, ὡς ἂν μικροῦ καὶ μισούμενον. 3. Ἀλλ' ἐπὶ τούτοις οἶδα οἷα ἡ ἄμαχος ὑποφέρει γλῶττα, στρογγύλα μὲν καὶ ἐπίτροχα καὶ διὰ βραχέων τὰς αἰτίας ἐπιλυόμενα, τὴν ἐν μεγαλοπόλει ἔνθ' ἀνέφελος αἴθρα πέπταται ἄλυπον, λέγω, βιοτὴν καὶ πολιτείαν κερδαλεωτέραν, τὴν μετὰ γυναικὸς ἀγαθῆς καὶ παίδων ἡδίστων συνοίκησιν, καὶ ὡς οὐ μόνον τούτων ἔμελλες στέρεσθαι, τὴν ἀρχὴν τῆς Ἑλλάδος ἀναζωσάμενος δεύτερον, ἀλλὰ καὶ μυρίαις δυσχερείαις ἐμπίπτειν, ὁδοιπορίᾳ, φημί, μακρᾷ, τῇ ἐξ ὁδοιπορίας ταλαιπωρίᾳ καὶ κακοηθείᾳ ἀνδρῶν μοχθηρῶν καὶ τὴν αὐτονομίαν προβαλλομένων ὡς ἀπὸ τῶν ἀξόνων τοῦ Σόλωνος καὶ τὸ ἐπ' αὐτοῖς ‖ ἀνεύθυνον ἀεὶ καὶ ταῖς δικαστικαῖς

ν'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 71,6 - 72,α.

19. αἴθρα. — 27. ‖ Κώδ. 72,α.

Digitized by Google

ψήφοις ἀντινομοθετούντων καὶ ἀντικειμένων, ὡς ἀντικεῖσθαί φασι τῇ καταφάσει τὴν ἀπόφασιν οἱ φιλόσοφοι.

www.lbtool.com.cn

4. Πρὸς ταῦτα ὡς ῥητορικὸς μὲν οὐκ ἔχω τι τυχὸν ἀντεπάγειν, ὡς δ' ἐπίσκοπος πολλὰ λέγοιμ' ἄν. Ἀλλ' ἵνα τὰ πλείω παρῶ, οὐχ ἡμῖν αὐτοῖς μόνοις, ὦ μακάριε, ζῶμεν, οὐδὲ τὰ καθ' ἡδονὴν ἡμῖν αὐτοῖς καὶ ῥᾳστώνην νομοθετούμεθα πολιτεύεσθαι, ὅτι μηδὲ μέχρι τῶν ὁρωμένων πιστεύουσι Χριστιανοὶ τὰ καθ' ἑαυτοὺς ἵστασθαι, ἐφ' ἑτέραν δὲ πολιτείαν διὰ τῆς ἐνταῦθα μετασκευάζεσθαι. Ἀκούεις δὲ καὶ τῆς δεσποτικῆς, οἶμαι, παραβολῆς καὶ ὅπως ἑκάστῳ θεὸς διανέμει τάλαντον, οἷον ἐμοὶ μὲν ἐπισκοπικὸν πιστεύει χάρισμα, σοὶ δὲ δικαστικόν, ἄλλῳ χρήματα καὶ ἄλλῳ ἄλλο τι, καὶ τὴν ἐπεργασίαν τοῦ πιστευθέντος παρ' ἑκάστου κατὰ καιρὸν εἰςπράξεται. 5. Ὅ γοῦν ἐξέσται σοι τότε προβαλέσθαι, μὴ θελήσαντι ἐς τοσοῦτον πολλαπλασιάσαι τὸ δικαστικὸν χάρισμα, ὡς νόμοις καὶ δίκαις κοσμῆσαι Θετταλίαν τε καὶ Ἑλλάδα καὶ ὅση τοῦ Πέλοπος, ἀλλ' ἐν γωνίᾳ που μιᾷ τῶν τοῦ Βυζαντίου κατορύξαντι; Γυναῖκα καὶ παῖδας καὶ τὴν ἐπ' αὐτῶν ἐρραθυμημένην ζωὴν καὶ τὸ μὴ ἔξω τῶν τῆς πόλεως στοῶν ἐθέλειν βαδίσαι, μή που καὶ ψεκασθῇς; Οὐκ ἂν οἶμαι τοιοῦτον τολμήσας ἐρεῖς, πολλῷ δὲ μᾶλλον οὐδὲ πολίτευμα κερδαλεώτερον.

6. Ὦ μακαρίων ἐκείνων ἀνδρῶν. Οὐ γὰρ ὀνειδίζω τῆς ἐνδιαστρόφου θρησκείας, μακαρίζω δὲ ὅτι, καὶ τοιαῦτα θρησκεύοντες, ὅμως τοῦ καλοῦ καὶ τῆς ἀρετῆς ἀντεποιοῦντο προθύμως, οἳ καὶ θαλάσσης κατετόλμων καὶ μακρὰς ἀποδημίας ἐστέλλοντο, ἵνα τὸν ἀνθρώπινον βίον κοσμῆσαι σφίσιν ἐγγένηται. 7. Καὶ ὁ μὲν φόρους ταῖς νήσοις ἁρμόσας ὠνομάζετο Δίκαιος, ὁ δὲ νόμοις τὰς πόλεις ἐρρύθμιζεν, ὁ δέ τις ἐπὶ Σικελίαν ἀπέπλει, καὶ πολλάκις τὴν ὁλοὴν ἀνεμέτρησε Χάρυβδιν ὡς φιλοσοφίᾳ χαλάσῃ τυραννίδος ὠμότητα. Ποίαν

1. *ἀντικεῖσθαι φασί.* — 3. *τί.* — 12. *ἄλλό τι.* — 15. *πολυπλασιάσαι.* — 19. *ἔξω τῆς.*

Digitized by Google

Ἡρακλῆς ὁ γενναῖος οὐκ ἐπῆλθεν ἤπειρον, θηρία καὶ θηριώδεις ἀνθρώπους ἐξαφανίζων καὶ τὸν ἀνθρώπινον βίον ἀνακαθαίρων καὶ μετασκευάζων εἰς ἡμερότητα; Δι' ἃ καὶ εἰς θείαν λῆξιν ὑπὸ τῶν εὖ πεπονθότων παρενεγράφετο. 8. Ὑμεῖς δὲ, ὦ τρυφεροὶ τῆς Κωνσταντίνου πολῖται, οὐδὲ τοῦ τείχους καὶ τῶν πυλῶν προκύπτειν ἐθέλετε, οὐδὲ τὰς ἀστυγείτονας καὶ ἀγχιπύλους ἐπισκέπτεσθαι πόλεις ποτὲ, ἵνα τῆς παρ' ὑμῶν εὐνομίας ὄναιντο, μόνους δὲ φορολόγους καὶ θηρίων ὀδόντας κατὰ τὴν μωσαϊκὴν ἀπειλὴν στέλλετε ἄλλους ἐπ' ἄλλοις, καλαμωμένους τὰ τῶν πάλεων ἐγκαταλείμματα. 9. Αὐτοὶ δὲ μένετε κατὰ χώραν, ἡσυχίαν ἄγοντες, εἴ τις νόμων ἐπιστήμην πλουτεῖ, εἴ τις δικαστικὴν ἐπησκήσατο, εἴ τις δικαιοσύνην ἀσπάζεται ἢ καὶ ὑπὲρ τοῦ δικαίου τάχα καὶ τολμᾷ ἀποθανεῖν. Ἐξερημοῦσι δὲ τὰς πόλεις οἱ φθόροι καὶ λοιμοὶ πράκτορες. 10. Τίνος γὰρ καὶ σπανίζετε; Οὐ Μακεδονίας καὶ Θράκης καὶ Θετταλίας πυροφόροι πεδιάδες ὑμῖν γεωργοῦνται, οὐχ ὑμῖν ληνοβατεῖται οἶνος ὁ Εὐβοεὺς καὶ Πτελεατικὸς καὶ Χῖος καὶ Ῥόδιος, οὐ τὰς ἀμπεχόνας ὑμῖν ἱστουργοῦσι Θηβαῖοι καὶ Κορίνθιοι δάκτυλοι, οὐ χρημάτων πάντες ἐμοῦ ποταμοὶ ὡς ἐς μίαν θάλασσαν τὴν βασιλίδα πόλιν συρρέουσιν; Ὅτου γοῦν ἕνεκα εἰς ἀλλοδαπὴν βαδιεῖσθε καὶ τῶν συνήθων διατριβῶν τὰς ἀλλοτρίας ἀλλάξεσθε, ἐξὸν μηθ' ὕεσθαι μηθ' ἡλιοῦσθαι καὶ τῶν ἁπανταχῇ καλῶν οἴκοι καθημένους ἀπόνως ἀπολαύειν καὶ βίον ἀληλεσμένον καθηδυπαθεῖν; 11. Ἀλλὰ γὰρ πάλιν ἐκεῖνο προθυμοῦμαι φθέγξασθαι· ὡς οὐκ ἔδει μόνα τὰ ἑαυτῶν σκοπεῖν, ἀλλὰ καὶ τὰ τῶν ἄλλων, καὶ εἰ μὴ ὡς νόμοις θείοις πειθομένους, ἀλλ' οὖν, ὡς ἄνδρας σοφοὺς τὰ πολιτικὰ, τῆς ὁμηρικῆς μὲν ἀναμιμνήσκεσθαι στρουθοῦ, ἥπερ οὐκ ἀπέχρησεν εἰς ἀποφυγὴν τοῦ κακοῦ τὸ ἐλευθέραν τῷ τέως πέτεσθαι τῶν τέκνων κατεσθιομένων πρὸ

5. *πολῖται* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *πολίται*.— 18. *ἱστουργοῦσι*.— 22. *ἀλλάξασθε*.— 23. *οἶκοι*. — 24. *ἀληλεσμένου*. — 26. *καὶ τῶν*.— 30. *τωτέως*.

Digitized by Google

αὐτῆς, ἀνάγειν δὲ καὶ τοὺς λογισμοὺς πρὸς τὴν Ἴλιον καὶ τὰς περὶ αὐτὴν πόλεις, ὧν τὰ πάθη τὸ περὶ τὴν στρουθὸν τέρας σαφῶς ἐχρησμῴδησεν. 12. Ἢ οἴεσθε ὡς τῶν ὑπὸ ‖ τὴν βασιλίδα φθειρομένων πόλεων ἔξωθεν μὲν θαλασσίοις λῃσταῖς, ἔσω δὲ πολυτρόποις ἀδικίαις, ὑμεῖς ἀπαθεῖς καὶ διὰ τέλους εὐδαίμονες ἔσεσθε; Ἀλλ' οὐχ οἷόν τε δεξαμενὴν ὑποπίμπλασθαι καὶ ἀεὶ πλημμυρεῖν, ἐπισχεθέντων τῶν ἐς αὐτὴν εἰσβαλλόντων κρουνῶν.

13. Ἀλλ' ὑπερέβην μικροῦ τῶν ἐπιστολιμιαίων νόμων τοὺς ὅρους. Ὑπὸ γὰρ τῆς ἄγαν προθυμίας τοῦ ἐθέλειν προσομιλεῖν σοι τὴν γραφὴν παρεξέτεινα, μᾶλλον δὲ ἔλαθον ἐμαυτὸν ὡς ἐπιστέλλων ταῦτα προσδιαλέγομαι καὶ διὰ τοῦτο ὡς παρὼν συμπαρόντος πολλὴν ἀδολεσχίαν κατέχεα. Ἀλλὰ γένοιτό ποτε καὶ ἀληθῶς ὁμιλῆσαι καὶ τῆς ἐντεῦθεν γλυκυθυμίας ἀπολαῦσαι, διατηροῦντος τοῦ θεοῦ τὴν αὐθεντίαν σου ὑγιῆ, εὔθυμον, πολυχρόνιον.

να'. Τῷ ἐπὶ τοῦ κανικλείου κῦρ Δημητρίῳ τῷ Τορνίκῃ.

1. Φεῦ, φεῦ ἡλίκον ἤκουσα· ἐγὼ τοῦ σοφοῦ κανικλείου, τῆς θεσπεσίας ψυχῆς, τῆς θεοειδοῦς καὶ φίλης μοι κεφαλῆς ἐπιλέλησμαι; εἰ τοῦ τοιούτου, ἐμαυτοῦ ἢ καὶ θεοῦ λαθοίμην αὐτοῦ. Ἀλλὰ μὴ οὕτω με πρόςπαιζε, ὦ μακάριε. Παίζοντος γὰρ ἀτεχνῶς ταῦτα νομίζω, ὁποῖα οἱ φιλοῦντες παίζειν φιλοῦσιν, ὡς εἴ γε σπουδάζοντος εἶναί πως ἡγούμην, κἂν ἀπηξάμην, ἀθυμίᾳ παρενεχθείς. 2. Πῶς δ' ἂν καὶ τὴν σὴν σοφίαν διέφυγεν, ὡς ἡμεῖς οὐκ ἐσμὲν μοίρας ἐκείνης τῶν φίλων, οἳ

3. *οἴεσθε* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *οἴεσθαι*. ‖ Κώδ. 72,6. — 6. *olor.* — 7. *ἐπεισχεθέντων*. — 12. *διατοῦτο*. — 13. *γένοιτο ποτέ*.

να'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 72,α.

Digitized by Google

κατὰ τὴν τραγῳδίαν ἐκποδών εἰσιν ἀνδρὸς κακῶς πράσσοντος ; Ἅτε γὰρ οὐκ ἀνδρὸς ὄντες φίλοι, ἀλλὰ καὶ τῆς περὶ τὸν ἄνδρα εὐπραγίας, παρούσης μὲν ταύτης οὐκ ἀποστατοῦσιν, ἀποπτάσης δὲ παρὰ χρῆμα καὶ αὐτοὶ συναφίπτανται ὡς αἱ μυῖαι τοὺς γαυλοὺς οὓς τῷ τέως περιεβόμβουν οὐ προσποιοῦνται, ὅτε μηκέτι γλάγος ἄγγεα δεύει. 3. Ἡμεῖς δὲ οὐχ ἅμα τῷ καιρῷ προσεπέπτημεν, ἵνα καὶ παριόντι συναποπταίημεν, μονίμου δὲ πράγματος, τῆς σῆς ἀρετῆς καὶ σοφίας, ἐκ μειρακίων ἐρασθέντες, μόνιμοι μένομεν ἐρασταὶ καὶ μενοῦμεν δι' αἰῶνος βέβαιοι, καὶ οὐ μᾶλλον τῆς σῆς ψυχῆς ἀρετὴ καὶ σοφία οὐδέποτε διαστήσεται ἢ ἡμεῖς τῆς διὰ ταῦτα φιλικῆς διαθέσεως. 4. Οὐκ ἠγάπησα τὸν θεῖον Τορνίκιον πέρυσιν ὡς κανικλείου, ὡς σεβαστὸν, ὡς παρὰ τῷ βασιλεῖ μέγαν καὶ τὴν τῶν ῥωμαϊκῶν πραγμάτων ἀνεζωσμένον διοίκησιν, ἵνα σήμερον, ἀντικρούσαντός τι τοῦ καιροῦ, καὶ τὰ τῆς ἀγάπης τούτοις σαλευομένοις συνδονηθῇ. Ἀλλὰ πάλαι μὲν τῆς ἀρετῆς ἠγάσθην καὶ τῆς σοφίας ἐξεπεπλήγμην καὶ τῆς εὐσεβείας ἐθαύμασα καὶ τῇ διὰ πάντων τῶν καλῶν εὖ ἡρμοσμένῃ συνεδέθην ψυχῇ δεσμοῖς ἀρρήκτοις, ἀλύτοις καὶ οἷοι τοῦ πνεύματος. 5. Ἐπεὶ δὲ τοῖς τηλικούτοις κάλλεσι καὶ τὸ τῆς εὐημερίας γάνωμα προσεπέχρωσεν ὁ θεὸς, οὐκ ἐγενόμην μὲν διὰ ταῦτα ἐρωτικώτερος, ἔχαιρον μέν τοι καὶ συνεγαννύμην τῷ ἐρωμένῳ καὶ τῆς λαμπρότητος ἐκοινώνουν καὶ τοῦ καιροῦ προσαπήλαυον. 6. Πάλιν ἕτερόν τι μετεβουλεύσατο θεὸς καὶ ἡμεῖς πάλιν λύπῃ συνεχέθημεν καὶ ἐταλανίσαμεν τοὺς οὐκ ἐαθέντας ἀνθρώπους εὐεργετεῖσθαι μακρότερα· πλὴν τῇ Προνοίᾳ παρεχωρήσαμεν φέρειν τὰ καθ' ἡμᾶς ὡς ἄρα καὶ βούλεται, ἥτις οὐκ ἠνέσχετο, οἶμαι, τὴν θεσπεσίαν ψυχὴν γνησίῳ κόσμῳ λαμπρυνομένην περικεῖσθαι τὰ νόθα καὶ ἐψευσμένα ὅσα καὶ ῥάκος πορφύρᾳ προσυφασμένον καὶ τῷ διὰ ταῦτα φθόνῳ ἐπισκοτεῖσθαι ἢ ἄλλως ἐπιβουλεύεσθαι. 7. Ἀριστοτέλης γὰρ

1. *ἐκποδῶν εἰσιν.* — 4. *παραχρῆμα.*— 5. *τωτέως.*— 12. *πέρυσιν.*— 27. *παρεχωρήκαμεν.*

www.libtool.com.cn

Digitized by Google

www.libtool.com.cn

τὸν παρ' αὐτῷ εὐδαίμονα καὶ τοῖς ἐκτὸς καὶ ἀπὸ τύχης ἐπικοσμεῖ, οἷος ἐκεῖνος ἀνθρωπίνως δοξάζων τὰ πολλὰ καὶ οὐχ ὑπερκύπτων τῆς φύσεως· ὡς ἡμεῖς γε μικρὸν ἢ οὐδὲν προσποιούμεθα τὰ τοιαῦτα, ὡς καὶ τὸν θειότατον Ἰὼβ οὐχ οὕτως εὐδαιμονίζειν ἡνίκα ἦν ὑλώδης, κατ' ἐκεῖνον εἰπεῖν, ὡς ὅτε γυμνὸς ἁπάντων καὶ πονηροῖς ἕλκεσι βρύων ἐπὶ τοῦ κοπρῶνος ἐκάθητο. 8. Παρὰ τοσοῦτον γὰρ οὐκ ἐρρυπαίνετό οἱ τὸ μακάριον ἐντεῦθεν, ὡς ἀφιλοσόφως ἂν ὁ Σταγειρίτης ἐφιλοσόφησε, παρ' ὅσον τηνικαῦτα μᾶλλον ἐλαμπρύνετο καὶ ἐπ' αὐτὸν ὅ φασι τὸν βατῆρα τῆς εὐδαιμονίας ἐκουφίζετο, γεγονὼς θεοῦ μεγάλου ὀαριστὴς, ὅπερ οὐδέπω ‖ πρότερον· καὶ οὗπερ ἀκοῇ ὠτὸς ἐπὶ τῆς εὐημερίας ἤκουε, τοῦτον ἐπὶ τῆς τότε δυσημερίας ὀφθαλμοῖς ἑωρακὼς καὶ ἀναγορευθεὶς παρ' αὐτοῦ δίκαιος.

9. Πῶς οὖν, οὕτω φιλοῦντες καὶ τοιαῦτα περὶ τοῦ εὖ πράττειν ἢ μὴ δοξάζοντες, ἐμέλλομεν ἐπιλαθέσθαι τῆς θειοτάτης ψυχῆς; Οὐ μὲν οὖν οὐδὲ ἐλαθόμεθα· εἰς δέλτον δὲ φρενὸς μνήμονα ἐγκεκολαμμένην ἀεὶ τὴν σὴν φέρομεν μνήμην καὶ ἐν μέσῳ κόλπῳ ψυχῆς τοὺς σοὺς κατὰ θεὸν θάλπομεν ἔρωτας. 10. Εἰ δ' οὐ στέλλομεν ἄλλα ἐπ' ἄλλοις γράμματα, οὐ λήθης τοῦτο τεκμήριον, ἀλλ' ἴσως ὀλιγωρίας ἢ τοῦ μὴ τυγχάνειν ἀξιολόγου σχολῆς ἢ πιστοῦ γραμματοκομιστοῦ καὶ ἑτέρων τοιούτων, ὅσα συγγνώμης ἀξιώσει τις ἐπιεικὴς δικαστὴς φιλίας αἰτιωμένης. 11. Τούτων, εἴπερ τι βούλοιο, αἰτιῶ καὶ τὰς δίκας ὑποσχεῖν ἡμεῖς ἕτοιμοι. Ἐκεῖνο δὲ τὸ ἐπιλαθέσθαι τὸν Ἀθηνῶν τῆς κατὰ σὲ φιλίας μὴ εἰς νοῦν ποτε βάλοιο, ἵνα μὴ τὸν ἐμόν τε καὶ σὸν παροξυνεῖς φιλάνθρωπον θεὸν, ὃς διατηροίη τὴν πανσέβαστόν σου κεφαλὴν ὑγιῆ, εὔθυμον, μακροχρόνιον.

---

1. *καὶ τοῖς ἐκ τοῦ πρῶτον γραφέντος τῆς. ἐπικοσμεῖτω.*—7. *παρὰ - ἐφιλοσόφησε* προστεθειμένα ἐν τῇ ὥᾳ.— 9. *παρόσον.* — 11. *ὰριστὴς.* ‖ Κώδ. 73, α.— 17. *οὔμενοῦν.*— 23. *τίς.*— 24. *εἴπέρ.* — 26. *ποτὲ.*

Digitized by Google

νϐ'. Τῷ Πετρέδῃ κῦρ Βασιλείῳ, τῷ λογαριαστῇ τοῦ πραίτωρος.

1. Ἡδὺ τὸ φθέγμα τἄλλά τε καὶ ὡς ἀκριβῶς ἑλλήνιον καὶ σπανιώτατον ἔμοιγε, καὶ ταῦτα μέσην οἰκοῦντι ἢ παροικοῦντι Ἑλλάδα, τὸ καινότατον. Ὁ γὰρ νῦν ἀττικιστὴς βαρβαριστής ἐστιν ἀτεχνῶς, φιλουμένη μοι κεφαλή. 2. Καὶ τοῦ λόγου τεκμήριον, αὐτὸν ἰδοῦ με κἀνάθρησον, ὃς πρὶν ἢ μὲν τὰς σοφὰς Ἀθήνας λαχεῖν εἶχον ὁσονοῦν τι γλώττης εὐγενῶς, εἶτ' οὖν ἀττικῶς· νῦν δὲ, βεβαρβάρωμαι γὰρ χρόνιος ὢν ἐν Ἑλλάδι, ὅρα ὅπως σοι διαλέγομαι, εἴ γε τέως ὅλως συνετά σοι φθέγγομαι, ἀλλὰ μὴ ψελλίζομαι, οὐ λέγω παιδικῶς, κατὰ δὲ τὴν ἀττικὴν παρθένον ἐκείνην ἧς τὴν γλῶτταν ὁ Τηρεὺς ἀπετέμετο. Ὡς γὰρ ἐκείνην ὁ βάρβαρος Θρᾳξ, οὕτω κἀμὲ ἡ κατορχουμένη τῆς Ἀττικῆς ἀμουσία τέθεικεν ἄγλωττον. 3. Πλὴν εἰ καὶ οὕτως ἔχομεν γλώττης ἐξ οὗ δῆτα τῶν οἰκείων ἐκτοπισθέντες ἐθῶν ἐπὶ τὴν κατωτάτην ταύτην ἐξεκυλίσθημεν ἐσχατιὰν, ἀλλά γε τῆς συνήθους καὶ λογίου φωνῆς εὐαισθήτως ἔχομεν. Ἅμα γοῦν τὸ σὸν ἤκουσα ὡς εὐμαθὲς φώνημα, καὶ παρὰ χρῆμα ξυνήρπασα φρενί. Ἐτέρφθην οὖν χρόνῳ ποτὲ φιλτάτης φωνῆς αἰσθανόμενος, εἰ καὶ ἄλλως συνέχεε, τοῦ προτέρου με βίου ἀναμνήσασα. Ἀλλὰ περὶ τούτων οὐκ ἐς μακρὰν, θεοῦ διδόντος ζωὴν, ἐντευξόμεθα.

νϐ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 73,α.

Τίτλος. *πραίτορος.*— 1. *τἄλλα τὲ.*— 5. *πριν ἢ.*— 17. *παραχρῆμα.*

Digitized by Google

νγ'. Τῷ μεγάλῳ λογοθέτῃ τῷ Βελισσαριώτῃ.

www.libtool.com.cn

1. «Τοῦ σοφοῦ φησιν αἱ ὀφθαλμοὶ ἐν τῇ κεφαλῇ αὐτοῦ» ἔνθα καὶ τοὺς σοὺς εἴ περ τινὸς ἐπιδρυμένους πάλαι μὲν ἤδειν, ὦ πανσέβαστε κορυφὴ, ὅτι δὲ καὶ γνώμας ἐπὶ τοσοῦτον διεστηκότων ἀνδρῶν κατοπτεύουσιν ὡς ἐξ οὐρανοῦ διακύπτοντες, ἔναγχος ἔγνων, διὰ τῶν σῶν γραμμάτων μαθών. Οἷς γὰρ αὐτὸς συμπολιτευόμενος ἤδη χρόνον μακρὸν ἠγνόουν ὁπαίοις σύνειμι, τούτους τὸ σὸν διορατικὸν διὰ τοσοῦδε προὔφαινε καὶ, τὸ θειότατον, ὅπως καὶ εἰςέπειτα διατεθήσονται προηγόρευσεν. 2. Ἆρα γὰρ κατεδυσώπησε τοὺς ἀτεράμονας ἡ ὑμετέρα ‖ ἐπιείκεια, δι' ἣν τοὺς ἀπολυθέντας ὁρισμοὺς οὐκ ἐνεχειρίσατε τῷ τὰ κεκελευσμένα διαπραττομένῳ, ἀλλ' εἰς τὰς ἡμετέρας χεῖρας διεπέμψατε, ἢ τὸ δεξαμένους ἡμᾶς ἐπικρύψασθαι τὴν ἀπόνοιαν τῶν ἀνδρῶν ἐνέτρεψεν; Οὐ μὰ τὸν ἀνεξίκακον καὶ μακρόθυμον ἔλεον τοῦ θεοῦ, ἀλλ' οὕτως διετέθησαν, ὡς τὸ σὸν γράμμα προήγγειλεν. Ἵλεως τοῖς ἀνθρώποις γένοιτο Κύριος. 3. Τά γε μὴν ἡμέτερα οἶδας μὲν καὶ ταῦτα· τί γὰρ τὸ σὸν ὀπτικὸν διαφεύγει, ἀφ' οὗτω μετεώρου περιωπῆς περιαθροῦν τὰ πάντα; πλὴν παραδηλοῦμεν ἐν βραχεῖ καὶ ἡμεῖς. Οὔτε πρώην ὑπερεθιζόμενος παρά τε τοῦ Κομνηνοῦ καὶ τῆς ἀπονοίας τῶν ἀνδρῶν ἐξέστην τῶν λογισμῶν, οἷς ἐμμένειν ἅπαξ ἐδοκίμασα, καὶ τὰς αἰτίας μαθήσῃ τῷ πρὸς τὸν πανσέβαστον λογοθέτην τοῦ δρόμου ἡμετέρῳ γράμματι ἐντυχών, οὔτε νῦν ἐξίσταμαι, εὔχομαι δὲ μηδ' εἰς ἔπειτα ἐκστῆναί ποτε, ἀλλὰ φέρειν εἰς τέλος, ἐνισχυόμενος ἄνωθεν. 4. Τρισκαιδέκατον ἐνιαυτὸν ἤδη ἀνύω παροικῶν ἐν Ἀθήναις καὶ πόσον ἔτι παροικήσω τοῦ λοιποῦ; Αἰσχύνομαι ἐμαυ-

νγ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 83,6 - 84,α.

2. *εἴπερ τινὸς.* — 10. ‖ Κώδ. 84,α. — 11. *κελευσμένα.* — 23. *μηδ' εἰσέπειτα ἐκστῆναι ποτὲ.*

Digitized by Google

τὸν, εἰ μὴ γενναιότερον ἀντέχομαι καὶ ἀπτόητος ἴσταμαι πρὸς ἅπερ πάλαι ἐγυμναζόμην μελέτῃ μακρᾷ. Φοβεῖ δέ με καὶ θεὸς λέγων ἐμοὶ «ἐκδίκησιν ἐγὼ ἀνταποδώσω.» 5. Αὐτὸς τοίνυν ἢ τὰς καρδίας καὶ τουτωνὶ τῶν ἀδελφῶν εἰς σαρκίνας μεταβαλεῖ, δύναται γὰρ, ἢ καὶ φαρμάκοις ἀποτομωτέροις χρήσεται καὶ ἡμῶν σιωπώντων, καὶ ἑνί γέ τῳ τρόπῳ ἰάσεται. Εἰ δὲ μηδέτερον βούλεται, εἰς ἐμὴν ἄρα μετρίαν ἔκτισιν ὧν ἥμαρτον ἡ φατρία αὕτη συνέστραπται καὶ ἔσται μοι Σατὰν ὡς Ἄδερ τῷ Σολομῶντι πάσας τὰς ἡμέρας τῆς ζωῆς μου. «Οὐκοῦν φησιν ὀργὴν Κυρίου ὑποίσω ὅτι ἡμάρτηκα αὐτῷ» ἀπόχρη δέ μοι ἡ παρ' ὑμῶν παραμυθία πραττόντων εὖ διὰ τῆς χάριτος τοῦ Χριστοῦ, φυλάττοντος ὑμᾶς πολυχρονίους καὶ παρὰ θεῷ καὶ ἀνθρώποις εὐδοκιμοῦντας.

6. Τῇ μονῇ τῶν Ἁγίων Ὁμολογητῶν ἐχαρίσασθε ἀτέλειαν διὰ τὸν μακαρίτην κῦρ Θεοφύλακτον. Καὶ νῦν δὲ, τοῦ ἡγουμένου ἀνελθόντος, εἴ τι ἄλλο δυνηθῆτε φιλοτιμήσασθαι, φθόνος οὐδείς. Μόνον μὴ γένηταί τι ἐπὶ παραγραφῇ ὧν ἔχει ἐπ' αὐτῇ δικαίων ἡ ἐκκλησία. Τοῦτο γὰρ οὔτε ὠφελήσει τὴν ἐκείνου ψυχὴν καὶ τὰς ὑμετέρας προσβλάψει καὶ οὐδὲ στερκτὸν ἄλλως ἐσεῖται, κανόσιν ἐναντιούμενον. 7. Τὸν Ὠρωπὸν, ἐπεὶ ὠδηγήθητε παρὰ τῆς θεομήτορος ἀνατεθῆναι τῇ ἐκκλησίᾳ, παρακαλῶ στηριχθῆναι βεβαιότερον· ἕξει γὰρ ἡ ἐκκλησία συγκρότησίν τινα ἐπὶ ταῖς ἀμέτροις δουλείαις αὐτῆς ἀπὸ τοῦ προαστείου τούτου, μηδενὸς ἀδικουμένου καὶ οἱ περίλοιποι χωρῖται σωθήσονται, ὡς τό γε ἀφαιρεθῆναι πάλιν καὶ δοθῆναι ἀνθρώπῳ τὸ ἀνατεθὲν θεῷ σὺν τῷ οὐκ εὐσεβὲς εἶναι [ἐστὶ] καὶ καταγέλαστον καὶ παρὰ τῶν κατωτικῶν εἰς ἡμετέραν κωμῳδίαν κείσεται, παρ' οἷς καὶ τὰ ἐπαινετὰ καταμωκῶνται, μή τοι γε τὰ τοιαῦτα. Ὁποίαν δὲ χρὴ γενέσθαι τὴν ἐπιστήριξιν, δεδώκαμεν εἰδησιν τῷ περιποθήτῳ μοι γαμβρῷ σου.

---

1. *ἀπλότητος*. Ὁ μὴ ἀρεσκόμενος εἰς τὴν ἐν τῷ κειμένῳ διόρθωσίν μου *ἀπτόητος*, δύναται ἴσως νὰ γράψῃ καὶ *ἀπλότητος*.— 3. *ἐκδίκησις*. — 9. *σατὰρ* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *σατᾶρ*.—17. *περιγραφῆ*. — 22. *συγκρότησιν τινὰ*.— 25. *χωρῖται*.— 27. *ἐστὶ* λείπει.

Digitized by Google

νδ'. Τῷ Ματζούκῃ κῦρ Θεοδοσίῳ.

www.libtool.com.cn

1. Ἅπερ πάσχουσι ζωγρούμενα τὰ πτηνά, τοῦτο κἀμὲ πάσχοντα ἴδοι τις ἀτεχνῶς. Ἐκεῖνά τε γὰρ δεδεμένα μηρίνθῳ τῷ πόδε τοσαυτάκις κατασπῶνται πρὸς τοῦ δεσμοῦ καθελκόμενα, ὁσάκις ἂν πειρῷτο ἀνίπτασθαι πρὸς τὰ πάτρια· καὶ αὐτὸς δὲ ἅπαξ ἁλοὺς καὶ δεῦρο δεθεὶς, ποθῶ μὲν τὴν λύσιν καὶ ὥςπερ ἀναπτεροῦμαι πρὸς τὴν καθ' ὑμᾶς τοὺς μακαρίους ἄνεσιν, μάτην δὲ ὄντως πτερυγίζων καθέλκομαι, ὑπ' ἄλλοτε ἄλλου δεσμοῦ τυραννούμενος. Ὥςπερ ἄρα καὶ ἔναγχος, παρασκευαζομένῳ πρὸς τὴν ἄνοδον, αἴφνης προςπεσοῦσα χαλεπὴ νόσος κατήραξεν εἰς κλινίδιον καὶ μόνον οὐκ ἐνεβριμήσατο τραγικώτερον «μένε, ταλαίπωρε, ἀτρέμας σοῖς ἐν δεμνίοις.»

2. Ἔπτηξα τοίνυν καὶ μένω νῦν ἐπὶ χώρας ταλαιπώρως ἔχων. Δυςχεραίνω μέν τοι τὰ δεσμὰ καὶ μηκέτι καθεκτῶς ἔχων σοφίζομαι τὴν σύνοδον γράμμασιν εἰκῆ στελλομένοις καὶ οὐ κατά τινα αἰτίαν ὧν χάριν ὡς τὰ πολλὰ ἐπιστέλλομεν, δι' αὐτὸ δὲ μόνον τὸ δοκεῖν συνεῖναί πως ὑμῖν καὶ τὴν ἐκ τῆς ‖ μακρᾶς ἀποδημίας ὁμιλίαν ἀφοσιοῦσθαι ἢ μᾶλλον ὡς ἐξὸν ἐμφορεῖσθαι καὶ ἐς ὅσον τὸ βούλεσθαι διορίζεται.

3. Ἀλλ' ἕως πότε τοῖς τῶν ἰνδαλμάτων σοφίσμασι παραλογίσομαι τὸ λυποῦν, ὦ τοῦ παντὸς ἀξία μοι κεφαλή; Ἕως τίνος ὀνειρώξω τὰ πάλαι ποθούμενα, εἴπερ εἰσὶν ἀληθῶς αἱ ἐλπίδες ἐγρηγορότων ἐνύπνια; Ἴτω ποτὲ καὶ ἡ τῶν πραγμάτων ἐνέργεια συλλαβέσθαι μοι τῶν προςευχῶν τῷ θεῷ, καὶ ἀλλήλοις ἐγγίζοντες καὶ πρὸς ὑμᾶς ἱέμενον ἐφελκύσασθε, τὴν ἄνωθεν ῥοπὴν ἐπικαλούμενοι ἡμῖν, τοὺς ἐπέχοντας δεσμοὺς

νδ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 84,α - 84,β.

2. *ἐκεῖνα τὲ.* — 10. *κατήρραξεν.* — 17. ‖ Κώδ. 84,β. — 21. *εἴπέρ εἰσιν.* — 22. ἡ λείπει.

Digitized by Google

διαρρήξουσαν, ὡς ἀλλήλους ὀψόμεθα καὶ παρ' ἀλλήλων ὀφθῶμεν πρὶν ἢ μακρότερον διασταίημεν.

www.ibtool.com.cn

νε'. Τῷ καθηγουμένῳ τῆς μονῆς τοῦ Στουδίου κῦρ Λουκιανῷ.

1. Δεινὸς ὁ τῶν ἐρώντων καὶ ἐρωμένων πόθος, καὶ μᾶλλον ὁ τοῦ ψυχικοῦ κάλλους καὶ κατὰ θεὸν ἐκκρεμάμενος. Οὐ γὰρ τοῖς ἀδυνάτοις ἐπιχειρεῖν τολμᾷ μόνον, ἀλλὰ καὶ πρὸς τἀναντία μετακυδεύεται. Δεῖγμα τοῦ λεγομένου τὸ καθ' ἡμᾶς πάθος, πανοσιωτάτη μοι κεφαλή. Ἠράσθημεν ἀλλήλων πάλαι κατὰ Χριστὸν καὶ ὁ ἔρως οὐκ ἀβέβαιος καὶ πτηνός, ὁποίους τοὺς ἀνθρωπικοὺς μανθάνομεν, παραμόνιμος δὲ ἐστὼς, εἰ καὶ οὕτος ἄλλως ἐπτέρωται, ὡς ἐκ τῶν Ἀσμάτων διδασκόμεθα. «Περίπτερα γάρ φησιν αὐτοῦ φλόγες πυρός.» 2. Ἀλλ', ἕως μὲν διετρίβομεν κατὰ τὴν μεγάλην πόλιν, ἑκάτεροι εἴχομεν ἀλλήλους ἐν ὄψει καὶ οὕτως ἐμετροῦμεν τῷ συνεῖναι τὸν ἔρωτα. Ἐπεὶ δὲ καὶ διέστημεν, μᾶλλον διὰ τὴν ἀπόστασιν ἀνεφλέχθημεν, ἔνθα καὶ, μὴ φέροντες πλέον τῇ διαστάσει κάεσθαι, ἐπειρώμεθα μὲν αὖθις συνιέναι, σοῦ δῆλον ὅτι στειλαμένου δεῦρο καὶ τὸ αὐτὸ δεξαμένου λειτούργημα, οὐκ ἐδόκει δὲ, ὡς ἔοικε, ταῦτα καὶ τῷ θεῷ. Ταύτῃ τοι καὶ διέπεσε καὶ οὔθ' ὁ τῆς Εὐβοίας Εὔριπος παρασύρας εὐτύχησέ σε ποιμένα, οὔθ' ἡμεῖς πρόσοικον καὶ συνέκδημον. Οὕτως ἀδυνάτοις ἐπιβάλλειν ἐδόξαμεν. 3. Ἀλλ' ὅρα μοι καὶ τὸ τῆς ἀμπώτιδος παλιρρόθιον καὶ ὅπως ἄλλος μέ τις Εὔριπος ἐπιθυμίας εἰς ἀντίρρουν ὑπήνεγκεν. Ἀπογνοὺς γὰρ τῆς σῆς δεῦρο καθόδου, ποθῶ αὐτὸς ἐνθένδε πρὸς ὑμᾶς ἀναλῦσαι, καὶ εἰ μὴ παλαμναία τις

1. *διαρρήσσουσαν. παραλλήλων.* — 2. *πρινὴ.*

νε'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 84,6.

Τίτλος. *στουδείου.*— 16. *δηλονότι.*— 24. *ἐνθάδε. παλαμναία.*

Digitized by Google

νόσος προσπεσοῦσα κατήραξε καὶ τῇ κλίνῃ προσήλωσε, κἂν τὸν ἐπιόντα χειμέριον καιρὸν συνδιῆγον ὑμῖν καὶ εἶχον ἂν πάντως ἐναρίζειν ἄλλως ἐν μέσῳ χειμῶνι, τὰς ὑμετέρας δρεπόμενος χάριτας. 4. Ἀλλὰ τὸ βαρύτατον φορτίον καὶ δύσοιστον ἐφόδιον, αἱ πολλαὶ ἁμαρτίαι, κἀνταῦθα προσίστανταί μοι, καί με προθυμούμενον ἀνιέναι πρὸς ὑμᾶς ἀντιπεριάγουσι καὶ πρὸς τὴν κατωτάτην ταύτην κατακυλινδοῦσιν ἐσχατιάν. 5. Ὄρεξον οὖν μοι ὅσα καὶ χεῖρας μεγαλοδυνάμους τὰς σὰς προσευχὰς, καὶ συνεκκουφίσας δι' αὐτῶν εὐζωνότερά μοι τὰ τῆς ὁδοιπορίας παρασκεύασον. Πιστεύω γὰρ ὡς αὗται καὶ εἰς στῦλον πυρὸς καὶ νεφέλην σχεδιασθήσονταί μοι καὶ προηγήσονται ἀπ' Αἰγύπτου ταύτης ἀνιόντος ἐπὶ τὴν καθ' ὑμᾶς ἐπιθυμητὴν καὶ ἁγίαν γῆν. Ἰδόντα με τοὺς ποθουμένους ὑμᾶς καὶ λίποι αἰών.

νς'. Τῷ Κοψηνῷ κῦρ Ἰωάννῃ.

1. Πολυτλήμων ἡ παροῦσα τῶν ἀνθρώπων ζωὴ καὶ τἆλλα μὲν, μάλιστα δὲ οἷς ἀποπέπτωκε τὰ πολλὰ τοῦ τῆς ἀγάπης καλοῦ. Σκεδαστὴ γὰρ οὖσα καὶ διαστατὴ οὐχ οἵα τίς ἐστιν ἀπολαύειν τοῦ τῆς φιλίας ἀξιολογωτάτου ζωπύρου, τοῦ συνεῖναι τοὺς ἀγαπωμένους ἀλλήλοις καὶ συνδιημερεύειν, φημὶ, ὡς καὶ κινδυνεύειν ἐντεῦθεν ἐνίοτε, εἴ περ κατὰ τὴν παροιμίαν πολλῶν ἀπροσηγορία φιλίας ἔλυσε. 2. Ταῦτ' εἰδὼς καὶ αὐτὸς, ὦ θαυμάσιε, ὡς ἐπιστήμων καὶ σοφὸς καὶ φιλίας ἀστραβὴς κίων, κατὰ τὸν σὸν Πίνδαρον, γραμμάτων ἐναύσμασιν ἐμπυρεύεις τὸ φίλιον, οἰόμενος, οἶμαι, ὡς οὐκ ἀπόχρη μόνον εἰς ἀγάπης συντήρησιν τὸ ἀστυγείτονας εἶναι καὶ ἐν

1. *κατήρραξε. προσήλωσε* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *προσήλωσαι.*— 11. *νεφέλης.*

νς'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 84,6 - 85,6.

21. *ἀπροσηγορία* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *ἀπροσηγόριαν.*

www.libtool.com.cn

Digitized by Google

ταὐτῷ συνιέναι ἔσθ' ὅτε τοῦ ἐνιαυτοῦ, εἰ μὴ καὶ ταῖς διὰ γραμμάτων ὁμιλίαις συναπτοίμεθα. Ἢ τοῦτο μὲν οὐχί· ἀνθρωπίνης γὰρ φιλίας ταυτί· ἡ δέ γε τῶν κατὰ Χριστὸν φιλούντων, κἂν ὁ μὲν ἐν Ἰνδοῖς, ὁ δ' ἐν Γαδείροις διῴκισται, κατὰ πνεῦμα συνάπτει καὶ ‖ νοερῶς καὶ ἀλύτως ἀρρήκτως ξυνδέδεται. 3. Οὔκουν ὡς ἐμπυρεύματα μαραινομένης φιλίας ἢ λυομένης συνδέσμους ἢ φυλακὴν ἱσταμένης προβάλλῃ τὰ γράμματα, ἀλλ', ἵν' ἐκ τοῦ ἐμοῦ πάθους καταμαντεύσωμαι καὶ τοῦ σοῦ, ἀκαμάτῳ τῆς ἀγάπης πυρὶ θαλπόμενος, ἐθέλεις μὲν ἀναψύχειν τὸ ποθοῦν αὐτοπροσώποις καὶ ἀδιαστάτοις ἐντεύξεσιν, ἐπεὶ δὲ τοῦτο οὐ κεχώρηκεν, ὡς ἐλέγομεν, ἡ νῦν ζωὴ ὡς κεφάλαιον τῆς μελλούσης μακαριότητος, σοφίζῃ παραμύθιον τοῦ πάθους τὰ γράμματα καὶ ἀγαπᾷς κατὰ τοὺς δυσέρωτας τὰ ἐνδάλματα. Μή τοι δὲ ἄρα παρὰ τοῦτο καὶ τὰ κατηχητικὰ προσφωνήματα ζητεῖς, ὡς ἄλλος τις μυθικὸς ἐραστὴς τὰ τῆς Ἠχοῦς ἐδίωκεν ἀπηχήματα, ἵν' ἀπολαύῃς τῶν παιδικῶν τῆς ἡμετέρας φωνῆς; 4. Ἀλλὰ σὺ τοιοῦτος ὢν, ὦ μακάριε, φυλάττοιο μὲν ἡμῖν ἐν ἀβεβαίῳ καὶ φιλαπεχθήμονι βίῳ ἀμετάπτωτος φίλος καὶ βεβηκώς, φυλάττοιο δὲ καὶ τοῖς ἄλλοις τύπος ἀρετῆς σαφὴς καὶ καλοῦ παντὸς ἀκριβὲς ἀρχέτυπον, ὡς καὶ διπλοῦς μισθοὺς ἀποφέροιο, τὸν μὲν ὡς αὐτουργὸς ὢν αὐτὸς ἀγαθοῦ, τὸν δὲ καὶ ὡς ἑτέρους εἰς ταὐτὸ παρακαλῶν ἐν τῷ καθ' ἑαυτὸν ὑποδείγματι.

νζ'. Τῷ λογοθέτῃ τοῦ δρόμου κῦρ Δημητρίῳ τῷ Τορνίκῃ.

1. «Αἰεὶ παῖδες οἱ Ἕλληνες», τοῦτο δὴ τὸ τοῦ Σόλωνος εἴτε τοῦ Αἰγυπτίου σοφοῦ πρὸς τὸν Σόλωνα ὥς που Πλάτων,

1. *ἐνταυτῶ*. — 5. ‖ Κώδ. 85,α. — 11. *οὐκ ἐχώρηκεν*. — 14. *μήτι δὲ ἄρα*. — 15. *ἄλλος*.— 21. *διπλοὺς*.— 22. *δὲ*'.— 23. *ταυτὸ*.

νζ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 85,α - 85,β.

www.libtool.com.cn

Digitized by Google

τιμαιογραφῶν, οἶμαι, ἱστόρηκεν. Ἀλλ' Ἕλληνες μὲν οἱ πάλαι παῖδες ἀεὶ παρὰ τῷ Αἰγυπτίῳ σοφῷ ὡς φιλόμυθοι ἀεὶ παιδικὸν γὰρ φιλοσόφημα μῦθος· καὶ μηδέποτε ἀληθείας ἀνδρῶδες ἀσπαζόμενοι μάθημα. Οἱ δὲ καθ' ἡμᾶς οὗτοι λέγοιντ' ἂν εἰκότως παῖδες ἀεὶ ὡς παιδιώδεις καὶ φιλοπαίγμονες. 2. Παίγνια γὰρ ἐγὼ λέγω καὶ ὅσα καθ' ἑαυτῶν μᾶλλον ἢ ἄλλων σπουδάζουσιν, εἰ καὶ μηδὲν ἀπεοικότες τῶν παρὰ τῷ Ἀποστόλῳ γυναικαρίων τῶν ἀγομένων ἐπιθυμίαις καὶ ἡδοναῖς ποικίλαις. Πάντοτε γὰρ καὶ οὗτοι κατ' ἐκεῖνα μανθάνουσιν παρ' ἡμῶν καὶ οὐδέποτε εἰς ἐπίγνωσιν τοῦ συνοίσοντος οἷοί τε εἰσιν ἐλθεῖν· ὡς εἴθε καὶ τὴν κακίαν γυναικώδεις ἦσαν καὶ νηπιάζοντες, ἀλλὰ μὴ πάνυ τι ἀνδρικοί τε καὶ πολιοί. Εἶεν. Οἷα δὲ ἐπὶ τούτοις ἀκούειν δοκῶ τῆς πανσεβάστου κεφαλῆς κατηγορούσης μου καὶ τὴν αἰτίαν τῆς ἀταξίας τῶν παίδων τουτωνὶ προσαπτούσης ἐμοὶ τῷ δυστυχεῖ πατρί!

3. «Οὐ σὺ γὰρ τοιούτους τούτους πεποίηκας, ὦ πρὸς ἐπιστροφὴν παίδων ἀτάκτων καὶ τοῦ Ἰσραὴλ ἐκείνου τοῦ παλαιοῦ μαλθακώτερε, οὐ σὺ τὸ ἀκόλαστον τούτων ἔθρεψας, ὡς τὰ πολλὰ μὲν ἐφησυχάζων οἷς λέγεις ἀθύρμασιν, εἶτα καὶ νουθετήσεσι λόγων πραείαις τόσον θράσος ἐπιστρέφειν πειρώμενος, ὅπερ εἰ καὶ ῥάβδῳ βαρείᾳ μικρὸν ὑπεστέλλετο, ἐν μεγάλῳ ἂν ἐποιούμην θαύματι; 4. Ἀλλὰ καὶ πῶς ἂν καὶ χρήσαιο ῥάβδῳ, ὃς οὐδ' ἡμᾶς χαλεπαίνοντας εἴασας προσενεχθῆναι τοῖς ἀνουθετήτοις παιδαγωγικώτερον; Οὐκοῦν οὐκ ἀπὸ λόγου καὶ πατραλοίας τοὺς ἀθλίους ἔλαθες ἐργασάμενος ὑπὸ τῆς ἄγαν, εἴτε φειδοῦς εἴτε ἐπιεικείας χρὴ λέγειν· οὐ γὰρ φιλοτεχνίας ἐρῶ. Ἢ καὶ τὸ τῆς παροιμίας εἰπεῖν ἠγνόησας, φαλακρὸς ὤν, εἶτα ἐπινυστάζων κατεναντίον κριῶν δεδιδαγμένων διακυρίττεσθαι;»

5. Ἀληθῆ ταῦτα εἶπας ἢ εἶποις ἄν, πανσέβαστε καὶ πάν-

1. *ἕλληνες*.— 4. *λέγοιτ'*. — 7. *ἢ*. — 10. *οἷοι*. — 21. *βαρεία* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *βαρεῖα*. — 25. *ἄπο*. — 28. *δεδιδαγμένον διακηρύττεσθαι*.

www.hbtool.com.cn

Digitized by Google

σοφε κεφαλή. Καὶ τί γὰρ ὧν λέγεις οὐκ ἀληθές; Πλὴν ἄκουσον. Οὐ γὰρ ἀποκρύψομαί σε τοὺς ἐμοὺς λογισμούς, οἷς χρώμενος πειρῶμαι φέρειν τὰς ἐνίων παροινίας εὐχερῶς ὡς οἷόν τε.

www.libtool.com.cn

6. Πρῶτα μὲν αἰδοῦμαι τὴν εὐαγγελικὴν φιλοσοφίαν, ἧς τὸν ζυγὸν ὡς χρηστὸν καὶ εὐάνυστον ἐμοὶ τάχα παρὰ τοῦ χειροθετοῦντος ὑπέλαβον ἐπαυχένιον· οὗ τὸ κεφάλαιον οὐχ ὅπως μὴ κακῶς ἀντιδρᾶν τοὺς ὑπάρξαντας, ἀλλὰ καὶ τοὺς μισοῦντας ἀγαπᾶν καὶ εὖ ποιεῖν καὶ ῥαπιζόμενον εἰς τὴν δεξιὰν στρέφειν καὶ τὴν ἑτέραν, ὡς ἀγιαζόμενος ἑκατέρωθεν διπλοῦς μισθοὺς ἄρνυται καὶ τἄλλα ὅσα αὐτός τε ποιεῖν καὶ διδάσκειν ἑτέρους ὑπὸ τοῦ ἐπαγγέλματος ἀναγκάζομαι. 7. Δεύτερον, ἀναλεγόμενος μνήμῃ τοὺς ἐπὶ προστασίᾳ λαοῦ διαλάμψαντας εὐαγγελικῶς ἱεροὺς ‖ ἄνδρας καὶ μακαρίους, οὐδένα εὑρίσκω βίᾳ, πειθοῖ δὲ μᾶλλον χρησάμενον καὶ λόγῳ. «Ποιμαίνετε γάρ φησι μὴ ἀναγκαστικῶς, ἀλλ' ἑκουσίως, μηδ' ὡς κατακυριεύοντες τοῦ κλήρου, ἀλλ' ὡς τύπος γινόμενοι.» Ἔπειτα αἰσχύνομαι ἐμαυτὸν, εἰ ἐπὶ τοσόνδε χρόνον οὕτω βεβιωκὼς νῦν ἀλλοῖος ἢ πρότερον φανήσομαι. 8. Ταῦτά με πείθει φέρειν μετρίως τὰς τῶν ἀντιπραττόντων μοι μοχθηρίας. Ὑπὸ τούτων κουφίζομαι εἴ ποτε κάμνων ὑπέραντλος γίνομαι. Ἐπὶ πᾶσιν, εἰς θεὸν ἀνατιθεὶς τὸ πᾶν, πιστεύω ὅτι κατ' ἐλπίδα τὴν οὐ καταισχύνουσαν ἀποτελευτήσει μοι τὰ τοῦ πράγματος. Ἡ γὰρ τῷ ἀνεξικάκῳ καὶ μακροθύμῳ ἰαθήσεται οἷά τινα θεραπείᾳ φιλανθρώπῳ καὶ ἡμερωτέρᾳ καὶ οὐκ ἄμισθός μοι ὁ μόχθος κερδάναντι τοὺς ἀδελφοὺς, ἢ τὸν πλοῦτον τῆς φιλανθρωπίας κατασωτευσάμενοι τὴν ἀποτομωτέραν αὐτοὶ καθ' ἑαυτῶν ἐκκαλέσονται. Καὶ τοῦτο δεῦρο πάντως ἢ ἐκεῖσε καὶ οὐκ ἂν τὸν ἀναίτιον αἰτιάσαιντο. 9. Εἴη δὲ καὶ ἡμᾶς ἀπημάντους διατηρεῖσθαι, κατεπᾴδειν ἐπαγγελλομένους θηρία κωφεύοντα, μὴ καὶ πάθοιμέν τι, καὶ πάθος οὐκ ἐλεούμενον. Τίς γάρ φησιν, ἐλεήσει ἐπαοιδὸν ὀφιόδηκτον; Φυλάττοι δὲ Κύριος τὴν σὴν πανσέβαστον ὑπεροχὴν εὐημεροῦσαν καὶ πολυχρόνιον.

---

3. *οἷον*.— 10. *αὐτὸς τὲ*.— 13. ‖ Κώδ. 85, *ϛ*.— 31. *ὀφεώδηκτον*.

Digitized by Google

νη'. Τῷ αὐτῷ.

www.libtool.com.cn

1. Ἕως τίνος, πανσέβαστε κύριέ μου, κεκράξομαι καὶ οὐ μὴ εἰσακούσῃς; βοήσομαι πρὸς σὲ μετὰ τοῦ πτωχοῦ τούτου καὶ ἀδικουμένου λαοῦ καὶ οὐ σώσεις. Καιρὸς γάρ μοι προσολοφύρασθαί σοι οἷα καὶ Ἀββακοὺμ τῷ θεῷ· ἐπληθύνθησαν γὰρ ὑπὲρ τὰς τρίχας τῶν κεφαλῶν ἡμῶν οἱ θλίβοντες καὶ ἐπηρεάζοντες ἡμᾶς. 2. Καὶ τοῖς μὲν παλαιοῖς ἄλλα ἐπ' ἄλλοις κακοῖς ἐπιόντα ἐξῆς καὶ διάδοχα εἰσεφθείροντο, ὡς τὰ κατάλοιπα τῆς κάμπης τὴν ἀκρίδα καταφαγεῖν, τὰ δὲ τῆς ἀκρίδος τὸν βροῦχον, τὰ δὲ τοῦ βρούχου τὴν ἐρυσίβην. Ἡμῖν δὲ ἀθρόα πάντα καὶ, ὡς ἡ ποίησις ἂν εἴποι, πανσυδίῃ ἐπιπεπτώκασι καὶ οὐδὲν καταλέλειπται ὅπερ καταφάγοι ἂν ἕτερος ὄλεθρος.

3. Ὑπανάγνωθί μοι τὸν δεητήριον χάρτην, ὃν οἱ παντλήμονες Ἀθηναῖοι ἀνέπεμψαν πρὸς τὸν κράτιστον καὶ ἅγιον ἡμῶν αὐτοκράτορα, καὶ, ἀναλεξάμενος ἐκεῖθεν τὸ πλῆθος τῶν ὀλοθρευτικῶν δυνάμεων, γνοίης ἂν τίς ἡ κάμπη καὶ τὰ λοιπά. Ἀλλὰ καὶ τὰ πρὸς τὴν αὐθεντίαν σου ἐπελθὼν, οὐκ ἀμφιγνοήσεις τὸ μὴ οὐκ ἀπογνῶναι τοὺς ἀνθρώπους καὶ ὁμόσε πᾶσι κινδύνοις χωρεῖν. 4. Ἐπικαμφθεὶς οὖν ταῖς αὐτῶν τε καὶ ἡμῶν δεήσεσι, τὴν μὲν παρείσπραξιν μετριωτέραν κέλευσον γίνεσθαι, τὰς δ' ἐπηρείας κουφισθῆναι ὅση δύναμις σπούδασον, ἵνα μὴ τῆς ἀπωλείας τῶν Ἀθηνῶν ἡ αἰτία τῇ αὐθεντίᾳ σου προστριβῇ. 5. Διὰ τοῦτο καὶ ὁ ἐντιμότατος κῦρ Θωμᾶς διὰ τὸ τῆς τοιαύτης δουλείας ἀναγκαιότατον ἀπεστάλη· δι' οὗ καὶ προσκυνοῦμεν τὴν αὐθεντίαν σου, ἣν καὶ διαφυλάττοι θεὸς πολυχρόνιον.

νη'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 85,6.

9. *ἐρυσίβην* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *ἐρυσίμην*.— 23. *διατοῦτο*.

Digitized by Google

νθ'. Τῷ Ματζούκῃ κῦρ Θεοδοσίῳ.

1. Τοῖς μὲν λοιποῖς ἄλλοτε ἄλλης χρείας ὑπαγορευούσης ἐπιστέλλειν βιαζόμεθα, σοὶ δὲ, ὦ τοῦ παντὸς ἀξία μοι κεφαλὴ, τρόπον ἄλλον καὶ ὃν τῷ ἡλίῳ προσομιλοῦμεν. Ταῖς τε γὰρ ἀκτῖσι τούτου ἐσαεὶ καὶ ὅτε μὴ πρὸς ἔργοις ὦμεν ἐπεντρανίζειν ἀγαπῶμεν πάντες, κἀγὼ δὲ φιλῶ προσλαλεῖν σοι καὶ διὰ γραμμάτων προσδέρκεσθαι, κἂν μή τι τῶν ἀναγκαίων ἐπεῖγόν ἐστιν. 2. Τοιαῦτα γὰρ τὰ ὄντως καθ' αὑτὰ ἐφετὰ, οἷς καὶ ἡ τῶν σπουδαίων φιλία συντάττεται, ὡς ἥ γε διὰ τὰ καὶ τὰ, τούτων ἐκλελοιπότων, καὶ αὐτὴ συναπῴχετο. Οὔκουν οὐδὲ αὐτὸς συνεδέθην σοι τῇ θεσπεσίᾳ ψυχῇ διὰ τὴν παρὰ βασιλεῦσιν αἰδῶ καὶ γνησίαν οἰκείωσιν καὶ τὴν ἐν τοῖς δημοσίοις προεδρεύουσαν ὑπεροχὴν, ἵνα τι καὶ αὐτὸς παραπολαύω τοῦ ὕψους καὶ τοῦ καιροῦ, ἀλλὰ πάλαι τὸ σὸν φιλοκάγαθον ἐπιγνοὺς καὶ τὸν ἄπειρον ἐσμὸν τῶν καλῶν, τὴν ἀκαπήλευτον ἀγάπην, τὸ φιλάληθες καὶ ἔμπεδον ἦθος, τὴν μεγαλοπράγμονα φρόνησιν καὶ τῇ διοικήσει τοῦ παντὸς ἀποχρῶσαν. Καὶ τούτων κατάκρας ὡς φιλοτοιοῦτος εἴπερ τις ἄλλος, τὴν μέσην τῆς ἐμῆς ψυχῆς χώραν ἀπεκληρωσάμην σοι σὺν ἑτέροις ‖ ὀλίγοις κομιδῇ. 3. Οὐ γὰρ πολύφιλός τις ἐγὼ, οὐδ' οἷος εἰς πολλοὺς τὸ φιλοῦν τῆς ψυχῆς ἐχχέειν καὶ καταμερίζειν ἰσόμοιρόν τε καὶ ταὐτοδύναμον· καὶ φέρων ἔνδον ἀεὶ φαντασιοῦμαι τὸ ἐράσμιον καλὸν καὶ ἐν καλῷ μνήμης θάλπω καὶ ταμιεύομαι, ἐκφέρων δ' ἐνίοτε καὶ διὰ χειλέων λόγοις εὐφήμοις πρὸς οὓς χρὴ καὶ ὅτε καιρός. Σπανιώτερον δὲ καὶ προσφθέγγομαι γράμμασι, τάχα μὲν ὀλιγώρῳ περὶ τὰ τοιαῦτα φύσει καὶ γνώμῃ χρώμενος, τάχα δὲ καὶ ὄχλῳ πραγμάτων καὶ

νθ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 85,6 - 86,α.

7. *ἐπεῖγον ἐστιν.* — 13. *φιλοκάγαθον.* — 17. *τούτων ἐκ τοῦ τὸ πρῶτον γραφέντος τοῦτο. εἴπερ.* — 19. ‖ Κώδ. 86,α. — 21. *ταυτοδύναμον.*

Digitized by Google

μακρᾷ διαστάσει κολουόμενος. 4. Τοιοῦτος ἐγὼ τοῖς ἐμοῖς κατ' ἀρετὴν παιδικοῖς, ὥστε, καὶ ὅτε γράφοντες δεοίμεθά τι, μὴ διὰ τοῦτ' αὐτὸ οἷου τὴν γραφὴν ἐγχαράττεσθαι, καὶ, ὅτε μὴ γράφοιμεν μηδ' ἀξιοῖμεν ὁτιποτοῦν, ἴσθι ὡς οἱ αὐτοί σοι βεβήκαμεν ἀκίνητοι· ἀκινήτου γὰρ χρήματος ἐάλωμεν, ὡς εἴρηται, τῆς σῆς σπουδαίας ψυχῆς. Καιροὺς δὲ χαίρειν ἐῶμεν ὡς ὀνείρων ἀθύρματα καὶ καπνοῦ σκιάν. 5. Εἴ τί που δεηθείη σου ὁ γραμματικὸς, ὅλῳ θυμῷ βοήθησον, ἀλλ' ὅπως μὴ πάλιν ἐπιστέλλειν ἡμᾶς τούτου ἕνεκα οἰηθῇς. Διατηροίη θεὸς πολυχρόνιόν σε, τὸ κοινὸν ὄφελος καὶ τοὐμὸν ἴδιον σεμνολόγημα.

ξ'. Τῷ μεγάλῳ δουκὶ τῷ Στρυφνῷ.

1. Ἐπειδὴ θεὸς ἀνάγων δι' ἄλλοτε ἄλλων βαθμίδων καὶ πρὸς τὰ μετεωρότερα τῶν ἀξιωμάτων κουφίζων, κοινὸν προστάτην τοῦ ῥωμαϊκοῦ γένους καὶ τῶν τῆς βασιλείας πραγμάτων κοσμήτορα κατεστήσατο, καὶ θεῷ μὲν ὀφείλεις διὰ ταῦτα τὴν τῆς εὐγνωμοσύνης ἀντίδοσιν, Χριστιανοῖς δὲ πᾶσι τὸ εὖ ποιεῖν καὶ καθ' ὃ ἄν τις δέοιτο προσλαμβάνεσθαι καὶ προσαρήγειν τοῖς κάμνουσι, δεόμεθα δὲ εἴπερ τινὲς καὶ ἡμεῖς τῆς σῆς ἀντιλήψεως, ἄγε δὴ κλῖνον, ὦ κύριέ μου καὶ αὐθέντα, τὸ οὖς σου καὶ ἐπάκουσόν μου, ἵνα καὶ Κύριος ἐπακούσαι σου ἐν ἡμέρᾳ θλίψεως.

2. Οἶδεν ἡ πανσύνετος αὐθεντία σου ὡς ἡ καθ' ἡμᾶς αὕτη χώρα τῶν Ἀθηνῶν οὐ κάρπιμός τις ἐστιν, οὐ ζωοτρόφος, οὐχ ἱστουργὸς ὑφασμάτων σηρικῶν, οὐκ ἄλλο οὐδὲν τῶν ἀνθρωπίνων ἀγαθῶν εὐμοιροῦσα, μόνοις δ' ἐνευθηνεῖται θαλαττίοις λησταῖς, οὐ μόνον τὰ παράλια κακουργοῦσιν, ἀλλὰ καὶ πᾶ-

ξ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 86,α - 86,6.

17. *ὅν ἄν.* — 18. *εἴπέρ τινες.* — 20. *ἐπακοῦσαί σου.* — 23. *κάρπιμος.*

Digitized by Google

σαν ἀκρώρειαν, ὡς καὶ τὴν θάλατταν αὐτὴν, ἐξ ἧς εὐετηρίαν τινὰ πρότερον εἶχον Ἀθῆναι, νῦν εἰς πανωλεθρίαν αὐτῶν περιίστασθαι. 3. Καὶ μέμνημαί σου εἰπόντος, ὅτε δεῦρο ἐπιδεδήμηκας, ὡς ἐοίκασιν αἱ Ἀθῆναι τῇ νῦν βασιλευούσῃ τῶν πόλεων. Καὶ ὡς ἐκείνη διὰ τῶν φορταγωγῶν πλοίων πάντα ναρπίζεται τὰ ἀγαθὰ, οὕτω καὶ Ἀθῆναι τῇ παρὰ τῶν πλοίων ἐμπορείᾳ ἐνευθηνοῦντο πολυανδρούμεναι, ὡς φασιν. Οὐ γὰρ ἕτερον εὐτυχοῦσιν οὐδὲν ἀγαθὸν, ὅτι μὴ τὸ ἐπὶ θαλάττῃ κεῖσθαι καὶ πρὸς τὸν ἐκ θαλάττης πλοῦτον εὖ ἔχειν τῆς κατὰ φύσιν θέσεως. 4. Ταύτην τοίνυν, τὴν καὶ παρὰ τῆς σῆς ἀγχινοίας μαρτυρηθεῖσαν εἶναι τοιαύτην ὁποίαν λέγομεν, πολλὰ ἐπιτρίβουσι τὰ δεινὰ καὶ φιλονεικοῦσιν ἐξερημῶσαι, φθόνος ἐγχωρίων βασκάνων τινῶν, κακοήθεια γειτονούντων, καταδρομὴ πειρατῶν, ἀπληστία ἐπηρεαστῶν, ἄλλα μυρία, ἵνα μὴ τὰ καθ' ἕκαστον καταλέγων ὄχλον ἐμποιῶ. 5. Ὑπὸ τοσῶνδε καὶ τοιῶνδε κακῶν ἀποικιζομένην ἤδη δυστυχῶς τὴν λαχοῦσαν με ταύτην οὐκ εὐτυχῶς χώραν ὁρῶν καὶ μηδὲν ἔχων ὅ τι καὶ δράσω, πάντων ἀπογνοὺς, σοὶ μόνῳ προστρέχω καὶ σῶν ἰχνῶν ἅπτομαι καὶ προβάλλομαι τοῦτο μὲν ὃ περίκειμαι ἱερωσύνης ἀξίωμα, τοῦτο δὲ αὐτὴν τὴν μητέρα θεοῦ καὶ τὸ ἐνταυθοῖ περιβόητον ταύτης ἀνάκτορον. 6. Δυσωπήθητι, κατοικτείρησιν καὶ κάμφθητι πρὸς ἔλεον τοσούτων πτωχῶν ἀγομένων καὶ φερομένων παντὶ ἀνέμῳ καὶ πρὸς ἀλλοδαπὰς ἐκτοπιζομένων χώρας καὶ κούφισον τῶν ἐπιτριβουσῶν ἐπηρειῶν. Πολλά σοι δέδωκεν ὁ θεὸς καὶ ἔτι δώσει, καλῶς χρωμένῳ τοῖς δεομένοις, χρήματα, κτήματα, δούλους, φίλους, ὑπεροχὰς ἀξιωμάτων καὶ τὸ κηδεστὴν εἶναι βασιλείας ἐγγύτατον. Γενώμεθα καὶ ἡμεῖς κλῆρος σὸς ἰδιόκτητος, ἀφ' οὗ χρήματα μὲν οὐκ ἐρανισθήσεταί σοι, ὅτι μηδ' ἀφθόνως ἔχομεν τούτων καὶ δαψιλῶς, ἄλλα δέ τινα χρυσοῦ τιμιώτερα, λίθων καὶ μαργάρων τιμαλφέστερα. 7. Τίνα ταῦτα; ‖ Εὐχάριστοι εὐφη-

1. *θάλασσαν* ἀλλὰ βραχυγραφικῶς. — 15. *καθέκαστον*. — 31. ‖ Κώδ. 86,6.

Digitized by Google

μίαι καὶ ἐπαινετήριοι λόγοι καὶ πρὸς θεὸν ἱκετήριοι, ὡς ἂν μονιμώτερά σοι τὰ τῆς εὐδαιμονίας διατηροῖτο καὶ ἀναφαίρετα. Πόσων χρημάτων ἐμισθώσω ἂν πρὸς τὸ ὑπερεντυγχάνειν σου νύκτα καὶ μεθ' ἡμέραν ἐν ναῷ τοιῷδε κλῆρον τοσόνδε σὺν ἐμοὶ ἀρχιερεῖ καὶ λαοῦ πλήθει τοσούτῳ; Καὶ νῦν, ἐξὸν τὰ τοσαῦτα εὐτυχῆσαι ἀμισθὶ καὶ ἀδαπάνως, οὐχ ὅλαις χερσὶν ἁρπάσεις τὴν τηλικαύτην εὐλογίαν, ἧς δεῖται πάντως ὁ μέγας ὄλβος, ὥσπερ καὶ ἡ μεγάλη φορτὶς τοῦ διευθύνοντος πνεύματος;

8. Στῆσον τοίνυν τὰς ἐπιρρεούσας ἡμῖν ἑκάστοτε ἐπηρείας, περὶ ὧν κατὰ μέρος ὁ ἐντιμότατος ἀπαγγελεῖ γραμματικὸς, καὶ ἡμεῖς ἕτοιμοι ἀντεισφέρειν τὰς τοιαύτας ἀντιδόσεις τῇ αὐθεντίᾳ σου. Περὶ τοῦ υἱοῦ τοῦ Καμαζηνοῦ ἐκείνου, πλατύτερον ἐν ἑτέρῳ γράμματι δηλώσας, καὶ νῦν αὖθις ἀξιῶ, ἵνα ὡς πρόσφυγα τῆς θεομήτορος παραδεξαμένη ἡ σὴ ἀντίληψις ἀνώτερον τῶν φονέων τοῦ πατρὸς αὐτοῦ καὶ κύριον τῶν πραγμάτων ποιήσασα παραπέμψῃ οἴκαδε, κήρυκα μεγαλόφωνον καὶ αὐτὸν ἐσόμενον τῆς μεγαλοδυνάμου καὶ ἀντιληπτικῆς αὐθεντίας σου· ἣν καὶ διαφυλάττοι Κύριος ὑγιῆ, εὔθυμον, πολυχρόνιον.

ξα'. Τῷ πατριάρχῃ κῦρ Γεωργίῳ τῷ Σκεφελένῳ.

1. Δείλαιοι μὲν καὶ δείλαιον ἔλκοντες βίον ὅσοι τῆς ἡλιακῆς ἀπῳκισμένοι φλογὸς περὶ τὰ ἀρκτικώτερα καὶ δυσχείμερα φθείρονται, δύστηνοι δὲ καὶ Κιμμέριοι οἱ κατὰ σκότον ἡλάσκοντες. Τλημονέστεροι δὲ πολλῷ τούτων κἀκείνων ἡμεῖς, οἱ μεμακρυσμένοι μὲν τῶν σῶν ζωογόνων ἀκτίνων, ὦ τῆς κατὰ Χριστὸν ἱερωσύνης ἡμέτερε ἥλιε, βίον δὲ βιοῦντες ἀβίω-

12. *ἀντισφέρειν*. — 17. *παράπεμψον*.

ξα'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 87,6.

www.libtool.com.cn

Digitized by Google

τον ὡς κρυερωτέροις μὲν κρυμοῖς, τοῖς ὀσημέραι ἀνιαροῖς, τὰς ψυχὰς παχνούμενοι, ἀχλυωδεστέροις δὲ πάσης ἀνάστρου νυκτὸς νέφεσιν ἀθυμίας καὶ κατηφείας καλυπτόμενοι· παρ' ὅσον οἱ μὲν ὑπερβόρεοι οὗτοι ἔσθ' ὅτε τοῦ ἐνιαυτοῦ, ἡνίκα δήπου καὶ τὸν περὶ αὐτοὺς οὐρανὸν ἥλιος διφρηλατεῖ, θερμοτέραν ἐλαύνων φλόγα, καὶ φῶς δεδόρκασι καὶ θαλφθέντες ἐζωπυρήθησαν, ἡμεῖς δὲ μακροῖς ἔτεσιν οὕτω συνεχῶς ἀφεστηκότες τοῦ σοῦ πυρὸς ὡς ἐν Ἅιδῃ κρυερῷ καὶ ἀνηλίῳ πλαζόμεθα καὶ ζωὴν ἀντλοῦμεν μοχθηροτάτην καὶ πόνηρον.

2. Ἀλλὰ μέχρι τίνος ταυτί; μέχρι τίνος οὕτωσὶ βιωσόμεθα, εἴ γε τὸ οὕτως ζῆν βιοῦν ἐστιν; Οὐκ ὀρέξεις μοι χεῖρα μεγαλουργὸν καὶ ὡς ἐξ Ἅιδου τῆς κατωτάτης ταύτης ἐσχατιᾶς ἀναγάγῃς με καὶ ἐν τῇ κατὰ σὲ χώρᾳ τῶν ζώντων ἀποκαταστήσειας, ἵνα τὸ φῶς ἐποπτεύσω τοῦ σοῦ προσώπου καὶ ζήσωμαι; 3. Διαπέτασον μόνον ὑπὲρ ἡμῶν πρὸς τὸν θεὸν τὰς μεγαλοδυνάμους χεῖρας καὶ ὡς ἐν ἀτόμῳ ἐνθένδε ἁρπαγησόμεθα καὶ τοῦ περὶ σὲ ξυνέδρου καὶ μακαρίου κύκλου μεταληψόμεθα. Ναί· μόνον ἱκέσιον εἰπέ τι ῥῆμα πρὸς Κύριον καὶ ταῦτα γέγονε πάντα. Ἵλεως εἴη μοι Κύριος διὰ τῶν <σῶν> δυσωπητικωτάτων εὐχῶν τῆς σῆς ἁγιότητος· ἣν χαρίσαιτο τῇ ἑαυτοῦ ἐκκλησίᾳ ἐς ἡλίους μακρούς.

ξϚ'. Τῷ πατριάρχῃ κῦρ Θεοδοσίῳ.

1. Ἆρ' οὐχὶ πάλαι τεθνηκότα με νομίζεις, ἀγχίθεε δέσποτα; ἆρ' οὐκ ἀπὸ καρδίας σῆς ἐπελήσθην ὡσεὶ νεκρός; Ναί· πάντως καὶ οὐ παραλόγως, οἶμαι, οὐδὲ τοῦ εἰκότος μακράν. Συχνὸς γὰρ ἤδη χρόνος κἀγὼ κατ' ἴσον νεκροῖς ἐκωφώθην καὶ ἐσίγησα καὶ οὐδὲ βραχύ τι παρεφθεγξάμην οὐδ' ἐπεστάλκειν

1. *κρυμοῖς*.— 3. *παρόσον*.— 20. *εὐχῆ*.

ξϚ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 87,ϛ.

25. *κατῖσον*.— 26. *παρεμφθεγξάμην*.

Digitized by Google

πρὸς τὸν ἐμὸν θεὸν καὶ πατέρα καὶ πλάστην καὶ εἴ τι ἄλλο σεμνότερον πρᾶγμα καὶ ὄνομα. 2. Ναὶ γὰρ καὶ τεθνήκαμεν ἀντικρὺς καὶ ἐπεκάλυψεν ἡμᾶς θανάτου σκιὰ, κατακυλισθέντας εἰς τὸν κατώτατον τοῦτον μυχὸν καὶ ἀτεχνῶς τάρταρον, ἔνθα εἰδώλοις ἀνθρώπων συνδιαιτώμεθα καὶ τόλμης ἐμπλήκτου τίνομεν δίκας, τὴν κινδυνώδη καταθαρσήσαντες ἀρχιερωσύνην, μηδὲ τῷ κατὰ σὲ ὑποδείγματι σωφρονιζόμενοι μηδὲ τοῦ θράσους ἀνακοπτόμενοι. Ἐν δίκῃ οὖν ὧν πεπλημμελήκαμεν τούτοις ἐκτίνομεν ποινὰς καὶ παρ' ὅσον τῆς ζωῆς ἀπῳκίσθημεν παρὰ τοσοῦτον τῷ Ἅιδῃ ἐλάθομεν παροικήσαντες. 3. Πάλαι γάρ ποτ' ἔζων παρὰ σοὶ καὶ τῆς αὐτοῦ που κατενεφορούμην μακαριότητος· ἀφ' οὗ δὲ τοπικῇ καὶ χρονικῇ διαστάσει τῆς ζωῆς ἀπέρρωγα, Ἀϊδόςδε βεβήκειν ὁ δύστηνος. 4. Σύγγνωθι γοῦν, ὦ μακαριώτατε δέσποτα, εἴ περ καὶ ὡς ἄλλο λήθης πόμα τὸ ἐν χειρὶ Κυρίου ποτήρισν ἐκπεπωκὼς ἐλαθόμην μὲν οὐχί· οὐδὲ γὰρ ἐν Ἅιδαο δόμοισι λαθοίμην ἄν σου· ἐπὶ χρόνον δ' ἐπέσχον τὰ ἐπιστολιμαῖα προσφθέγματα. Μᾶλλον δὲ καὶ ὑπερεύχου τῆς ἡμῶν ἀθλιότητος, ἵνα μὴ καταποθῶμεν, πολλοῖς διαύλοις τῶν ἐνταῦθα πραγμάτων φορούμενοι, ἀλλ' ὑπέρσχωμεν τῶν προσκλυζόντων, τοῦ θείου πνεύματος διακυβερνῶντος ταῖς αὐτοῦ πραείαις αὔραις καὶ τὴν ἡμετέραν ἐπικουφίζοντος ἀσθένειαν διὰ τῶν σῶν δυσωπητικωτάτων ἐντεύξεων, ἃς δὴ καὶ χαρίσαιτο ἡμῖν ὁ θεός.

ξγ'. Τῷ σεβαστῷ κῦρ Θεοδώρῳ τῷ Εἰρηνικῷ.

1. Πολλὰς οἶδ' ὅτι τὰς ἀντιδόσεις ὀφείλει θεῷ ἡ σὴ θεοφιλὴς ψυχὴ, πανσέβαστε κεφαλὴ, τῶν τε ἄλλων θεοπέμπτων δή που χαρίτων, ἀλλὰ δὴ καὶ οἷς φέρων ἔστησε μέσον θεοῦ

5. *συνδιαιτόμεθα*. — 8. *οὖν οἷς*. — 9. *παρόσον*. — 13. *ἀϊδόςδε*.— 16. *λαθοίμ'*.— 19. *φορούμενοι*.—20. *ὑπερέχωμεν*.

ξγ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 87, *b* 88, *a*.

Digitized by Google

καὶ χαμαὶ ἐρχομένων ἀνθρώπων, ὡς ἄλλον εἴποι τις Μωσῆν, εἴσω τῆς νεφέλης τῶν βασιλείων εἰσιόντα καὶ μόνον μόνῳ προσομιλοῦντα τῷ θεοειδεῖ βασιλεῖ καὶ τοὺς αὐτοῦ χρησμοὺς τοῖς κάτω διαπορθμεύοντα. 2. Ἀντιδώσει δὲ οὐδὲν τοιοῦτον ὡς ‖ εὐγνώμων οἷον τὴν ἀπαλλαγὴν τῶν λυπούντων, μᾶλλον δ' ἐπιτριβόντων Ἀθήνας· πόλιν ἀρχαίαν καὶ ἣν ἔτε εὐδαίμονα καὶ μισοτύραννον καὶ πατρίδα φίλην τοῦ κοινοῦ γένους τῶν ἁπανταχοῦ σοφῶν καὶ εἴπερ τινὶ καὶ σοὶ παρὰ τοῦτο προσήκουσαν· καὶ, ἵνα τὰ ὕστερα χρόνῳ καὶ δόξῃ πρεσβύτερα προσθήσω, πολιοῦχον αὐχοῦσαν τὴν παμβασίλειαν Παρθένον καὶ θεομήτορα, ἧς τὸ δεῦρο θεῖον ἀνάκτορον βέβηκε μὲν κατὰ κορυφὴν τῆς παλαιᾶς ἀκροπόλεως, ἐν οὐρανῷ δὲ ἐστήριξε κάρη, μᾶλλον δὲ αὐτό ἐστιν ἄκρα τοῦ οὐρανοῦ ὡς τῆς Θεοτόκου θεῖος Παρθενὼν καὶ ὑπερκόσμιος θάλαμος καὶ μυρίας τὰς τοῦ πνεύματος ἐνεργείας τοῖς προσιοῦσι καὶ τελουμένοις προβαλλόμενον. 3. Ταύτην τὴν οὕτω παλαιοῖς τε καὶ καινοῖς κοσμουμένην σεμνώμασι καταδουλοῦται μὲν πραίτωρ Ξέρξου βαρβαρικώτερον· οὐ γῆν γὰρ καὶ ὕδωρ αἰτεῖ, τῆς γῆς δὲ ἅπαν ἐκφόριον καὶ θρέμματα πάντα, καὶ πρός γε πηγὰς ἀνορύττει θησαυροῦ καὶ μαστεύει Πακτωλοὺς χρυσῷ ποτε ῥέοντας· κακοῖ δὲ ἅπας ἐπηρεαστὴς βαρύτερον ἢ περ οἱ τριάκοντα τύραννοι. Ἐγὼ δὲ κάθημαι τλήμων, οὐδὲν τῶν δεινῶν ἀπείργειν οἷός τε ὢν, ὅτι μὴ τοῖς ταλαιπώροις τούτοις συνοιμώζειν καὶ συνεποδύρεσθαι. 4. Ταῦτ' ἄρα τῆς καθ' ἡμᾶς ἱερᾶς ἀγκύρας ἐξέχομαι καὶ δέομαι τὸν βαθύρρουν τῆς βασιλικῆς φιλανθρωπίας ἔλεον μετοχετεῦσαι καὶ Ἀθήναζε. Ἃ δὲ δεόμεθα, μέτρι' ἄττα καὶ δίκαια καὶ τῷ δημοσίῳ ἀζήμια, τὸ παρὰ τῶν Ἀθηναίων ἀνενεχθὲν δεητήριον ἀπαγγέλλει. 5. Οὐκοῦν ἀπόδος Κυρίῳ τὰς εὐχάς σου, εἶτ' οὖν ὀφειλάς σου. Ἐχέτω καὶ σὸν ἀνάθημα ὁ θειότατος οὗτος ναός· σὸν γάρ ἐστιν ἅπαν τὸ διὰ σοῦ γενησόμενον καὶ ὡς ἀπαρχὴ τῆς σῆς ἀναβάσεως λο-

5. ‖ Κώδ. 88,α. — 8. *εἴπέρ τινι.* — 20. *ποτὲ.* — 23. *οἷος.* — 27. *μέτριάττα.* — 28. *ἀπαγγέλλει.*

www.libtool.com.cn

Digitized by Google

γισθήσεται. Ἀθῆναι δὲ τῶν αὐτῶν γερῶν ἀξιώσουσιν ὧν Ἁρμόδιον καὶ Ἀριστογείτονα πρότερον καὶ Θεμιστοκλῆν ὕστερον. Ναὶ οὕτως ὄναιο τῆς προόδου καὶ τῆς οἰκειώσεως διὰ τῆς θεομήτορος, συντηρούσης σε κἀπὶ τὰ μείζω προαγούσης, φθάνου καὶ δυσκόλου παντὸς ἀνώτερον.

www.libtool.com.cn

ξδ'. Τῷ Παδυάτῃ κῦρ Γεωργίῳ.

1. Εἰ μὲν ἄμεινον ἢ πρότερον πράττοι τὰ κατὰ σὲ, θεσπεσία μοι κεφαλὴ, τίς ἐμοῦ πλέον ἄλλος προσήκων κλύειν ταυτὶ καὶ συνήδεσθαι; Εἰ δ', ὅπερ ἀπεύχεσθαι δίκαιον, οὐδέπω δευτέρων ἀμεινόνων τετύχηκας, οὐδὲ λευκῆς ἡμέρας πρόσωπον εὐφεγγὲς ἐπιμειδιάσαν σοι τὴν ἀχλυώδη καὶ πίσσης μελαντέραν τῆς δυσημερίας ἀπεληλάκει κατήφειαν, τίς πάλιν ἐμοῦ προσπάσχειν σοι καὶ συστυγνάζειν συμφυέστερος, ὃς ἔρωτι τῶν σῶν καλῶν εἰς ἄκρον μυελὸν ψυχῆς συνετάκην σοι; 2. Ἀδικεῖς οὖν, ἀδικεῖς ὦ μέλος ἐμὸν τίμιον, ψυχὴν οἵαν καὶ συγχαίρειν σοι χαίροντι καὶ πενθοῦντι συνολοφύρεσθαι, μή γράμμασιν ἀπαγγέλλων ὅπῃ ποτὲ τύχης κεῖται τὰ κατὰ σὲ καὶ εἰ τὰ δεξιὰ ὅπλα μετενεδύσατο εἴτε τὰ ἀριστερὰ καὶ εἰςέτι περίκειται, καὶ ταῦτα ἀμφιδεξίως ἔχοντα ὡς μὴ μόνον μεγαλοφρόνως φέρειν ταῦτα, ἀλλὰ κἀκεῖνα μετριοφρόνως ἀνέχειν, τουτὶ εἰδότα, χρῆσθαι ἀμφοτέροις ἄριστα καὶ ὡς οὐδ' ἄν τις τῶν πάλαι ἡρώων ἀσπίδα οἶδεν ἐπὶ δεξιὰ καὶ ἐπ' ἀριστερὰ προβάλλεσθαι. 3. Οὐ γάρ τοι σὺ τοιόσδε οἷος τοῖς μὲν σκαιοῖς βαρυνόμενος χωλεύειν, ὡς ὁ Δαυὶδ τὴν τοῦ Σαοὺλ πανοπλίαν ἐνδεδυκὼς, τοῖς δὲ ἱλαροῖς ὡσεὶ πτεροῖς αὖθις αἰρόμενος κουφότερον, κατὰ τὸ κεφάλαιον τῆς Ἰλιάδος, μετεωρίζεσθαι. Πῶς οὖν, οὕτω βεβηκότως ἔχων, τοῦ μεμνῆσθαι τῶν

ξδ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 88,α - 88,β.

16. *ἀπαγγέλλον ὅπῃ ποτε.*

Digitized by Google

ἀεὶ μεμνημένων σου καὶ γράφουσιν ἀντεπιστέλλειν ἐκκέκρουσαι; Οὐ γὰρ δὴ καὶ ταῦτα κακοπραγίᾳ προσαφήρηται· μὴ τοσοῦτον δυνηθείη ὡς καὶ τῶν ἐφ' ἡμῖν τυραννεῖν ἀγαθῶν.

www.libtool.com.cn

4. Τί ποτ' οὖν ἄλλο τῆς σιγῆς αἰτιασόμεθα; Ὁ νοῦς, ποταμῷ ἐοικὼς πλήθοντι, ἡ γλῶσσα οὐκ ἀναξία τοιοῦδε νοὸς ἐξάγγελος ὀξυγράφος, εἰ καὶ μηδεὶς ἄλλος τύχοι παρών. Ἀλλ' ἡ καλὴ χεὶρ ἀεὶ πάρα, διακονουμένη ὠκεῖ πτερὸν ἠὲ νόημα, μή ποτε δὲ οἱ διακομιοῦντες σπάνιοι, ἀλλὰ καὶ οὗτοι μυρία καὶ ὅσα φύλλα καὶ ἄνθεα γίνεται ὥρῃ, ‖ πράκτορες, πραίτωρες, ἀπογραφεῖς, ἀναγραφεῖς, δασμολόγοι, ναυτολόγοι καὶ ὅσοι ἄλλοι τοῦ πονηροῦ τοῦδε κόμματος, οὓς ἡ τῶν πόλεων βασιλὶς στέλλει πανταχόσε, μάλιστα δὲ εἰς Ἑλλάδα ἐτησίους, καὶ ὅσους οὐδ' ὁ θεός ποτε βατράχους εἰς Αἴγυπτον.

5. Λέγοις ἂν οὖν αὐτὸς τὸ τῆς σιωπῆς μυστήριον, ὡς ἡμεῖς γε ἀμηχάνως ἔχομεν. Ἀγαθύναι σε Κύριος ὁ θεὸς καὶ διατηροίη σε ὑγιῆ, εὔθυμον, πολυχρόνιον.

ξε'. Τοῖς Βελισσαριώταις.

1. Ἔδει μὲν ἡμᾶς αὐτοὺς, ἅπαν τὸ κατέχον ἀποθεμένους, πρὸς ὑμᾶς ἀναδραμεῖν, ἐκτραγῳδῆσαί τε πάντα τὰ καθ' ἡμᾶς ἀνιαρὰ καὶ προσολοφύρασθαι καὶ ἢ λύσιν εὑρέσθαι τουτωνὶ ἢ τοῦ λοιποῦ γοῦν αὐτοῦ που καταδεδυκέναι καὶ σχολὴν ἄγειν ἀπράγμονα καὶ μηκέτι βιάζεσθαι ῥοῦν, φησι, καὶ φορὰν καιροῦ δυσαντίβλεπτον. 2. Ἐπεὶ δὲ ἔοικεν, ὡς οὕπω δοκεῖ θεῷ τῆς κατωτάτης ἐσχατιᾶς ἐξαναλῦσαι καὶ δοῦναί ποτε ἀνακάμψαι πρὸς ὑμᾶς καὶ τὴν ὑμῶν ἀνέφελον αἰθρίαν, δεύτερός φασι πλοῦς διὰ γραμμάτων ἐντυγχάνειν ὑμῖν καὶ προσανακλάεσθαι καὶ τὸν παρ' ὑμῶν ἔλκειν ἔλεον. 3. Ὡς δ' οὐκ

7. *πάρδιακονουμένη.* — 9. *μυρία.* ‖ Κώδ. 88,6. — 15. *σοι.*

ξε'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 88,6 - 89,α.

24. *δεύτερος φασὶ.*

Digitized by Google

ἐξὸν ἐπιστολῆς μέτρῳ χωρηθῆναι τοσοῦτον σμῆνος κακῶν, καὶ τὸν ἐντιμότατον κῦρ Θωμᾶν συναποστεῖλαι δεῖν ἔγνωμεν, ὅπως τὰ παρὰ τῶν γραμμάτων κεφαλαιωδῶς ὑπαγορευόμενα αὐτὸς ἀποτάδην ἐκτραγῳδήσειε, καὶ γνοίημεν εἴτε δι' ὀλιγωρίαν, ὡς παρὰ πολλῶν ὀνειδιζόμεθα, κακῶς πράττομεν, εἴτε κατὰ θεομηνίαν τινὰ καὶ μεγάλων κακῶν εἰςπραξιν.

4. Πρόσσχετε τοίνυν οἷς ἀχθόμεθα, θεσπέσιοι καὶ φίλτατοί μοι κεφαλαί, καὶ εἰ μὲν κατὰ λόγον δόξομεν πάσχειν ταυτί, ἐπιζυγώσατε τῷ μὲν γράμματι τὰς ἀκοάς, τῷ δὲ διακομιστῇ τοῦ γράμματος καὶ τὴν θύραν αὐτήν. 5. Εἰ δὲ ἀδίκως ἐκπιεζόμεθα καὶ παρὰ τῶν δασμολογούντων ἐκμυελιζόμεθα δι' οὐδὲν ἕτερον, ἀλλ' ὅτι ἐπτωχεύσαμεν σφόδρα καὶ ἐσμὲν ταπεινοὶ καὶ τῷ βουλομένῳ ἑτοίμη θήρα ἐκκείμεθα· οὔτε γὰρ ἐρυμνά τινα περὶ ἡμᾶς, τὰς ἐπηρεαστικὰς ἐπελεύσεις ἐκδεχόμενα, οὔτε πορθμοῦ γέφυρα ὀλισθηρὰ καὶ στενὴ καὶ τὸν νοῦν τῶν διαπεραιουμένων συνάγουσα, οὐ πολυοχλία πόλεως κυμαινομένη καὶ τὴν ἄμυναν ἐπικλύζουσα· ἵνα τί καὶ εἰςέτι νυστάξετε καὶ ὑπνώσετε καὶ οὐ μᾶλλον διαναστῆτε καὶ σπεύσετε εἰς τὸ βοηθῆσαι, οἷοί τε ὄντες θεοῦ χάριτι; 6. Οὐ κοινοὶ ὑμεῖς φροντισταὶ τῶν ὑπὸ τὴν ῥωμαϊκὴν ἀρχὴν χωρῶν, οὐ μετὰ τῶν λοιπῶν καὶ τῶν Ἀθηνῶν; Εἰ μὴ δι' ἡμᾶς ἢ δι' αὐτάς, ὡς ἑστίαν ποτὲ τῶν σοφῶν, ὠφείλετε βοηθῆσαι, κινδυνευούσαις ἀπαλιφῆναι τοῦ καταλόγου τῶν Ἑλληνίδων πόλεων, οὐκ ἂν ὡς κηδεμόνες τῶν δημοσίων προσόδων καὶ λογισταὶ λογιστῶν ἐπωρέξατε χεῖρα ταῖς Ἀθήναις, ἤδη καταδυομέναις πρὸ τοῦ κατακλυσμοῦ τῶν ἐπηρειῶν;

7. Ἀλλ' ἵνα μὴ δόξωμεν τηνάλλως ῥαψῳδεῖν, ἀριθμεῖτέ μοι τοὺς ἐπηρεαστάς, κτίστας κατέργων, πλωΐμολόγους τοῦ Στειριόνου, ἑτέρους πλωΐμολόγους οὐχ ἁπλῶς, ἀλλὰ κανπολογοῦντας, ζευγολογοῦντας, τοὺς ὑποδοχάτορας τοῦ πραίτωρος, αὐτὴν τοῦ πραίτωρος τὴν ἐπέλευσιν, τὰς ἀμέτρους τροφάς, τὰς ζημίας, τὰ προσκυνητικά, τὰς ἐπὶ τῇ ἐξελεύ-

7. *πρόσχετε.*— 14. *ἐκδεδιττόμεθα.*— 19. *οἷοι τε.*— 27. *τηνάλεως. ἀριθμεῖτε.*

www.libtool.com.cn

Digitized by Google

σει αὐτοῦ ἀγγαρείας τῶν ὑποζυγίων, μᾶλλον δὲ προφάσει ἀγγαρείας διαπράσεις· ἐπὶ τούτοις καὶ τὴν παρὰ τοῦ βεστιαρίτου καινοφανῆ τοῦ κήνσου ἀπαίτησιν μετὰ σοβαροῦ τινος καὶ ὑψιβρεμέτου συνεργοῦ. 8. Καὶ μή μοι λέγετε ὅτι κοινὰ ταῦτα, ἀλλὰ μανθάνετε τὴν ἡμετέραν ἀθλιότητα, ὅτι τινὰ μὲν τούτων ἡμεῖς μόνοι τῶν ἄλλων ἐζημιώθημεν, οἷον τὰ τοῦ Στειριόνου καὶ τὰ τῶν κατεργοχτιστῶν, τἄλλα δὲ τῶν ἄλλων βαρύτερα ἡμεῖς ἀπαιτούμεθα, ἵνα μὴ λέγωμεν ἀπαίτησιν καὶ παρείσπραξιν βαρεῖαν τοῦ ἀκροστίχου καὶ θαλαττίων λητῶν λεηλασίαν συνεχῆ.

9. Ἆρ' οὐκ ἰλιγγιάσατε καὶ πρὸς τὴν ἀκοὴν αὐτὴν αἱ φιλάνθρωποι ψυχαί; Εἰ δ' ἄκουσμα μόνον ἴλιγγον ἐμποιεῖ, τί οὐκ ἂν ἐργάσαιτο τὸ πάσχειν αὐτό; Ἀλλ' εἰ φείδεσθε μὲν ἡμῶν ἤδη ἐκκακησάντων καὶ περισκοπουμένων δρασμόν τινα, φείδεσθε δὲ τῶν Ἀθηνῶν ὡς ‖ ρωμαϊκοῦ κτήματος καὶ κάκιστ' ἀπολουμένου ὅσον οὐδέπω, ποιήσατε ἔλεος ἀζήμιον τῷ δημοσίῳ. 10. Τίς ἡ ἐξ Ἀθηνῶν παρὰ τοῦ πραίτωρος εἰσκομιδή, ἢ δῆλον ὡς οὐδεμία τις; καὶ ἵνα τί λοιπὸν ζημιούμεθα ἐγγὺς τῶν δέκα λιτρῶν, μᾶλλον δὲ ἀφανιζόμεθα καὶ συντριβόμεθα πολαπλάσιον; Ἵνα τί τὸ Θηβαίων μὲν χρυσόβουλλον στέργει καὶ οὐ καταβάλλονται πλωΐμους, ἡμεῖς δὲ, ἐξ ὁρισμοῦ ἀπογραφέντες, οὐ τοὺς κατατεθέντας ἡμῖν καὶ τὰς ἐπιβαλλούσας συνδοσίας ἀπαιτούμεθα, ἀλλ' εἴ τι βούλονται οἱ κατάρατοι πλωϊμολόγοι καὶ καταφρονηταὶ τῶν προσκυνητῶν προσταγμάτων; 11. Ἀλλ' ἐξηνέχθην εἰς ἀδόλεσχον πολυγραφίαν, ὑπὸ τῶν ἀπείρων ὀχληρῶν παρασυρείς. Οὐκοῦν σιγῶμεν. Ὁ δὲ κῦρ Θωμᾶς ἀπαγγελλέτω καὶ ποριζέσθω θεραπείαν τινὰ ἢ μὴ κατελθέτω, ἀλλὰ δηλωσάτω ἡμῖν τοῦτο, ἵνα καὶ ἡμεῖς οἰχησώμεθα ὅπῃ ποτὲ φίλον ἡμῖν. Ὁ Κύριος πολυχρονίους διαφυλάττοι ὑμᾶς. Προσκυνηθήτω ἡ ἁγία κυρά.

---

1. *ἀγκαρείας*.— 2. *ἀγκαρείας*.— 4. *τινὸς*.— 8. *ἀπαιτήμεθα*. — 9. *βαρείαν*. — 15. ‖ Κώδ. 89,α. — 18. *τίς*. — 21. *ἐξορισμοῦ*.— 29. *ὅπῃ ποτε*.

www.ibtool.com.cn

Digitized by Google

www.libtool.com.cn

ξϛ'. Τῷ θεοφιλεστάτῳ σπαθαρίῳ κῦρ Κωνσταντίνῳ.

1. Ὄντως τῷ δυνατῷ μείζων ἡ πεῖρα καὶ πρὸς τὸ ἀντιτεῖνον ἡ μάχη· καὶ τῶν λεγομένων μάρτυς αὐτὸς, μακαριώτατε δέσποτα. Ἄνθρωπος γὰρ ὢν ἀληθινὸς, θεοσεβὴς, ἰδιαστικὸς ἐν κοινῷ καὶ ἐν σχήματι πολιτευτικῷ φιλοσόφως βιοτεύων καὶ οἷα παίδευμα καὶ θρέμμα Χριστοῦ τὸ πολίτευμα ἔχων ἐν οὐρανοῖς, ἐξεκαλέσω καθ' ἑαυτοῦ τὸν βάσκανον καὶ πειραστὴν καὶ μισοτοιοῦτον ἀλάστορα. 2. Ὡς δὲ πολλοῖς ἀκροβολισμοῖς ἐπειρᾶτο κατασεῖσαι πρότερον, ἔγνω δὲ μεγάλῳ προβλῆτι προςβάλλων καὶ κύματα ἐπεγείρων εἰς ἀφρὸν λυόμενα καὶ μόνον ἄχνην ἀλὸς ἀποπτύοντα, τελευτῶν αὐτῆς τῆς σαρκὸς ὡς ἄλλου Ἰὼβ πάλιν ἅπτεται, ὡς πυνθάνομαι, καὶ παίσας ἕλκει πονήρῳ αὐτῆς καθικέσθαι πως τῆς ψυχῆς οἴεται. 3. Ἀλλ' ἔψευσται πάλιν ὁ Τελχίν· πάλιν γὰρ γενναίῳ περιτυχὼν Ἰὼβ πάλιν κατηῤσχυμένος ἀπελεύσεται. Τυχὸν γὰρ διορύξει τὸν τοῖχον ὁ κλέπτης τοῦ σώματος, ἀλλ' οὐκ ἀφαιρήσεταί τι τοῦ θησαυροῦ τῆς ψυχῆς. Καὶ τὸ μὲν ὀστρεῶδες ἔλυτρον ἴσως περιῤῥαγήσεται, ὅ γε μὴν μάργαρος ἔνδον μενεῖ τηρούμενος ἄσυλος. Λέληθεν ἑαυτὸν θύλακον περιῤῥήσσων κρεῶν καὶ ψυχῆς δοκῶν ὅλβον χειρώσασθαι. 4. Ὦ μακαριστὸς ὄντως σὺ, ὡς ἐν θεάτρῳ τῷδε τῷ βίῳ πρὸς τὸν πειραστὴν κονισάμενος καὶ κατὰ τοὺς ἐκ τῆς παλαίστρας Χριστοῦ διαπυκτεύσας καὶ νικήσας τὸν κοσμοκράτορα καὶ ἐν τοῖς σεαυτοῦ πολυτλήμοσι μέλεσι δοξάσας τὸν Κύριον· ὃς πάλιν ἀντιδοξάζων σε μετ' ἀθλητῶν στεφανώσει καὶ ἀνακηρύξει μετ' ἀσκητῶν καὶ τοῦ περὶ τὸν Παῦλον ἀξιώσει χοροῦ, ὡς κατ' ἴσον ἐκείνῳ ἐν τῷ σώμασι σεαυτοῦ τὰ στίγματα τοῦ

ξϛ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 89,α.

4. *βιωτεύων*.— 14. *διορύξοι*.— 26. *κατῖσον*.

Digitized by Google

Κυρίου Ἰησοῦ βαστάσαντα· μετὰ δὲ τοῦ Ἰὼβ ἐκεῖνα καὶ σοὶ πάντως ἐρεῖ «Εἴη με μὴ ἄλλως σοι κεχρηματικέναι, ἀλλ' ἢ ἵνα ἀναφανῇς δίκαιος». Οὕτως ἐγώ που περὶ τοῦ κατὰ σὲ πειρασμοῦ καὶ φρονῶ καὶ φθέγγομαι.

www.ibtool.com.cn

5. Τοῦ παντὸς ἂν εἱλόμην τὸ καὶ αὐτοπτῆσαι καὶ διομιλήσασθαί σοι τῷ ἐμψύχῳ τροπαίῳ Χριστοῦ, ἵνα τύπον ἔμπνουν ἀπεμαξάμην ἀνδρείας τε καὶ καρτερίας ἐν τοῖς δεινοῖς καὶ ἐπὶ πᾶσιν εὐχαριστίας εὐγνώμονος καὶ ἄλλων ὅσα τὰ μὲν Χριστιανῶν σεμνολογοῦσι πάτρια, ὀλίγοι δὲ ἔργοις αὐτοῖς ἐπιδεικνύμεθα. 6. Ἐπεὶ δὲ τοσοῦτον χάσμα τῆς διαστάσεως ἀπείργει, γράμμα οὖν δακτυλιαῖον πέμψον ἡμῖν καὶ καιομένους κατάψυξον. Εὖ γὰρ ποιῶν ὁ λόγος τῆς εὐαγγελικῆς παραβολῆς ἀνέμνησε καταλλήλως. Σὺ γὰρ ὁ πτωχεύων ἐκὼν καὶ ἡλκωμένος καὶ παρὰ τοῦτο ἐν κόλποις Ἀβραὰμ παρακαλούμενος, ἡμεῖς δὲ οἱ πλουτοῦντες καὶ τρυφῶντες ἐν κακοῖς καὶ πρὸ τῆς γεέννης ταῖς ἐνταῦθα βασάνοις ὀδυνώμενοι· ὧν ῥύσαιτο Κύριος ἡμᾶς, ταῖς σαῖς εὐχαῖς ἱλεούμενος.

ξζ'. Τῷ λογοθέτῃ τοῦ δρόμου κῦρ Δημητρίῳ τῷ Τορνίκῃ.

1. Τὰ μὲν καθ' ἡμᾶς ὅπως ἔχοντά ἐστιν καὶ οἵας δεῖται παραμυθίας τε καὶ βοηθείας ὁ ἐντιμότατος κῦρ Θωμᾶς καὶ τὰ δι' αὐτοῦ κομισθέντα πρὸ μικροῦ γράμματα πάντως ἀπαγγελεῖν εἶχον τῇ πανσεβάστῳ αὐθεντίᾳ σου, καὶ περιττὸν ‖ τὰ αὐτὰ καὶ περὶ τῶν αὐτῶν ἀδολεσχεῖν. 2. Ὁ δὲ παρὼν οὗτος διακομιστὴς τοῦ γράμματος, ἔχων γαμβρὸν ἐπὶ θυγατρὶ Στέφανον τοὔνομα, συνήθη τῇ αὐθεντίᾳ σου, καὶ μαθὼν,

2. *εἶοι. μὴ* λείπει. — 3. *ἐγὼ τοῦ* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *ποῦ*.— 5. *ἠλλόμην*.

ξζ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 89,α - 89,β.

21. ‖ Κώδ. 89,β.

Digitized by Google

ὡς ἔοικε, παρ' αὐτοῦ οἷος σὺ τά τε ἄλλα καὶ περὶ τοὺς εὐνοϊκῶς πρὸς σὲ διακειμένους, ἠράσθη εἷς γενέσθαι τῶν συνήθων καὶ οἰκείων τῇ καλοκἀγάθῳ σου ὑπεροχῇ. Καὶ ἐπεὶ πρὸς τὴν ἐπιτυχίαν τοῦ ἐφετοῦ συμβαλέσθαι οἱ τὰ ἡμέτερα γράμματα ἔδοξε καὶ προελθὼν ἠξίου τούτοις ἐφοδιασθῆναι, οὐκ ἦν ἀπώσασθαι ἀνδρὸς αἴτησιν δικαίαν καὶ ἡμῖν εὐχερῆ. 3. Οὐκοῦν, χαριζόμενοι μᾶλλον τῇ αὐθεντίᾳ σου ἢ τούτῳ, τὰ περὶ τὸν ἄνθρωπον γνωρίζομεν. Πλούσιος γὰρ ὢν καὶ καλοκἀγαθίας ἀντιποιεῖται, τὸ ἐργωδέστατον νῦν εἴπερ ποτέ. Ταῦτ' ἄρα οὐ μόνον τοῖς ἐγχωρίοις, ἀλλὰ καὶ πραίτωρσιν αὐτοῖς δι' αἰδοῦς καὶ τιμῆς ἐστι πολλῆς· πέπεισμαι δ' ὅτι καὶ τὴν σὴν αὐθεντίαν προσβεβαιώσει, τοιοῦτος ὤν, ἔργοις αὐτοῖς, μᾶλλον δὲ καὶ ἀπὸ γραμμῆς φασιν αὐτῆς τῆς πρώτης ἐντεύξεως διοπτεύσεται τὸ ἦθος τοῦ ἀνδρὸς ἡ διορατικωτάτη σου ἀγχίνοια καὶ οὐ δεήσεται λόγων ἢ ἔργων συνιστώντων τοῦ λοιποῦ. Πολυχρόνιον διαφυλάττοι θεὸς τὴν πανσέβαστον αὐθεντίαν σου.

ξη'. Τῷ Παβυάτῳ κῦρ Γεωργίῳ.

1. Ἀδικεῖς, ὦ φιλότης, ἀδικεῖς, οὐχ ἁπλῶς ἀλλὰ πολλαπλῶς. Γυμνὸν γὰρ περιβολῆς καὶ δεινότητος προβαλοῦμαι τὸ ἔγκλημα, εἴ πως δριμύτερον οὕτω καθίκωμαι. Ναὶ ἀδικεῖς, ἵνα πολλάκις τὴν αὐτὴν ἐπενέγκω πληγήν, ἄνθρωπον καθαρῶς ἀγαπῶντα. Ἀγαπῶντα, λέγω; ὅλον τῆς σῆς ψυχῆς ἐκχρεμάμενον καὶ οὐκ ἐν δευτέρῳ τοῦ σαρκικοῦ καὶ μόνου ἀδελφοῦ τὰ κατὰ σὲ τιθέμενον. Ὅς, περὶ πλείονος ὢν ἔχω πραγμάτων τὰς σὰς ἄγων μερίμνας, ὁσημέραι μὲν αὐτὸς τῶν κατιόντων δεῦρο πυνθάνομαι, εἴ τις ἴδοι ἢ καὶ ἀκούσαι ὅπως

3. *καλοκαγάθω.* — 4. *συμβαλέσθαι.* — 8. *καλοκαγαθίας.* — 9. *ἐργοδέστατον. εἴπέρ ποτε.*

ξη'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 89,6 - 90,α.

26. *ἀκούσοι.*

Digitized by Google

ἔχων ἐστὶν ὁ τὰ πάντα καλὸς, ὁ λόγιος, ὁ σῶμα καὶ ψυχὴν εὐγενὴς, ὁ ἐμὸς Γεώργιος· ἆρα πράττει εὖ, ἆρα εὖ ἔχει τοῦ σώματος; οὐδὲ μιᾶς δὲ προσρήσεως ἀξιοῦμαι παρὰ σοῦ, οὐδ' αὐτῆς τῆς ἀπὸ Σκυθῶν, ὅ φασι, ῥήσεως, καί τοι καὶ παρ' ἄλλων μανθάνων τὰ κατὰ σὲ δεινὸν ἂν ἐλογιζόμην καὶ μόνην τὴν σιωπήν. 2. Νῦν δὲ τί με οἴει πάσχειν, μηδὲν σαφὲς ἐκ τῶν συχνῶν διδασκόμενον πεύσεων, ὅτι μὴ καὶ μᾶλλον ταῖς μαχομέναις συγχεόμενον ἀποκρίσεσιν; Οἱ μὲν γὰρ ἐν μεγαλοπόλει σε φάσκουσιν εἶναι, γήμαντα κατὰ νόμον καὶ πράττοντα εὖ· οἱ δὲ τοὐναντίον ἅπαν. 3. Μετά γε μὴν τὴν ἐαρινὴν ὥραν μεταβολῆς μεγίστων πραγμάτων γεγονυίας, ὡς γέγονε, καὶ συχνῶν κατεληλυθότων καὶ κατερχομένων, ἰδοὺ χειμῶνος ἀκμὴ καὶ οὐδεὶς ἐρωτώμενος κατὰ θέαν γοῦν παροδικὴν ἐντυχεῖν σοι φησὶν ἢ ἐντυχόντος ἀκηκοέναι τὸ ὁτιοῦν, ὅτε καὶ μᾶλλον διψητικώτερον ἔχομεν τῶν περὶ σοῦ ἀγγελιῶν, εἴ πως τῇ τοιᾷδε μεταβολῇ καὶ τὰ κατὰ σὲ πρὸς ἀμείνω κατάστασιν συμμετέβαλεν.

4. Ὁρᾷς ἡλίκα πάσχομεν· ἁπλοῦν καὶ φαῦλον τἀδίκημα, ὃς ἐξὸν ἄλλα ἐπ' ἄλλοις στέλλειν γράμματα οὕτως ἐᾷς ἡμᾶς ῥήγνυσθαι; Πότερον σῆς ὀλιγωρίας τὸ πρᾶγμα λογίσομαι ἢ καὶ τοῦτο τοῖς ἐμοῖς κακοῖς ἐπιγράψομαι, ὅπερ καὶ μᾶλλον; Ἀληθὲς γὰρ εἴπερ τι κἀκεῖνο, τὸ τοὺς ἅπαξ ἐκδεδομένους τοῖς πειρασμοῖς καὶ παρὰ τῶν φιλούντων καὶ τῶν κατὰ γένος προσηκόντων καταπροίεσθαι. Καὶ ἵνα μὴ Δαυὶδ καὶ Ἰὼβ ἢ τόνδε ἢ τόνδε ἐπάγω· πλήρης γὰρ ὁ βίος τῶν τοιούτων ἀρχαίων τε καὶ προσφάτων ὑποδειγμάτων· καὶ τὸν δεσπότην Χριστὸν, ἐπεὶ ἅπαξ ἑαυτὸν καθῆκεν εἰς τὸν ὑπὲρ ἡμῶν ἑκούσιον πειρασμὸν, πρῶτα μὲν οἱ ἴδιοί φησιν οὐ παρέλαβον, εἶθ' ὅσοι καὶ παρέλαβον, καὶ οὗτοι κατὰ τὸ κεφάλαιον τοῦ πειρασμοῦ, ὡς οὐκ εἰδότες, ἠρνήσαντο. 5. Ἀλλ' ἐπίσχες· μὴ τοῦ ῥηθέντος λαβόμενος, οἷος σὺ διαλεκτικὸς δεινὸς, οὐ λέγω ἐρι-

4. *αὖ τῆς τῆς.*— 13. *παροδικεῖν.* — 22. *εἴπέρ.* — 28. *ἴδιοι φησὶν.*— 30. *ἐπέσχες.*

Digitized by Google

στικὸς καὶ πρὸς σοῦ τοῦτο ποιούμενος, πειρῶ σεαυτὸν ἀπολύειν τοῦ αἰτιάματος, ὡς οὐδὲν καινὸν πλημμελοῦντα, εἰ καὶ αὐτὸς ἐγεγόνεις τῆς ἀναγκαίας φύσει, εἶτ' οὖν συμπιπτούσης κατὰ θεῖον φορᾶς. 6. Τοῦ δὲ κορυφαίου Πέτρου τὴν εὐγνωμοσύνην ἐνθυμηθείς, μίμησαί μοι τὸν καλὸν ἐκείνου μετάμελον καὶ ἐξελθὼν ἔξω τῶν διαλεκτικῶν κιγκλίδων καὶ λαβυρίνθων, ἔνθα καὶ δίκαιος ὢν ὁ λόγος καταδικάζεται, οὐ λέγω κλαῦσον πικρῶς· χαρίζομαι γάρ σοι τὰ δάκρυα· ἀλλὰ γράψον ἐφιεὶς τῇ ὀξυγράφῳ καὶ καλλιγράφῳ χειρὶ ἢ καὶ ὑπαγόρευσον ἑτέρῳ. 7. Ἀλλὰ τίς τοσοῦτον ὀξύχειρ ‖ ὡς ὑπουργῆσαι γλώττης εὐροίᾳ, καὶ αὐτὴν ὑπερνικώσης τὴν τῆς ἀπλανοῦς κίνησιν, ὡς μόνοι γε οἱ σοὶ δάκτυλοι παρὰ τῆς φύσεως ἡρμόσθησαν ἰσοταχεῖς τοῖς τοῦ σοῦ νοῦ καὶ τῆς σῆς γλώττης κινήμασιν. Εἰ δὲ καὶ μετὰ τὸ ἐμβλέψαι σοι τὸν διδάσκαλον διά τινος βλέμματος τοῦ παρόντος γράμματος οὐκ εἰς ὑπόμνησιν ἔλθοις τῆς ἀρνήσεως καὶ μετάνοιαν, ἄρα τοσοῦτον ἐξέπληξέ σε παιδίσκη τις πονηρά, ὁποῖαι κατὰ τὸν Σολομῶντα ποιοῦσιν ἐξίπτασθαι καρδίας, ὡς ὑπὸ κάρου βαθέος μικροῦ καὶ καταποθῆναι, καὶ κίνδυνος μηκέτι μνησθῆναι, κἂν πάντες φωνοῦντες ῥαγῶσιν ἀλέκτορες, μήτε διδασκάλου μήτε λόγων ἐκείνου, καὶ μάλισθ' ὅσους περὶ τῆς ἐκγάμων ἀσφαλείας ἐξέτεινεν; 8. Οἶδας ὅ φημι, ἀλλ' ἀπεύχομαι ταῦτα, ἀπεύχομαι. Εἴη δὲ τὰ λῴονα πάντα περὶ σοῦ καὶ παρὰ σοῦ πυθέσθαι καὶ πᾶσαν ὑπόνοιαν καὶ ἀκοὴν ἀλμυρὰν τοῖς ποτίμοις σου γράμμασιν ἀποκλύσασθαι.

ξθ'. Τῷ Αὐτωρειανῷ κῦρ Μιχαήλ.

1. Τοῖς μὲν παλαιοῖς εἰς τρὶς ἀνακαλεῖν τοὺς ἐπ' ἀλλοδαπῆς οἰχομένους ἐνομίζετο. Ἐγὼ δὲ πολλάκις τοῦτο οὐκ ὀκνήσω,

11. Κώδ. 90,α. — 17. *τίς*.— 24. *πύθεσθαι*.

ξθ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 90,α - 90,β.

www.libtool.com.cn

Digitized by Google

κἂν αὖθις οὐχ ὑπακούσῃς μηδὲν ἧττον ὡς πάλαι μοι τῇ φωνῇ· μὴ εἴη δὲ εἰπεῖν καὶ τῇ φιλιχῇ διαθέσει τεθνηκώς, ἵνα μὴ τῷ ὅλῳ φασὶ καὶ παντὶ, ἐκ δ' ἡμισείας δυστυχεῖς ὦμεν, ἡμιθνῆτος ἡμῖν διατηρουμένου σου καὶ τῷ καιριωτέρῳ ζωτικῶς ἔχοντος. 2. Ἀλλ' ἵνα μὴ κωφῷ, εἴτ' οὖν νεκρῷ πρὸς οὓς πολλάκις διαλεγόμενος ὄφλοιμι γέλωτα, φέρε λοιπὸν οἰκειότερόν τι ποιῶν ᾄσω σοι τὸν ἐπιτάφιον τῆς φωνῆς. 3. «Ὦ γλυκεῖα, ὦ φίλη, ὦ σοφὴ φωνή. Πῶς τέθνηκας ἔμοιγ' οὖν; Πότερον, ὡς τὴν τῶν ὀρνίθων τῶν ᾠδικῶν, οὕτω καὶ σὲ χειμὼν βάσκανος ἔσβεσεν ἄγξας; ἢ κατὰ τὴν τοῦ θείου Ζαχαρίου καὶ σὺ σιωπῆς ἐπιτιμίῳ δέδεσαι; Ἢ τούτων μὲν οὐδέτερον, διαλεκτικαῖς δὲ δογμάτων κιγκλίσι περιαγνυμένη ὅσα κρητικοῖς λαβυρίνθοις ἢ σύριγξιν αἰγυπτίαις οὐκέτι καὶ ἡμῶν εὐθὺ ποθεῖς φέρεσθαι γράμμασιν; Ἀλλὰ σὺ φροῦδη, ἀλλὰ σύ φειδωλὸς ἐρωμένη, οὐδὲ πρόσρημα χαριζομένη ἀντίφθογγον καὶ οἷον ἐκ τῶν πετραίων κοιλοτήτων ἀνταναχλώμενον, ἆρά μοι τέθνηκας; Οὐ γὰρ ἂν ἤσθα τοσοῦτον ἀνεπίστροφος ἀδολεσχοῦντος ἐραστοῦ, ὀκνῶ γὰρ εἰπεῖν ἀγνωμονεστέρα πετρῶν, τῶν ἐμῶν παιδικῶν φειδομένη.» 4. Ἀπόχρη μοι τοσοῦτον ἐποιμῶξαι τῇ ζημίᾳ τῆς φιλτάτης φωνῆς, ὦ καλὲ δέσποτα. Εἰ δ', ὅπερ ἀπεύχεσθαι χρὴ, πρὸς αὐτῇ τῇ φωνῇ καὶ τὴν ἀδελφάζουσαν στοργὴν τεθνάναι γνωστῶς γνώσομαι, ὦ μοι φίλτατε τῶν κατὰ θεὸν ἀδελφῶν καὶ φιλαδελφότατε, καὶ τοῦτο ἔτι προστίθημι· τί μοι σχετλιώτερον γένοιτο ἢ πῶς τὴν τοσήνδε συμφορὰν ὀλυφύρωμαι, τίνα τηνικαῦτα τραγῳδίαν ἁρμόσομαι; Ἀλλ' ἀπερύκοι τόδε θεὸς, ἐπανασώζοι δέ μοι μᾶλλον τὸν ἀδελφὸν ἐντελῆ καὶ στέργοντα ἀκραιφνῶς καὶ γράφοντα φιλικῶς καὶ, τῆς φωνῆς ἀναβιούσης, ἐμοὶ προσφθεγγόμενον. 5. Εἰ δ' ἀνάγκη κολούεσθαί μοι κἀνταῦθα τὸ ἀγαθὸν, ὡς οὐκ ἐξόν μοι χρηστοῦ τινος ἀπολαύειν ὁλοτελῶς, στέργοιμ' ἂν, εἰ μόνον στεργοίμην ἀπόρρητά τε καὶ ἄφθεγκτα καὶ μὴ μισοίμεθ' οὕτως, ὥστε μηδὲ γράμματι προσεννέπειν.

13. *αἰγυπτίοις*.— 16. *ἄρα*.— 31. *στέργει μ'*.— 32. *μισοίμεθ'*.

Digitized by Google

6. Μένε μοι τοίνυν βεβαία, φίλη ψυχή, τὰ δ' ἐν τῇ φωνῇ, εἰ καὶ τῶν ἐν ψυχῇ σύμβολα εἴρηται, ἀλλ' οὐκ ἀεὶ τὰ ἔνδον σαφῶς ἐξαγγέλλουσιν, ἀλλά τις ἕτερα μὲν κεύθει ἐνὶ φρεσίν, ἕτερα δὲ βάζει. Καί τινων λόγοι μὲν ὑπὲρ ἔλαιον ἁπαλύνονται, ὡς καὶ λόγοι Κερκώπων φησὶ μαλακοί, αὐτοὶ δὲ κεντρώδεις καὶ πλῆκται τοῖς πράγμασι· καὶ τῶν Χριστοῦ μαθητῶν ὁ μέν τις προδοὺς κατεφίλει καὶ χαῖρε Ῥαββὶ ἔλεγεν, ὁ δὲ φιλῶν μὴ εἰδέναι διισχυρίζετο. Καὶ περὶ τοῦ γράφειν γοῦν εἴποιμ' ἂν θαρρούντως, ὡς οὔτε τῷ ἐπιστέλλειν τὸ φιλεῖν ἔπεται πάντως, οὔτε τῷ μὴ ἐπιστέλλειν τὸ μισεῖν, ὡς ἐναντίῳ ἐναντίον ἁρμόσειε δήπουθεν.

7. Ὁρᾷς ὅπως ὡς ἄλλος αὐτὸς ὑπερλαλῶ τῆς μακρᾶς σιωπῆς καὶ τὸ παρὰ τοῖς πολλοῖς οὕτω δεινὸν ὡς καὶ λυτικὸν εἶναι φιλίας, εἴπερ πολλῶν ἀπροσηγορία φιλίας ἔλυσε, πάλαι ‖ που γέγραπται, οὐ λογίζομαι δεινόν, ἀλλὰ καὶ ἀπολύω τῶν ἐγκλημάτων. Τοιοῦτος ἔσο καὶ σὺ τὰ φιλικά, ἵνα ὡς πάντη πάντως ὁμόχρωμοι ταὐτιζώμεθα καὶ ἑνιζώμεθα παρὰ τῷ ἑνὶ καὶ μόνῳ θεῷ, ὃς καὶ διαφυλάττοι σε πολυχρόνιον.

ο΄. Τῷ καθηγουμένῳ τῆς μονῆς τοῦ Στουδίου κῦρ Λουκιανῷ.

1. Τὰ γράμματα τῆς σῆς τελειότητος ἐπελθών, πανοσιώτατε δέσποτα καὶ ἐν Κυρίῳ ἀγαπώμενε ἀδελφέ, παρεκλήθην μὲν, ὡς οὐκ οἶδα μεμνημένος πώποτε, ἦθος ἐκεῖνο χάριεν καὶ ἁπλοῦν καὶ φιλάληθες καὶ τῇ κατὰ Χριστὸν ἀγάπῃ καὶ ταπεινώσει σεμνυνόμενον ἀναθεωρῶν ἐμφανταζόμενον τοῖς γράμμασιν ὡς ἐν πίναξιν· ὅλον γὰρ ἐδόκουν ἔχειν τὸν θειότατον Λουκιανὸν συνόντα καὶ διομιλούμενον καὶ ταῖς παρ' ἑαυτοῦ χάρισι

5. *κερδρώδεις*.— 14. ‖ Κώδ. 90,6.— 17. *ταυτιζώμεθα*.

ο΄. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 90,6.

Τίτλος. *στουδείου. λουκιανῶ*.— 20. *παρεκλήθημεν ὡς*.

Digitized by Google

καταμελιτοῦντα τὴν ἐμὴν ἀκοὴν καὶ ψυχήν· ἠνιάθην δὲ αὖθις οὐδὲν ἧττον οἷς καὶ αὐτὸν σὲ κατεμάνθανον πολλῶν τῶν δυσκόλων πειρᾶσθαι καὶ τῆς ὑπὸ σὲ συνοδίας οὐ πάνυ εὐγνώμονος καὶ πειθηνίου πρὸς τὸ κατὰ Χριστὸν ἕπεσθαι. Καὶ πολλὰ τῆς καθ' ἡμᾶς γενεᾶς κατεστέναξα ὡς δυσαγώγου καὶ αὐτονόμου καὶ μὴ εἰδυίας καλῶς ἄρχεσθαι, καὶ μάλιστα τοῦ φύλου δὴ τούτου τοῦ μοναχικοῦ καὶ μηδὲν οὕτως κατεπαγγελλομένου ὡς τὸ ὑπήκοον, καὶ μηδὲ οἰκείῳ χρῆσθαι τοῦ λοιποῦ θελήματι, ἀλλὰ μόνοις τοῖς τῶν καθηγεμόνων νεύμασιν ἕλκεσθαι δίκην ὑποζυγίου τινός, καὶ οἷῳ παρεικάζων ἑαυτὸν ὁ Δαυὶδ κτηνώδης φησὶ πρὸς τὸν θεὸν ἐγενόμην παρὰ σοί.

2. Ἀτὰρ τί καὶ εὑρήσουσιν ἐν σοὶ οἱ χρηστοὶ Στουδιῶται σκανδαλουργὸν καὶ ἀντίξουν πρὸς τὸ μὴ ἀγαπᾶν ὑπὸ σοὶ καλῷ καθηγεμόνι ποιμαίνεσθαι; Ποῖον δὲ καὶ δυσβάστακτον φορτίον ἐπανατίθεται αὐτοῖς, ὃ μὴ πρῶτος αὐτὸς σὺ χερσὶν ὅλαις κουφίζεις, καὶ οἷς αὐτὸς ῥᾳδίως αἴρεις καὶ τοὺς λοιποὺς αἴρειν παρακαλεῖς, καὶ λόγοις καὶ ἔργοις διδάσκων θαρρούντως ὑποφωνεῖς· «μάθετε ἀπ' ἐμοῦ»; 3. Οὐκ ἐν μέσῳ αὐτῶν ἀναστρέφῃ ὡς διακονῶν, οὐχ ὡς διακονούμενος, οὐχ ὡς ἄρχων, ἀλλ' ὡς ἀρχόμενος; Οὐ τὸ αὐτὸ καὶ αὐτὸς ἀμπίσχῃ φαιὸν τριβώνιον; οὐκ ἐπὶ τῆς αὐτῆς τραπέζης τὰ αὐτὰ καὶ σοὶ παρατίθεται βρώματα; Οὐκ ἐγχεῖται καὶ σοὶ οἶνος ὁ αὐτὸς τοῖς λοιποῖς καὶ ἰσόμετρος; Οὐκ ἀποστολικῶς, εἴτ' οὖν προδρομικῶς, ζώνῃ σοι ἄχαλκος; Εἰ δὲ καὶ μὴ ἄρραβδος σὺ, ἔθει πατρικῷ πειθόμενος, ἀλλὰ τίς εἰπεῖν ἔχοι ὡς τῇ ῥάβδῳ ταύτῃ κατέαγε τὸ κρανίον ἢ ἕτερόν τι μέλος πέπληγεν; 4. Εἰςέλθετε οἱ καταφρονηταὶ εἰς τὸν κοιτωνίσκον τοῦ καθηγεμόνος ὑμῶν καὶ ἰδόντες ὡς οὐδέν τι ἕτερον κρύπτει ἀλλ' ἢ βιβλίον ἱερὸν καὶ τὰς ἐν κρυπτῷ προσευχὰς καὶ τοὺς στεναγμοὺς καὶ τὰ δάκρυα, ἐγκαλύπτεσθε, μὴ βουλόμενοι τὴν στενὴν καὶ τεθλιμμένην ἐλαύνειν ὑφ' ἡγεμόνι τοιούτῳ καὶ οὕτως εὐζωνότερον προοδεύοντι.

7. τοῦ λείπει. — 22. *οὐκεγχεῖται σοι καὶ.* — 24. *σοι ζώνη σοι. ἄραβδος.* — 26. *ἕτερον τί.*

www.ibtool.com.cn

Digitized by Google

5. Εἶτα τί πάθω τλήμων ἐγώ, μήτε τὰ παρακαλοῦντα τῆς ἐμψύχου ἀρετῆς ὑποδείγματα προβαλλόμενος καὶ ἄλλως δὲ λαχὼν ποίμνιον περὶ τὴν γῆν ἀεὶ κεκυφὸς καὶ τοῖς παροῦσιν ἀγαθοῖς ἐμβοσκόμενον καὶ δουλούμενον καὶ μὴ πειθόμενον ἀνανεύειν καὶ προοδεύειν πρὸς τὰς ἀφθάρτους νομὰς καὶ τὸ ὕδωρ τῆς ἐκεῖσε μακαριστῆς ἀναπαύσεως; Καὶ πάλαι μὲν ἦν διὰ ταῦτα περιδεὴς ἀεί τις καὶ δύσελπις, τὰ νῦν δὲ καὶ τὸ παρ' ἅπαν ἀπέγνωσμαι μηδεμιᾶς ὑποτεινομένης ἐλπίδος ἀγαθῆς τοῦ λοιποῦ. 7. Ἀλλ', ὦ σῶτερ καὶ ποιμὴν τῶν ἡμετέρων ψυχῶν, σώζειν ἀλλ' ἡμᾶς γοῦν αὐτούς, εἰ καὶ μὴ τοὺς λοιποὺς, κἂν ψευδοίμεθα τὸ ἐπάγγελμα. Τοῦτο καὶ σὺ προσεύχου ὑπέρ τε ἑαυτοῦ καὶ ἡμῶν, τἄλλα δὲ ῥείτωσαν ὡς θέλουσι, λέγει που πατήρ τις σοφός.

οα'. Τῷ ἐπὶ τῆς ἱερᾶς σακέλλης κῦρ Κωνσταντίνῳ τῷ Μεσοποταμίτῃ.

1. Ὀρατικόν φησιν ἄνδρα καὶ ὀξὺν ἐν τοῖς ἔργοις αὐτοῦ βασιλεῦσι δεῖ παρεστάναι· εἴποιμι δ' ἂν καὶ αὐτὸς, εἰ θέμις προσγράψαι τι τῇ γνώμῃ τοῦ σοφοῦ, ὡς οὐ βασιλεῦσι μόνον τὸν θεωρητικὸν ἄνδρα καὶ πρακτικὸν χρὴ παρεστάναι, ἀλλά γε καὶ αὐτῷ τῷ δι' οὗ βασιλεῖς βασιλεύουσι, τοῦτο δὴ ὅπερ ἄνωθεν ἐπὶ σοὶ διῳκήθη, ὦ καλὲ δέσποτα. 2. Τὸν γὰρ οὕτω μὲν ἀκριβέστατα διορῶντα, οὕτω δὲ ὀξύτατα πράττοντα ‖ ὡς μόνον ὑποδρηστεύειν ἄριστα τηλικαύτῃ ἀρχῇ, μᾶλλον δὲ διοικεῖν τὰ συνεκτικώτερα τοῦ παντὸς πῶς ἔδει ζημιωθῆναι ἢ, εἰπεῖν οἰκειώτερον, ἱεροσυληθῆναι τὴν ἐκκλησίαν Χριστοῦ,

7. *ταῦν. παράπαν.*—10. *τοὺς* λείπει.— 13. *τίς.*

οα'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 90,δ - 91,α. Ἀλλὰ καὶ ἐν αὐτῷ μένει ἀτελὴς, λείποντος ἐν τέλει ἑνὸς στίχου πιθανώτατα, ὡς φαίνεται ἐκ τοῦ ἐν τῷ κώδικι ἀφεθέντος κενοῦ.

15. *παριστᾶναι.*— 20. ‖ Κώδ. 91,α.— 17. *παρεστᾶναι.*

www.nbicool.com.cn

Digitized by Google

πάλαι θεῷ ἀνακειμένην κατὰ τὸν θεαίτητον Σαμουὴλ, πάλιν δ' αὖ μόνου γενέσθαι τοῦ ἱεροῦ βήματος; Πῶς ἠνέσχετ' ἂν τὰ βασίλεια πιστὸν οἰκονόμον καὶ φρόνιμον ζημιούμενα, ὁποῖον καὶ Χριστὸς αὐτὸς καλεῖ σπανιώτατα; Τοῦτο γὰρ οὐδὲν ἦν ἀτεχνῶς [ἕτερον ἀλλ' ἢ] τῆς ῥωμαϊκῆς ἀρχῆς ἀφαιρεθῆναι τὴν δεξιὰν καὶ τὸν πάνθ' ὁρῶντα ὀφθαλμόν.

3. Ἄριστα γοῦν ἀλλήλοις συμβάντα τὸ ἱερὸν καὶ βασίλειον ἀνάκτορον ἀμερίστως ἑαυτοῖς διενείμαντο καὶ κατεστήσαντό σε βασίλειον ἄντικρυς ἱεράτευμα· τολμήσας δ' εἴπω καὶ λίθον ἀκρόγωνον δυοῖν βημάτοιν, ἱεροῦ καὶ βασιλείου, μεσιτεύοντα καὶ συνόδῳ συνάπτοντα σύγκλητον. 4. Καὶ νῦν ἀποδίδως τὰ Καίσαρος Καίσαρι καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ καὶ κοσμεῖς ἀμφοτέρας αὐλὰς, ἱερὰν καὶ βασίλειον, καὶ ὡς ἀμφιφαής τις ἀστὴρ αὐγάζεις ἑκατέρωθεν καὶ θεραπεύεις τοὺς δύο υἱοὺς τῆς πιότητος τοὺς κατακωχίμους τῷ ἐλαίῳ τῆς χρίσεως. 5. Ἔξεστι γάρ σοι καὶ ἀμφοῖν διυπηρετεῖσθαι, δυσὶ μὲν οὖσι κυρίοις, καθότι τῷ μὲν ψυχῶν, τῷ δὲ σωμάτων ἄρχειν, καὶ τῷ μὲν ῥάβδος, τῷ δὲ ξίφος ἐγχειρίσται, ἐνιζομένας κατὰ τὸν Ζοροβάβελ καὶ τὸν τοῦ Ἰωσεδὲκ Ἰησοῦν τῷ αὐτῷ νοὶ καὶ τῷ αὐτῷ πνεύματι, καὶ τὸν πρῶτον ἀρχιερέα ὁμοῦ καὶ βασιλέα Χριστὸν ἐν ἑαυτοῖς εἰκονίζουσιν. Οὐ γὰρ ὡς θεὸς καὶ Μαμωνᾶς ἢ τὰ ἀμέσως ἀντίθετα, οὕτω καὶ οἱ κύριοι οὗτοι ἀλλήλοις ἀντικαθίζονται, ἵνα καὶ ὁ διακονῶν οἷς τὸν ἕτερον ἀγαπᾷ μισοίη τὸν ἕτερον, ἀλλ' ἑκάτερος παρ' ἑκάτερα ἀντερειδόμενος κατὰ τοὺς ἐν ταῖς οἰκοδομίαις ἀμείβοντας συνίσταται καὶ συνίστησι τὰ ἡμέτερα. 6. Οὐ μᾶλλον οὖν πρὸς τῆς σῆς ἐστιν ἀμφιδεξιότητος τὸ δύνασθαι τοῖς κυρίοις τούτοις διακονεῖν ἢ πρὸς τῆς ἑνώσεως τῶν διακονουμένων κυρίων καὶ ταὐτότητος, ὥς που καὶ τὸν Διομήδην οὐκ ἂν γνοίης ποτέροισι μετείη, ἢ Τρωσὶν ὁμιλοίη ἢ Ἀχαιοῖς. Κατὰ γὰρ τοὺς πλήθοντας χειμάρρους τῶν μὲν ὑπερεκύμαινε τὴν τάξιν, τῶν δὲ τὰς πυκνὰς ἐπέκλυζε φάλαγγας. 7. Σὲ δὲ γνοίη ἄν τις ὡς

5. *ἕτερον ἀλλ' ἢ* λείπουσι.— 28. *ταυτότητος.*

Digitized by Google

ἑκατέρῳ τῶν ἀρχαίων πληρωμάτων διομιλεῖς φίλα τε καὶ προσήγορα, καὶ συνὼν ἀμφοτέροις . . . . . .

www.rhotoi.com.cn

οϐ'. Τῷ Θεσσαλονίκης κῦρ Ἰωάννῃ.

1. Εὐδαίμων ἀεὶ καὶ τρὶς καὶ πολλάκις τοῦτο Θεσσαλονίκη τά τε ἄλλα καὶ ὅτι κληροῦχος ἀρίστων ἀρχιερέων ἐστὶ καὶ τοσούτῳ φιλανθρωποτέρων τῶν λοιπῶν ἐπί τε βίου ὀρθότητι καὶ λόγου λαμπρότητι, ὅσῳ καὶ αὕτη τῶν ἄλλων ὑπερίδρυται πόλεων. 2. Παραπολαύω δὲ τῆς κατ' αὐτὴν εὐδαιμονίας τοῦτό γε τὸ μέρος καὶ αὐτὸς, τὸ μέν τι προσήκων ὢν τοιοῖσδε ἀνδράσιν, ὥςπερ ἄρα τῷ μὲν ὁσίως καὶ ἱεροπρεπῶς ἀναπαυσαμένῳ ὅσα παῖς καὶ μαθητὴς οἰκειούμενος, σοὶ δὲ, ὦ τοῦ παντὸς ἀξία μοι κεφαλὴ, ὡς ἀδελφὸς γνησίως φιλῶν καὶ φιλούμενος, τὸ δέ τι καὶ ἀπολαμβάνων, ἐγγυτέρω μετασκηνοῦντας ἐκ τῆς βασιλίδος τῶν πόλεων, ὥςτε καὶ τὰς διὰ γραμμάτων ὁμιλίας ποιεῖσθαι συχνοτέρας καὶ μηδὲ τὴν αὐτοψίαν ἀπαγορεύειν ὡς οὐχ οἵαν τε γενέσθαι. 3. Εἰ δὲ καὶ τὰ τοὐμοῦ λάχους πάντα οἰκεῖα καὶ φίλα ἐμοὶ, πῶς οὐχὶ καὶ τὸ τῶν Ἀθηνῶν τηλικοῦτον βλάστημα καὶ θρέμμα φίλτατον ἐμοὶ καὶ κατὰ τοῦτο λογίζοιτο ;

4. Τοσούτοις καὶ τοιαῖσδε φιλικοῖς δεσμοῖς ἐξήρτημαί σου, θειότατε δέσποτα, καὶ παθῶ μὲν, εἰ οἷόν τε ἦν, ὁσημέραι προσλαλεῖν καὶ τὴν ἐντυχίαν σοφίζεσθαι ἢ ἀφοσιοῦσθαι τοῖς γράμμασι, τὸ δὲ ταραχῶδες τῆς παρούσης ζωῆς ἐκκρούει τὰ καθ' ἡμᾶς ἄλλων τε καλῶν καὶ τοῦ τοιοῦδε ἐφετοῦ. 5. Οὐ διαπιστεῖς μοι δήπου ἀρτίως, ἐπειδή περ ἐάλως καὶ σὺ ὡς ἡμεῖς καὶ τῷ δυσαχθεῖ τῆς ἀρχιερωσύνης ὑπέκυψας κύφωνι,

οϐ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 91,α.

5. *φιλαθρώπων*. — 20. *οἷον*.

Digitized by Google

καὶ, διὰ τῆς τῶν πραγμάτων πείρας ἐλθὼν, συγγινώσκοις ἂν, εἰ καὶ πρώην ἴσως εἰρωνείαν ἢ μικροψυχίαν ἡμῶν κατεγίνωσκες. Φυλάττοι θεὸς ἐρρωμένην τὴν σὴν ἀγιότητα.

www.noou.com.cn

ογ'. Τῷ Νέων Πατρῶν.

1. ‖ Σὺ μὲν, πανυπέρτιμε κεφαλὴ, ἔντεινε καὶ κατευοδοῦ καὶ τῇ βασιλευούσῃ τῶν πόλεων συμβασίλευε. Ἡμεῖς δ' ἐν φάει, μᾶλλον δ' ἐν σκότει ἀνιαρῶν· ποῦ γὰρ ἐν Ἑλλάδι φῶς χάριεν ; δουλεύσομεν. Ἀλλὰ μὴ τῆς αὐτοῦ που ἐλευθερίου λαβόμενος αἰθρίας, ἄστροις ὃ φασι τὰ δεύτερα τεκμαίρου, ἀλλ' ἀντιλαμβάνου καὶ πόνων ἐν τῷ μέρει μετρίων καὶ μᾶλλον ἕνεκα τῶν ἱερῶν φροντιστηρίων, ἅπερ, τὴν ἀρχὴν ὡς ἐργαστήρια ἡσυχίας ἐπινοηθέντα, νῦν εἴπερ ποτὲ ἡ τῶν πολλῶν φιλαρχία κυδοιμοῦ καὶ ζάλης ἐνέπλησεν. 2. Ἠλίκον ἔργον ὁ σὸς ζῆλος διεπράξατο, ὅτι τὸν ἀπὸ κοσμικῆς ἀναξυρίδος ἐπιβάντα τῆς ἡγουμενείας τοῦ Μυρρινίου παραλύσας τῆς ἀρχῆς, τὸν θαυμάσιον ἀντικατέστησας γέροντα. Ἀλλ' ὅρα τὸ τῆς φιλονείκου μοχθηρίας φιλότιμον· οὔπω, οἶμαι, τῆς ἐπὶ τὴν βασιλεύουσαν φερούσης ἤψω καὶ ὥςπερ ὕφεδρος ἀνταγωνιστὴς ἕτερος, αὐτόθεν ἐπαποδυσάμενος, κατήει δυσμαχώτερος μετὰ πραιτωρικῆς πρωτοκεντάρχου καὶ τῆς περὶ αὐτὸν εἰωθυίας τάξεως. Ἆρ' οὐ στεναγμῶν ταῦτα καὶ πολλῶν δακρύων ἄξια ;

3. Ἕτερον αὖθις μοναστήριον, ἐν Δαυλίᾳ διακείμενον καὶ τῇ τοῦ Δαυλίας ἐπισκόπου ἐνορίᾳ ὑποκείμενον, μοναχός τις

1. *συγγινώσκεις.*

Ογ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, καὶ ἡ μὲν ἐπιγραφὴ μόνη ἐν φ. 91,α, τὸ δὲ κείμενον τῆς ἐπιστολῆς ἐν φ. 91,6.

4. ‖ Κώδ. 91,6. — 6. *φασι.* — 8. *δευτερο.* — 9. *ἀντιλαζάρου.*— 11. *εἴπέρ ποτε.* — 15. *ἀντεκατέστησας.* — 19. *ἀκεντάρχου.*— 22. *τίς.*

Digitized by Google

Μιχαὴλ πειρᾶται τοῦ κατὰ χώραν ἐπισκόπου ἀποσπάσαι, ἔρωτι ἡγουμενείας. Ὃς καὶ, τῷ βασιλεῖ τῷ ἁγίῳ προσιὼν καὶ ἀνενεγκὼν ὅσα ὁ τῆς ἀρχῆς ὑπηγόρευεν ἔρως, ἠδυνήθη ἐπιλαβέσθαι τῆς προστασίας τοῦ τοιούτου μοναστηρίου καὶ τὸν παρόντα, προβληθέντα παρὰ τοῦ πρώην ἡγουμένου καὶ τῶν μοναχῶν καὶ σφραγισθέντα παρὰ τοῦ ἐπισκόπου, παραγκωνίσασθαι, ὃς καὶ δευτέρας εἰς τὴν μεγαλόπολιν ἀνόδου ἐδεήθη διὰ τὸ τῆς σῆς ὑπερτίμου ἁγιωσύνης ἀπόδημον. Ὃν γὰρ ἐπορίσατο ὁρισμὸν ἀμφοτέροις σοί τε καὶ ἐμοὶ διορίζεται, κατεξετάσας τὰ τῆς τοιαύτης ὑποθέσεως.

4. Παρρησιασάτω τοίνυν ὁ σὸς ἔνθεος ζῆλος περὶ τῶν μονῶν τῶν τε πατριαρχικῶν καὶ τῶν λοιπῶν καὶ τοὺς εἰςφθειρομένους αὐταῖς καθ' ἡδονὴν φιλαρχίας ἀκολάστου ἐκπεντησάτω ἐλέγχων δόρατι, ἵνα καὶ τὸ τοῦ Φινεὲς ἐξιδιώσῃ καλὸν ὡς καὶ τὰ τῶν ἄλλων δικαίων ἐξαίρετα. 5. Τόν γε μὴν τιμιώτατον κῦρ Εὐφραίμ χρὴ παντοίας ἀξιῶσαι ἀντιλήψεως ἀδικούμενόν τε καὶ τοσούτους ὑποστάντα κινδύνους καὶ κόπους διὰ τὸ τῆς σῆς ἁγιωσύνης ἀπόδημον. Τὰ δ' ἀπ' ἀρχῆς ἄχρι τέλους τῆς κατ' αὐτὸν ὑποθέσεως αὐτὸς ἀπαγγελεῖ δήπου καὶ παρὰ τῆς σῆς ἐπιστήμης ζητήσει καὶ εὑρήσει τὰ λύτρα. Πολυχρόνιον διαφυλάττοι σε Κύριος τῇ αὐτοῦ ἐκκλησίᾳ, τὸ ἡμέτερον καύχημα.

οδ'. Τῷ Παδυάτῃ κῦρ Γεωργίῳ.

1. Σὺ δὲ, ὦ μακάριε, οὐδὲ γράφειν ἡμῖν ἀξιοῖς τοῦ λοιποῦ. Μακάριον γάρ σε καλῶ πρὸς τὰ ἐφ' ἡμῖν ἀγαθὰ καὶ κυρίως συνεκτικὰ τῆς εὐδαιμονίας ἀποβλέπων, οὐ πρὸς τὰ τυχηρὰ καὶ ὑπόβλητα, ὅτι μηδ' ἀνέχομαι ἀτιμοτέραν ἑαυτῆς εἶτ' οὖν ἀδρανεστέραν λέγειν τὴν ἀρετὴν διὰ τὸ τῆς ἐπακταῦ ὕλης

οδ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 83,6 - 84,α.

Digitized by Google

ἀχορήγητον· ἀλλὰ τοῖς στωϊκοῖς πείθομαι μᾶλλον ἢ Σταγειρίτῃ, γενναιότερον καὶ τῆς ἡμετέρας φιλοσοφίας ἐγγύτερον ἀποχρῶσαν αὐτὴν ἑαυτῇ καὶ ἄνευ τῆς ἔξωθεν ὀργανικῆς ὕλης δοξάζουσι καὶ μόνον τὸν σοφὸν ὀνομάζουσι, τά τε ἄλλα τῶν μακαριζομένων καὶ μέντοι καὶ βασιλέα [ἀτιμάζουσιν]. 2. Ἀλλ' ὦ τί με παρέδραμε; Πρὸς Φιλίου στιγῇ ὑπανάγνωθι. Οὐ γὰρ ἀσφαλὲς ἐν οὕτω βασιλειῶσι καιροῖς τὴν στωϊκὴν παραδοξολογίαν οὐδ' ἐν παιδιᾶς προσπαίζειν σχήματι. 3. Τοῦ δέ γε μὴ γράφειν τὰς μὲν ἀληθεῖς αἰτίας αὐτὸς οἶδας δήπου, ἃ δὲ ἡμᾶς χρὴ καταμαντεύσασθαι, δοκοῦμεν οὐ παρ' ἄλλο τι ἐπέχειν τὴν πτερόεσσαν γλῶτταν ἢ χεῖρα ἀλλ' ἢ παρὰ τὸ φείδεσθαι ἡμῶν, ἵνα μὴ, γνωρίζων ἡμῖν τὰ κατὰ σὲ οὐκ εὖ πράττοντα, συλλυπεῖσθαι παρασκευάζῃς. Ἀλλ' ἐᾷς περὶ αὐτῶν, ἐν ἀδήλῳ κειμένων, ἀμφιγνοεῖν καὶ οὕτω μέσως διακεῖσθαι, οὔτε χαίροντας οὔτε λυπουμένους, μᾶλλον δ' ἐπικλινομένους πρὸς τὸ εὐθυμότερον, ἅπερ τοῦ βούλεσθαί σοι τὰ τῆς ἀμείνονος μοίρας συμπείθοντος τουτὶ καὶ φαντάζοντος. 4. Εἴη δὲ πράττειν σε κατ' εὐχὴν ἡμετέραν καὶ βούλησιν, ὡς τὴν φαντασίαν ἀληθίζεσθαι καὶ μὴ κενεμβατεῖν ἐπὶ μόνης εἰδωλικῆς ὀνειρώξεως. 5. Τὴν ἁγίαν κυρὰν προσκυνῶ· ἀλογίτζιν, τῶν νῦν εὑρισκομένων ἐνταῦθα τὸ κάλλιον, ἀπεστάλκαμεν τῇ εὐγενείᾳ σου καὶ δέξαι τοῦτο ὡς εὐλογίαν τῆς θεομήτορος, ἣ καὶ διαφυλάττοι σε πολυχρόνιον.

οε'. Τῷ ἐπὶ τοῦ κανικλείου κῦρ Θεοδώρῳ τῷ Εἰρηνικῷ.

1. Ἆρ' ἐπόψεται καὶ γράμμα ἡμέτερον καὶ τῶν ἐν αὐτῷ φωνῶν ἀκροάσεται ὁ πανσέβαστος ἐπὶ τοῦ κανικλείου, πάντ' ἐφορῶν καὶ πάντ' ἐπακούων ὑπὲρ τοὺς καλουμένους πάλαι βα-

5. *ἀτιμάζουσιν* λείπει. — 10. *ἄλλό*. — 11. *γλῶσσαν*. — 20. *ἀλογίτζην*.

οε'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 91,6 - 92,α.

Digitized by Google

σιλέων ἀκοὰς καὶ ὀφθαλμοὺς, ἢ παρὰ τοσοῦδε πατάγου ‖ καὶ βόμβου πραγμάτων κοινῶν καταψοφούμενος καὶ ἰλιγγιῶν παρόψεται τὴν σκυταλὴν ταύτην τῆς καθ' ἡμᾶς ἐσχατιᾶς καὶ τῇ ταύτης ἰσχνοφωνίᾳ τὰ τῆς ἀκοῆς ἐπιζυγώσει θύρετρα;

2. Ὅπερ οὐκ οἶμαι· μέσος γὰρ ἐστὼς θεοῦ καὶ ἀνθρώπων, ὥςπερ τις Μωσῆς ἢ κατὰ τὴν σολομώντειον παροιμίαν παρεστὼς βασιλεῖ ὡς ὁρατικὸς ἀνὴρ καὶ ὀξὺς ἐν τοῖς ἔργοις αὐτοῦ, οὐδενὸς οὐδὲ τῶν καθ' ἡμᾶς μικρῶν ἀνέξεται καταφρονεῖν.

3. Μέγα δὲ τούτου τεκμήριον τίθεμαι τὸ τὰς καθ' ἡμᾶς Ἀθήνας ἀναθεῖναι τῷ πανσεβάστῳ λογοθέτῃ, ἀνδρὶ τά τε ἄλλα καὶ τὴν περὶ τὰς Ἀθήνας καὶ ἡμᾶς διάθεσιν φιλικὴν πατρώζοντι ἢ καὶ τοῦ πατρὸς τοῦτό γε τὸ μέρος μέγ' ἀμείνονι. Πείθομαι γὰρ ὡς οὐ μᾶλλον αὐτῷ ἢ ἡμῖν χαριζόμενος διῳκονομήσω τοῦτο, ὦ τοῦ παντὸς ἀξία μοι κεφαλὴ, ὅτι καὶ μᾶλλον ἡμεῖς τῆς αὐτοῦ καλοκἀγαθίας παραπολαύσαιμεν ἄν· ἡμᾶς δὲ ὅταν εἴπω, Ἀθήνας λέγω· ἢ αὐτός τι τῶν Ἀθηνῶν ὄναιτο.

4. Ἀλλ' ὅπως τὸ ἀγαθὸν τοῦτο βέβαιον γένηται ἡμῖν· πολλοὶ γὰρ οἱ βασκαίνοντες καὶ πολεμοῦντες ἀπὸ ὕψους, καὶ μάλιστα οἱ μὴ στέργοντες ἂν ἔλαχον σπάρταν, μηδ' ἀγαπῶντες τοῖς ἐντὸς Ἰσθμοῦ, ἀλλὰ καὶ τῆς Ἀττικῆς ἐπιλαμβανόμενοι, οἳ καὶ Ἀθήνας ἄλλοτε ἄλλαις δραστηρίοις δυνάμεσι μνηστεύουσι δι' αὐτῶν, καὶ ἡμᾶς τὰ παραπλήσια τῷ πολυτλήμονι Ἄργους δρασείοντες· ἀλλ' ἀντέχου, πολυτίμητε κεφαλὴ, μὴ, τῆς Τορνικῆς καλοκἀγαθίας ἐκπεσόντες, καὶ μᾶλλον εἰ τύχοι ὁ λογοθέτης ἀπόδημος ὤν, ὑπὸ κακοποιῷ τινι δυνάμει γενώμεθα. Ὅπερ οὐ πεισόμεθα, ὡς ἐλπίζομεν καὶ εὐχόμεθα, σοῦ ζῶντος Χριστοῦ χάριτι καὶ ἐπὶ χθονὶ δερκομένοιο καὶ ἀπὸ δόξης εἰς δόξαν ἀεὶ μείζονα προβαίνοντος καὶ μᾶλλον οἰκειουμένου τῷ κρατίστῳ καὶ ἁγίῳ ἡμῶν αὐτοκράτορι.

---

1. ‖ Κώδ. 92,α. — 6. ὥσπέρ. — 15. *καλοκαγαθίας*. — 24. *καλοκαγαθίας*. — 26. *τινὶ*.

Digitized by Google

οϛ'. Τοῖς Βελισσαριώταις.

www.ibtool.com.cn

1. Εἴπερ τι ἄλλο κατ' εὐχὴν ἐμοὶ τὸ εὖ πράττειν ὑμᾶς καὶ ὑγιῶς ἔχειν τοῦ σώματος, ὦ τοῦ ῥωμαϊκοῦ πολιτεύματος σεμνολόγημα καὶ ἐμὸν ἴδιον μετά γε θεὸν ὄφελος καὶ καλλώπισμα. Τῆς γοῦν ὑμετέρας εὐπραγίας ὅσα καὶ ἱερᾶς ἀγκύρας ἐξῆπται τὰ καθ' ἡμᾶς, καὶ ὅπερ ὁ θεῖος Δαυὶδ φησιν, ὅτε ἀπηνήνατο αὐτῷ παρακληθῆναι ἡ ψυχὴ, ὡς ἅμα τε μνησθείη θεοῦ καὶ εὐφράνθη, τοῦτο κἀγὼ ἀτεχνῶς πάσχων περὶ ὑμᾶς οὐκ ἔφθην ἀπὸ ἀκηδίας νυστάξαι, καὶ διὰ τῆς ὑμῶν μνήμης παρακληθεὶς ἐν ὑπομονῇ καὶ καρτερίᾳ ἐβεβαιώθην καὶ τοῦ λυποῦντας λαθόμενος ἀπήλλαγμαι. 2. Εἰ δὲ ψιλὴ μνήμη τοσοῦτον δύναται, ἠλίκον μοι τὸ καὶ προσδιαλέξασθαι γράμμασι καὶ εἰπεῖν τι καὶ ἀκοῦσαί τι ἐν τῷ μέρει ἀπόδημον. Τὸ γὰρ καὶ θέας αὐτοπροσώπου ἀξιωθῆναί ποτε, τί ἄλλο ἢ θεοῦ πρόσωπον ἰδεῖν ἄντικρυς καὶ τὰ τῶν θεοπτησάντων παθεῖν; 3. Οὕτως ὑμεῖς ἅπαν σωτηριῶδες ἐστέ μοι, καὶ ἄγκυρα καὶ παράκλησις καὶ καρδίας τέρψις καὶ θεοὶ δεύτεροι. Ναὶ καὶ εἴητέ μοι διὰ βίου παντὸς, τοῦ θεοῦ διατηροῦντος ὑμᾶς ἐρρωμένους, πράττοντας εὖ, δυναμένους ἔργῳ καὶ λόγῳ, παρὰ θεῷ τε καὶ ἀνθρώποις μᾶλλον καὶ μᾶλλον προκόπτοντας. Τὴν ἁγίαν κυρὰν, τὴν ὄντως ἀγαθὴν ῥίζαν τοῦ ἀγαθοῦ καρποῦ, προσκυνῶ.

οϛ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 92, α.

1. *εἰπέρ.* — 5. *φησίν.*

Digitized by Google

www.libtool.com.cn

οζ'. Τῷ λογοθέτῃ τοῦ δρόμου κῦρ Κωνσταντίνῳ τῷ Τορνίκῃ.

1. Ὡς εὐδαίμων εἴπερ τις ὁ μακαρίτης καὶ πάνσοφος λογοθέτης τά τε ἄλλα καὶ οἷς ἀπῆλθεν ἐνθένδε οὐκ ἐρημώσας τῆς αὐτοῦ καλοκἀγαθίας τὸν ἀνθρώπινον βίον, συναποιχομένης οἷον καὶ συνταφείσης αὐτῷ, ἀλλ' ὑπὲρ γῆς μᾶλλον καταλελοιπὼς ταύτην ἔτι ζῶσαν καὶ ἔμβιον. 2. Αὐτὸς γάρ, πανσέβαστε, ὡς ἔμπνους ἐκείνου καὶ φυσικὸς χαρακτὴρ ἐν ἑαυτῷ τἀκείνου πάντα καλὰ φέρεις ἀθάνατα· τὸ δὲ χαριέστατον, οὐ τὰ ‖ ἐφ' ἡμῖν μόνον καὶ ὅσα φύσεως δῶρα πατρόθεν ἐκμέμαξαι, ἀλλὰ καὶ εἴ τι ἄλλο παρὰ τῆς τύχης ἐκείνῳ περιλοτίμηται καὶ τοῦτο οἷόν τις κλῆρος πατρῷος διέβη καὶ ἐπὶ σέ. 3. Καὶ μαρτυρεῖ μου τῷ λόγῳ τὸ ὕψος τοῦ ἀξιώματος, ἡ παρὰ βασιλεῦσιν οἰκείωσις, ἡ τῶν ἐμῶν Ἀθηνῶν ἐπιτρόπευσις καὶ διοίκησις, εἴ γε τυχηρὰ χρὴ ταῦτα καλεῖν ἀγαθὰ, ἀλλ' οὐ μᾶλλον ἀρετῆς γέρα βασίλεια.

4. Ἐπεὶ τοίνυν οὐ τέθνηκεν ἡμῖν ὁ σοφὸς λογοθέτης, ἀλλ' ἐπὶ βραχὺ χωρισθείς, ὅσον διδάξαι τοὺς κακοὺς γνώμαισιν ἡλίκον ἀγαθὸν ἐν χεροῖν ἔχοντες σὺ συνίεσαν, πάλιν ἐπανῆκεν Ἀθήναζε διὰ σοῦ, ἄγε ὦ πανσέβαστε κεφαλὴ, ζῶσον ὡς ἀνὴρ ἐκεῖνος, ὁ σὸς λέγω πατὴρ, τὴν ὀσφῦν σου καὶ τοῦ πατρὸς ἀμείνων φάνηθι, ὡς ἐν ἄλλοις πολλοῖς καὶ ἐν τῇ καθ' ἡμᾶς ἀντιληπτικῇ δραστηριότητι. 5. Πολλοὶ γὰρ οἱ πολεμοῦντες ἡμᾶς ἀπὸ ὕψους, ὧν πρῶτος ὁ πανυπέρτιμος, ὃς τὰ ἐντὸς Ἰσθμοῦ ἤδη κατεργασάμενος καὶ τῇ Ἀττικῇ σφοδρότερον προσβάλλει νῦν ἢ πρότερον, καὶ οὐχ ὥσπερ Ἀρχίδαμος δενδροτομῶν Ἀχαρνὰς καὶ τοὺς καρποὺς ληΐζόμενος, πολλῷ

οζ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 92,α - 92,β.

1. *εἴπερ*. — 3. *καλοκαγαθίας*. — 4. *συντραφείσης*. *κατελελοιπῶς*. — 8. ‖ Κώδ. 92,β. — 18. *ζῶσαν*. — 24. *προβάλλει*.

Digitized by Google

δὲ δεινότερα δρῶν ἄλλα καὶ κατὰ τὸν Δημάδην ἐπεγείρων τῇ πόλει ναυάγια, μᾶλλον δὲ τῇ ἐρημίᾳ τῆς ποτὲ πόλεως.

www.libook.com.cn

6. Πρόσχες τοίνυν ὡς οὗτος ἄλλαις τε μνηστεύει Ἀθήνας δραστηρίοις δυνάμεσι, γαμβροῖς καὶ συγγάμβροις βασιλέως, καὶ τῷ ὑποδρηστῆρι τοῦ μυστικοῦ, ὡς εἴ τινα φιάλην ἀφνειᾶς ἀπὸ χειρὸς, φησὶ Πίνδαρος, προπίνων ἐδωρήσατο· ἐπεί περ μετὰ τὸ ἐμπαροινῆσαι αὐτῷ ἐς φιλοτησίαν ἐτράπετο. 7. Περὶ μέντοι τῶν κατὰ μέρος ἔχομεν παραδηλῶσαι τῇ πανσεβάστῳ αὐθεντίᾳ σου. Μόνον διατηροίη ταύτην θεὸς ὑγιῆ τε καὶ εὔθυμον καὶ ἀπὸ δόξης εἰς δόξαν ἀεὶ μείζονα καὶ ἐγγυτέρω τῆς βασιλικῆς λαμπρότητος προβαίνουσαν.

οη'. Τῷ παρακοιμωμένῳ κῦρ Ἰωάννῃ τῷ Ἡονοπολίτῃ.

1. Παλαιὸς μὲν ἔφη τις σοφὸς, ὡς εἴπερ μὴ τὴν ἐν οὐρανοῖς θέσιν εἶχεν ὁ ἥλιος ἣν ἔχει λαχών, ἀπώλετο ἂν τὸ πᾶν. Ἐγὼ δὲ καὶ τὰ παραπλήσια μὲν τῇ τοιαύτῃ μετεωρολογίᾳ τοῦ σοφοῦ εἴποιμι ἂν ἐπὶ σοί, ὦ τοῦ παντὸς ἀξία μοι κεφαλή. Μάλιστα δὲ τῆς Γραφῆς ἐκεῖνα κατάλληλα· εἰ μὴ Κύριος Σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα στρατηγικὸν καὶ πιστὸν τὸν ἀπ' ἐναντίας τῷ τῆς ἀξίας ὀνόματι ἀκείμητον ὀφθαλμὸν τῆς ῥωμαϊκῆς στρατιᾶς, ὡς ἡ καταστραφεῖσα Πεντάπολις ἂν ἐγενήθημεν.

2. Καὶ τὴν μὲν πρεσβυτάτην Ῥώμην ἀπερρηγμένην τῆς νεωτέρας ὁ ἐν εὐνούχοις στρατηγικώτατος Ναρσῆς τῷ ἀοιδίμῳ Ἰουστινιανῷ παρεστήσατο, καταγωνισάμενος Γότθους καὶ Γερμανούς. Σὺ δὲ τὸ πλεῖστον τμῆμα τῆς ῥωμαϊκῆς ἀρχῆς

3. *πρόσχες.*

οη'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 92,6 - 93,α.

Τίτλος. ἡονοπο .— 18. *ἀπερατίας.*

Digitized by Google

ἀπερρωγὸς ἐπανήγαγες· τὸν γὰρ ἀποστατήσαντα πρῶτον μὲν τῶν ἑαυτοῦ φρενῶν, εἶτα καὶ τῆς ἰδίας καὶ κοινῆς κεφαλῆς ἥλεγξας ἄντικρυς κολοιὸν, ξένοις μὲν πτεροῖς κουφισθέντα ἐπὶ βραχὺ, μετὰ μικρὸν δὲ ψιλωθέντα καὶ τοῖς ὁρῶσι κείμενον γέλωτα.

3. Οὕτως ἔργοις αὐτοῖς ἀπεδείχθης μετὰ τὸν λαμπρὸν ἥλιον, τὸν αὐτοκράτορά φημι, φωστὴρ ἐν σκοτομήνῃ καὶ σωτὴρ καὶ σπέρμα στρατηγίας ῥωμαϊκῆς καὶ νέος Ναρσῆς εὐψυχότατος.

4. Τίνα οὖν σοι τῷ τοιῷδε νικητήριον πλέξω στέφανον; Τελείας γὰρ ἀρετῆς, ὡς ἔφη τις, οὐκ ἂν γένοιτο ἀξία τιμή. Τίνα ἕτερον ἢ ὃν ἐμὲ μὲν δοῦναι, σὲ δὲ λαβεῖν καθῆκόν ἐστιν; Ἔστι δὲ οὗτος. Ἐξαποστείλαι σοι Κύριος ὁ θεὸς βοήθειαν ἐξ ἁγίου κατοικητηρίου αὐτοῦ καὶ ἐπισκιάσαι μὲν ἐπὶ τὴν κεφαλήν σου ἐν ἡμέρᾳ πολέμου, θείη δὲ ἐπ' αὐτὴν ἄλλον ἐπ' ἄλλῳ νικητήριον στέφανον· καὶ μὴ λήγοις ἐκθλίβων μὲν καὶ λεπτύνων ὡς χνοῦν ἅπαν ἀντίξουν τῷ ῥωμαϊκῷ πολιτεύματι, ἄλλοτε δὲ ἄλλους πεπεδημένους ἐξάγων ἐν ἀνδρείᾳ καὶ παραπέμπων δεῦρο θύσοντας θυσίαν σωτηρίου τῇ θεομήτορι καὶ ἀπαγγελοῦντας ἡμῖν ἄλλον ἄλλο τι τῶν σῶν ἀνδραγαθημάτων ἀεί τι καινότερον, πάντας δὲ τὴν καλοκἀγαθίαν τὴν σὴν, καὶ ὅπως μαχόμενος μὲν ἡρωϊκὸν αὐχεῖς τὸ μεγάθυμον, ἡττῶν δὲ τὸ πολέμιον ἥμερον προσβλέπεις αὐτὸ τοῦ λοιποῦ καὶ φιλάνθρωπον, καὶ τῶν ἀναστατωθέντων οὐκ ἔφθης περιγενέσθαι καὶ πράως ἐφείσω ὡς τῆς ῥωμαϊκῆς ἀρχῆς οἰκείων μελῶν, καὶ ἰάσω νοσοῦντα καὶ οὐκ ἀποτόμως ἐχρήσω κατὰ τοὺς ἀτέχνους ἰατροὺς, οἳ, τῶν μελῶν ἕνια ὑπ' ἀτεχνίας θεραπεύειν ἀτονοῦντες, σιδήρῳ καὶ πυρὶ δαπανῶντες ἀνάλωσαν.

5. ‖ Οὐ γὰρ ἠγνόησας ὡς τὸ νῦν στασιάζον οὐ φύσει Ῥωμαίοις ἐστὶ πολέμιον, ἀλλ' ὑπὸ τῶν στασιαστῶν καὶ ἀποστατῶν χθὲς καὶ πρότριτα πεπολέμωτο· ὅπερ ἐπεπόνθει ἂν ἕτερος, ὑπὸ θυμοῦ ἀχαλινώτου καὶ ζήλου τοῦ μὴ κατ' ἐπίγνωσιν ἐπισκοτούμενος καὶ καταστρατηγούμενος. Σὲ δέ φα-

1 - 2. *ἐπανήγαγες - κεφαλῆς* προστεθειμένα ἐν τῇ ὥᾳ.— 6. *αὐτοκράτορα φημὶ*.— 9. *τίς*. — 12. *ἐπισκιάσοι*. — 18. *ἄλλό*. — 19. *καλοκαγαθίαν*.— 27. ‖ Κώδ.93,α.— 31. *φασί*.

www.libtool.com.cn

Digitized by Google

σιν ἐλεεῖν μᾶλλον ἢ μισεῖν καὶ κολάζειν τῆς ἀπονοίας εἶτ' οὖν ἀνοίας τὸ ἀποστατοῦν καὶ διαλλάττειν τῷ αὐτοκράτορι.

www.libtool.com.cn

6. Τοιοῦτόν σε θεὸς ἐπὶ τῆς καθ' ἡμᾶς γενεᾶς ἀνέδειξε προβλῆτα Ῥωμαίων, παυστῆρα πολέμων, καθαιρέτην στάσεων, ἁρμοστὴν ἀναστατουμένων, εἰρήνης πρύτανιν καὶ ἄξιον διὰ ταῦτα ἐς μακροὺς χρόνους διατηρεῖσθαι τῷ κραταιῷ καὶ ἁγίῳ ἡμῶν βασιλεῖ, ὡς πολυόμματόν τινα καὶ ἄγρυπνον φύλακα καὶ Χριστιανοῖς ἡμῖν κοινὸν ὄφελος.

οθ'. Τῷ Νέων Πατρῶν.

1. Ἑλλάδος δὲ, ὡς ἔοικεν, οὐκέτι ἐπιστρέφῃ, μακάριε, μόνῃ δὲ προσανέχεις τῇ βασιλίδι τῶν πόλεων· καὶ εἰκότως. Τίς γὰρ εὖ φρονῶν οὐκ ἂν ἀγαπῴη ἄλλον οἰκῶν Ὄλυμπον, ἔνθα αἴθρη πέπταται ἀνέφελος, ἐπιζητοίη δὲ εἰς τὸν κατωτάτω τοῦτον Τάρταρον κατακυλινδεῖσθαι, ἔνθα κότος τε φθόνος καὶ ἄλλα ἔθνεα κηρῶν, τοσούτῳ τοῦ μυθευομένου Κρόνου ἀθλιώτερον, ὅσῳ μηδ' ἐλέους τῆς τοιᾶσδε συμφορᾶς κολουόμεθα διὰ τὸ τῆς ταρταρώσεως ἐθελούσιον. 2. Ἀλλὰ τὸ μὲν δι' ἐνίων περιόδων ἀναδύεσθαί ποτε εἰς τὴν μακαρίαν λῆξιν καὶ αὖθις καταδύεσθαι φέρει τινὰ τῇ διακοπῇ τοῦ κακοῦ ἀνάψυξιν, τὸ δὲ ἀεὶ καταδεσμεῖσθαι ὑποχθόνιον οὐδέν ἐστιν ἕτερον ἀλλ' ἢ Τιτάνων ἀδιεξίτητον δεσμωτήριον. 3. Εὐδαιμονίζω γοῦν σε διὰ ταῦτα, σοφώτατε δέσποτα, οἷς ἐνθένδε μεταίρεις ἐνίοτε πρὸς τὴν εὐδαίμονα πόλιν τοῦ κράτους αὖθις, ἐμαυτὸν δὲ ταλανίζω, καταδεδικασμένον ἀειφυγίαν τινὰ τῶν αὐτόθεν. . . . .

7. *πολυόμματον τινά.*

οθ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 95,6, ἀλλὰ φαίνεται κολοβή. Πρὸς τοῖς ἄλλοις λείπει ἐξ αὐτῆς τὸ ἐν τέλει τῶν ἄλλων ἐπιστολῶν σύνηθες +.

15. *τοιᾶσδε* κατὰ διόρθωσιν, δι' ὠχροτέρου μέλανος, τοῦ τὸ πρῶτον γραφέντος *τοιᾶς*. — 16. *μὲν τῶν δι'*. — 19. *τιτάνου*. — 23. *καταδεδικασμένην*.

Digitized by Google

π'. Τῷ γέροντι τῆς μονῆς τοῦ Κομνηνοῦ κῦρ Ἀθανασίῳ.

www.libtool.com.cn

1. Εἰ, παροδικῶς καὶ πρὸς βραχὺ ἐντυχόντες τῇ σῇ τελειότητι, οὕτως ἐάλωμεν τῶν σῶν κατὰ πνεῦμα χαρίτων, ὡς φαντάζεσθαι τὸ σὸν θεοειδὲς πρόσωπον ὥςπερ τι ἀρετῆς ἔμψυχον ἴνδαλμα, τί παθεῖν ἐμέλλομεν, εἰ πρὸς καιρὸν ἐνεφορήθημεν; Πάντως ἐξέστημεν ἂν ἕκστασιν σώφρονα καὶ εὐδαίμονα ἢ καὶ ἀλλοίωσιν τῆς δεξιᾶς τοῦ Ὑψίστου, κατὰ τὸν θεῖον εἰπεῖν Δαυὶδ, ἠλλοιώθημεν· τάχα καὶ τῆς ὁδοῦ ἦν ἠλαύνομεν λαθόμενοι σοὶ ἂν προσεκολλήθημεν ὡς ἡγεμόνι τῆς πρὸς οὐρανὸν φερούσης ὁδοῦ, καί τοι καὶ τοῦτο πάσχω τρόπον ἄλλον. Οὐ γὰρ ἀποκρύψομαί σε τὸ πάθος τῆς ἐμῆς ψυχῆς.

2. Ἐν Ἀθήναις γὰρ τυρβαζόμενος, τί γὰρ ἄλλο ἡ κατ' ἐμὲ ζωὴ ἢ τύρβη καὶ τοῦ νοὸς ἐπισκότησις; φαντάζομαι τὸ κατὰ σὲ φροντιστήριον, τὸ πάσης ἀρετῆς ἐργαστήριον, καὶ δοκῶ προσβλέπειν μὲν τὴν κατὰ Χριστὸν κεχαριτωμένην μορφὴν καὶ μυρίας ὅσας ἀκτῖνας τῆς φωτοειδοῦς ψυχῆς ἀποβλύζουσαν, ἀκούειν δὲ τοῦ θείου στόματος λόγους ἐκείνους προσρέοντας ὅσοι ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας ἐκφέρονται. Οὕτως ἐξήρτημαι τῆς σῆς ἀρετῆς, ἄκρῳ καὶ ταῦτα δακτύλῳ ταύτης γευσάμενος. 3. Μακαρία ἡ ὑπὸ σοὶ ὁδηγῷ τὸν καλὸν δρόμον τρέχουσα συνοδία. Ἡμέρας ὁ ἥλιος οὐ συγκαύσει ταύτην, οὐδὲ ἡ σελήνη τὴν νύκτα, οὔτε μὴν προσκόψει ποτὲ τοσούτῳ καταλαμπομένη φωτὶ ἀρετῆς ἀρχηγέτιδος. 4. Ἀλλ' ἐπεὶ κἀμὲ ζηλωτὴν καὶ ἐραστὴν καὶ ὀπαδὸν τῇ προαιρέσει ἔσχες καὶ διὰ μόνης ἐντεύξεως, ἐπισκέπτου καὶ τὰ καθ' ἡμᾶς καὶ πρὸς τὸ καλὸν ἐπίστρεφε λόγοις τε ἐπιστολιμαίοις καὶ προσευχαῖς. Ὁ ἥλιος ἐν οὐρανῷ τέθειται, ἀλλ' εἰς γῆν κατα-

π'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 96, α.

1. *προσβραχύ*.— 3. *ὥσπέρ*.— 23. *ὀπαδύν*.

Digitized by Google

πέμπει τὴν θάλψιν καὶ λάμψιν αὐτοῦ. Κατὰ ταῦτα γοῦν καὶ αὐτὸς, ὁ τῆς ἀρετῆς ἥλιος, ἰσχύεις, εἰ βούλει, τὴν καθ' ἡμᾶς ἐσχατιὰν πολυτρόπως τὰ ἐς ψυχὴν ζωογονεῖν. Ναὶ καὶ ζωογονοίης, πανοσιώτατε πάτερ καὶ δέσποτα, θεὸν ἡμῖν ἱλεούμενος.

πα'. Τῷ ἀναγραφεῖ κῦρ Γεωργίῳ τῷ Κολυμβᾷ.

1. Προφθάνεις τὴν παρ' ἡμῶν μέμψιν, πανσέβαστε καὶ φίλη μοι κεφαλὴ, κατὰ τοὺς δεινοὺς εἶτ' οὖν προαλεῖς τὰ πολέμια ‖. Ἦ γὰρ οὐ δικαιότερον ἂν αἰτιασαίμην αὐτὸς οἷς οὐκ ἔτλης ἐν Θήβαις προσμεῖναι βραχὺ καὶ κατιόντας ἐκ Βυζαντίου θεάσασθαι, ἀλλ' ἡμῶν εἰσιόντων αὐτὸς ἐξῄεις ἑτέρωθεν. Ἀλλὰ τοῦτο μὲν οἶδ' ὅτι ῥᾳδίως ἡ ἄμαχος ἀποτρέψεται γλῶττα μεταθεμένη τὴν αἰτίαν ἐπ' ἄλλο τι τῶν ἔξωθεν. Τάχα καὶ τὰ περὶ τὸν Ἰσθμὸν πειρατικὰ παρεισκυκλήσει ἔνεδρα, ἅπερ οὐκ ἀκίνδυνον ἦν σοι διελθεῖν ὑστερήσαντι δι' ἡμᾶς τῶν τὴν αὐτὴν στελλομένων καὶ ψιλωθέντι τοῦ ἐκεῖθεν συμμαχικοῦ. Ἀληθὴς γὰρ ἦν, ὡς ἔοικεν, εἴπερ ποτὲ καὶ νῦν ἡ παροιμία ἡ λέγουσα «οὐ παντὸς ἀνδρὸς ἐς Κόρινθον ἔσθ' ὁ πλοῦς.» 2. Πῶς οὖν ἄνευ Θησέως, εἰρήσθω γὰρ καὶ τὸ παροιμιῶδες τουτὶ, τὰ λεγόμενα κακὰ τερμέρεια παρώδευσας ἢ καὶ πολλῷ τούτων χείρονα, εἴπερ καὶ οἱ νῦν πειρατεύοντες θηριωδέστεροι τῶν πάλαι λοχώντων περὶ τὸν Ἰσθμόν; Οἶδας τοὺς Πιτυοκάμπτας, Προκρούστας τε καὶ Σκίρωνας. Τοιαῦτα παραβαλλόμενος σαυτὸν μὲν τῆς αἰτιάσεως ἀπολύσαις ἄν, ἡμῶν δὲ γράψαιο, μᾶλλον δὲ ἤδη καὶ ἐγράψω ὑπεροψίαν προστριβεῖσαν ἡμῖν ἐκ τῶν σεμνῶν θεαμάτων τῆς βασιλίδος τῶν πόλεων καὶ τὸ τεκμήριον ἄλυτον οἷον ἐπήγαγες, τὸ μηδέπω σοι ἐπιστεῖλαι κατιόντας Ἀθήναζε.

πα'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 96,α - 96,β.

8. ‖ Κώδ. 96,β. ἢ.— 12. ἄλλό.— 16. εἴπέρ ποτε.— 26. μηδέπω.

Digitized by Google

3. Εἶτα τίς ἂν ἡμῶν ἀθλιώτερος γένοιτο, εἴπερ τὰ τῆς γραφῆς ἐστιν ἀληθῆ; Εἰ γὰρ τοσόνδε κάματον ὁδοιπορίας ἀνατλάντες καὶ τἆλλα ὅσα προὔλεγες αὐτὸς ἡμῖν πρὸ τῆς ἐντεῦθεν ἀνόδου καὶ τὴν πόλιν τοῦ κράτους ὀψὲ καὶ μόγις ἰδόντες οὐδὲν ἄλλο ἐκεῖθεν ἐμπορευσάμενοι κατήλθομεν, οὐχ ὕψος ἀξιωμάτων, οὐ κτήσεων καθιέρωσιν ἢ ἑτέραν τινὰ δωρεὰν βασίλειον, ὅτι μὴ μόνον ὀφρῦν καὶ τῶν φιλούντων ὑπεροψίαν, πότερον εὐήθεις μᾶλλον ἡμεῖς ἢ δυστυχεῖς; 4. Ἀλλὰ θάρρει σοφὴ κεφαλή· οὐχ οὕτως τὰ καθ' ἡμᾶς κεχαύνωνται. Ὡς ἂν δὲ τῶν φιλικῶν παραπολαύσῃς καὶ αὐτὸς ἀγωγίμων, οὐκ ἀποκρύψομαί σε ἅπερ ὠνάμην τῆς ἀναβάσεως. Οὐ μὰ τὸν ἐμόν τε καὶ σὸν Φίλιον, μή μοι ἀπιστήσῃς, πανσέβαστε, ὡς μετριώτερον ἔχω τοῦ φρονήματος νῦν ἢ πρότερον. 5. Ὡς εἴ τις γὰρ πένης ἴδοι που θησαυρὸν βαθὺν καὶ οἷον εὐδαίμονα βασίλεια ταμιεύονται, τηνικαῦτα μᾶλλον ἐσχάτην ἑαυτοῦ πενίαν κατέγνωκε· πολλοὶ δὲ τῶν μακαρίων ἀνδρῶν μετὰ θεοπτίαν ἐταλάνιζον ἑαυτοὺς καὶ γῆν καὶ σποδὸν ὠνόμαζον· οὕτω καὶ ἡμεῖς, τοὺς ἐν τῇ βασιλίδι πόλει θείους ἄνδρας ἱστορηκότες καὶ τῇ πρὸς ἐκείνους παραθέσει τῆς ἑαυτῶν οὐθενείας μᾶλλον αἰσθόμενοι, ἔγνωμεν ἑαυτούς, τοῦτο δὴ τὸ ἐργωδέστατον καὶ ὀλίγοις κόμιδῇ ληπτὸν μάθημα, καὶ, κατὰ τὸν θεῖον Δαυὶδ εἰπεῖν, ἐταπεινώθημεν σφόδρα. 6. Οὔκουν καὶ τὸ σιγᾶν ἐς δεῦρο ὑπεροψίας ἦν, ὅτι μὴ καὶ μᾶλλον ὑποστολῆς. Ἐπεὶ δὲ φώνημα σὸν ἀκούσας οὐχ οἷός τε ἦν σιγᾶν, ἰδοὺ φθέγγομαι καὶ προσφθέγγομαι τὰ πρῶτα τῶν φίλων καὶ κατασπάζομαι καὶ ἐπεύχομαί σοι καθαρὰν ὑγίειαν καὶ εὐθυμίαν καὶ τῶν πεπιστευμένων σοι πράξεων εὐμάρειαν, ἵνα καὶ δι' αὐτῶν τῶν ἀποτελεσμάτων βεβαιωθῶ τὸ σὸν περὶ τὰ πράγματα ἀμφιδέξιον καὶ ἡμεῖς ἐπαινεταὶ ἀληθεῖς καὶ οὐ διὰ φιλίαν τυφλώττοντες δόξωμεν. Ἐρρωμένην τὴν πανσέβαστον αὐθεντίαν σου διαφυλάττοι ὁ Κύριος.

---

13. *ὡσεὶ*.— 24. *οἷος*.— 26. *ὑγείαν*.

Digitized by Google

πϐ'. Πρὸς τὸν αὐτὸν καὶ τὸν σύντροφον αὐτοῦ κυρὸν τὸν Νομικόπουλον.

1. Ἤδη πάντων ἡ μοχθηρία περίεστι, πανσέβαστοι κεφαλαί, ὅτε καὶ τὴν εὐθύτητα τῶν κανόνων, τοῦτο γὰρ πᾶς ἐξισωτὴς δήπου, οἱ ἐνδιάστροφοι παρεγκλίνουσιν. 2. Οὐ σὺ, πανσέβαστε κῦρ Σέργιε, τὰ ἀθηναϊκὰ πρακτικὰ στρέφεις ἐν ταῖς χερσὶν ὅλον ἐνιαυτὸν, οἷς συγγέγραπται καὶ τὸ ὑπὸ τὴν ἀθηναϊκὴν ἐπίσκεψιν τελοῦν χωρίον ὁ Ὠρωπός; Οὐκ ἐδόθη σοι ἐν Ἀθήναις καὶ τὸ τούτου ἀναγραφικὸν ζήτημα μετὰ τῆς λοιπῆς ἀθηναϊκῆς ἐπισκέψεως; Καὶ πῶς νῦν ἠνέσχου τυπωθῆναι καὶ αὖθις παρὰ τῶν Θηβαίων τοῦτο; Θηβαίων οὓς ἐγὼ μὲν οὐδὲν ἐρῶ φλαῦρον, τὸ δὲ πραιτωρικὸν σημείωμα, ὃ περὶ τῆς τοιαύτης ὑποθέσεως ἐπὶ τῇ αὐτῶν ὁμολογίᾳ προέβη, ἀναγνόντες, οὐκ ἂν τοῦ λοιποῦ ῥᾳδίως πιστεύοιτ' ἂν τοῖς κατωκοῖς. 3. Ἔχοντες οὖν καλῶς ἐάσατε τὸ πολυ‖παθὲς χωρίον ἀνεπηρέαστον. Ὁ Κύριος διαφυλάττοι τὴν πανσέβαστον αὐθεντίαν ὑμῶν πολυχρόνιον.

πγ'. Τῷ Χαμάκωνι κῦρ Γεωργέῳ.

1. Ἀκήκοα, πανσέβαστε κεφαλὴ, πολλῶν ἀπαγγελλόντων ἐμοὶ, ὡς οὐδέπω τοῦ πένθους ἀνέσφηλας, οὔτε μὴν διεσκέδασταί σοι τὸ νέφος τῆς ἀθυμίας, οὐδ' ἡ φορὰ τῶν δακρύων ἐπέλιπε. Καὶ πρῶτα μὲν σφόδρα τεθαύμακα, ὅπως ὁ γενναῖος καὶ

πϐ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 97,β-98,α.

Τίτλος. *τὸν νομικόπουλον* προστεθειμένα ἐν τῇ ὥᾳ, μὴ ἐπαρκέσαντος ἐν τῷ κειμένῳ τοῦ χώρου τοῦ ὡρισμένου διὰ τὴν ἐπιγραφήν. — 13. ‖ Κώδ. 97,α.

πγ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 97,α - 97,β.

Digitized by Google

πολλὰς πειρασμῶν νηφάδας μεγαλοψύχως ὑποστὰς νῦν ὡς ἄγευστος ἀνιαρῶν κατεπόθης ὑπὸ τῆς συμφορᾶς καὶ τῶν ταῦτα παθόντων ἁπάντων ἠλέγχθης φιλοπενθέστερος, μᾶλλον δὲ ὁ πολλοὺς παρακαλέσας πρότερον ἐφ' ὁμοίοις παθήμασι νῦν ἐάλως αὐτὸς παθαινόμενος ὑπὲρ ἅπαντας. Εἶτα μέντοι τὸ μέγεθος τῆς συμφορᾶς ἐπιλογισάμενος καὶ ὡς πᾶσα συζυγίας διάζευξις διχοτομία τίς ἐστιν ἀτεχνῶς, εἴπερ εἰς μίαν συσσαρκίαν ἑνίζονται τὰ ὁμόζυγα, τί καινὸν, εἶπον, εἴ περ ὡς ἐφ' ἑνὸς ζῴου θατέρου τῶν μερῶν ἀπιόντος καὶ τὸ λειπόμενον ἔφθαρται, οὕτω καὶ ἐπὶ τῶν νόμῳ συνεζευγμένων, ἑνὸς διαστάντος τμήματος, τὸ ἔτι περιὸν συναπέναι ποθεῖ, μὴ φέρον τὴν μόνωσιν, καὶ ἄλλως δὲ εἰ τὰ ἡνωμένα μὴ μόνον εἰς σάρκα μίαν, ἀλλὰ καὶ εἰς ψυχὴν μίαν κέκραται, πῶς τῶν οὕτως ἀκριβῶς ἡρμοσμένων ἡ λύσις οὐ μερισμός ἐστι ψυχῆς τε ἅμα καὶ σώματος ἄντικρυς; 2. Οὔκουν μεμψαίμην σοι τοῦ λοιποῦ, ἀνδρῶν ἄριστε, οὕτως ὀδυνωμένῳ καὶ ὀδυρομένῳ ἀπέραντα, μᾶλλον δὲ ἡμιτόμῳ καὶ ἡμιθνῆτι ὁρωμένῳ μέλει καὶ θανάσιμα περισπαίροντι· ἅπερ ἐπεπόνθει ἂν δήπου καὶ ὁ πρωτόπλαστος ἀφαιρούμενος τὴν πλευρὰν, εἴπερ μὴ φθάσας τὴν αἴσθησιν ἀπεδάλετο, ὑπνώσας ἐκστατικώτερον. Σὺ δ' ἀλλὰ τοὐναντίον αἰσθόμενος πρότερον τῆς ἀφαιρέσεως τῆς πλευρᾶς, εἶτα ὑπὸ περιωδυνίας καὶ ἀθυμίας ἐξέστης μικροῦ. Ἐνόσταξε γὰρ ἀπὸ ἀκηδίας ἡ ψυχή σου καὶ παρακληθῆναι τὴν ἀρχὴν ἀπαναίνεται.

3. Ταῦτ' ἄρα καὶ αὐτὸς τῶν παρακλητόρων λόγων τῷ τέως λαθόμενος, πρὸς τὸ συμπενθεῖν σοι καὶ συνολοφύρεσθαι ὑπενεχθείς, οὕτω τοῦ θρηνεῖν ἀπάρχομαι. Ὦ οἷον χρῆμα γυναικὸς ᾤχετο, οἷα γένους σεμνότης, ἡλίκη κάλλους ἀκρόπολις. Κεῖται γυνὴ ἀρετῶν ἑστία, γυναικῶν καύχημα, καλλώπισμα φύσεως· ἧς τὸ μὲν ἀνδρεῖον καὶ τὸ σμῆνος τῶν λοιπῶν καλῶν Σολομῶν φθάσας προέγραψε, τὸν δὲ αὐτῆς ἄνδρα, ὡς εὑρηκότα τὸ σπανιώτατον τοῦτο χρῆμα, ζηλωτὸν ὠνόμασε

4. ἐφομοίοις.— 5. ὑπεράπαντας.— 18. ἐπεπόθει.— 25. τωτέως.

www.ibtool.com.cn

Digitized by Google

καὶ μακάριον· ἄμφω δὲ τούτους ὁ καθ' ἡμᾶς αἰὼν εἰς τὸ φῶς τοῦ βίου προήνεγκε. 4. Θάνατος δὲ, φεῦ τοῦ φθόνου, ἄρτι διαζεύξας τὴν μὲν ἐξ ἀνθρώπων ἀπήγαγε, τὸν δὲ τοσοῦτον νῦν ἐλεεῖσθαι παρεσκεύασεν ὅσον ἐζηλοῦτο παρὰ πᾶσι πρότερον. Ἀνάλογος γὰρ τῇ εὑρέσει τῆς οὕτως ἀνδρείας γυναικὸς καὶ ἡ ταύτης ἀποβολή. Οὕτως ὁ χθὲς εὐδαίμων τῆς συζυγίας σήμερον οὐκ εὐδαίμων τῆς διαζεύξεως. 5. Πῶς, ἡ φίλανδρος γυνὴ, μόνῳ τἀνδρὶ φέρειν ἀφῆκας τοῦ βίου τὸν βαρὺν κύφωνα, τὸν δεσμὸν αὐτῷ σώματι ἀποθεμένη καὶ ἀναδραμοῦσα πρὸς θεὸν ἄνετος; πῶς ἡ βοηθὸς ἀπέπτης καὶ προὔδωκας τὸν ὁμόζυγον, οὔπω πρότερον τοιοῦτόν τι δράσαι ἀνασχομένη, ὅτε συνδεθῆλθες αὐτῷ διὰ πυρὸς καὶ ὕδατος, καὶ τὴν αὐτὴν ὑπέδυς θανάτου σκιὰν, καὶ οὐδέν τι μικρόψυχον πρὸς τὸν ἄνδρα ἐξήνεγκας ῥῆμα καὶ οἷον πρὸς τὸν γενναῖον Ἰὼβ ἡ ἑτερόζυγος σύζυγος; 6. Οὐκέτι τὰ κατ' οἶκον εὖ διαθήσεις ὡς οἰκουρὸς ἀγαθὴ, οὐδὲ σκεμμάτων καὶ βουλευμάτων τῷ τοῦ βίου συμμεθέξεις κοινωνῷ. Οἷα νὺξ ἐπικέχυται πᾶσιν οἷς ἔναγχος ἐπέλαμπες ὡς σελήνη πάμφωτος. Καὶ νῦν ποθοῦσιν οἱ προσγενεῖς τὸ ἑαυτῶν σεμνολόγημα, οἱ προσδεεῖς τὸν τῆς φιλανθρωπίας λιμένα, αἱ θαυμάζουσαι κάλλος ψυχῆς εἴτε σώματος τὴν ἑκατέρωθεν ἀπαστράπτουσαν; ὁ δὲ ἀνὴρ τὴν σύσσωμον βοηθὸν καὶ ὁμόψυχον. Ἣν πρώην μὲν τὰ τοῦ βίου δυσχερῆ συνδιαφέρουσαν αὐτῷ εὗρισκε, νῦν δὲ ἐν τῷ μέρει καὶ αὐτὸς τῆς μακροχρονίου νόσου παραπήλαυσεν, ἐκείνη ‖ καμνούσῃ συγκάμνων καὶ τηκομένῃ συνδαπανώμενος, θαυμαστὸν δ' ὅπως καὶ ἀπιούσῃ μὴ συναπῴχετο. 7. Ἀλλ' αὐτὴ μὲν εἰς ἀναψυχὴν ἀπήχθη ὅλη λελαμπρυσμένη τῷ τῶν πειρασμῶν καθαρτηρίῳ πυρὶ, σὺ δὲ, τλημονέστατε πάντων ἀνδρῶν, ἐπ' ἐσχατιᾶς, ὡς πυνθάνομαι, ἀγροῦ τινος ἐρημάζων, μόνος φέρεις τὰ ἀλγεινὰ, δέον, ὥσπερ συνεπαθαίνου νοσούσῃ, οὕτω καὶ τοῦ ἀλγεῖν ἀπηλλαγμένῃ συνεπαγάλλεσθαι. 8. Ἀνανήψωμεν γὰρ ἤδη τοῦ πάθους, καὶ τοῦ πενθεῖν ὀψὲ ἀνακύψωμεν. Ἀποχρώντως τὴν σεβαστὴν

24. ‖ Κώδ. 97,6. — 25. ἀπιούσῃ μὲν. — 26. αὐτῇ.

Digitized by Google

ἐθρηνήσαμεν καὶ τὴν νενομισμένην χοὴν τῶν δακρύων ἐσπείσαμεν. Ἕως πότε μενεῖς ἀπαράκλητος; ἕως πότε τὸν χρόνον τοῦ πένθους παρατενεῖς καὶ πηγάσεις τὸ δάκρυον ἐπὶ τῷ θανάτῳ τῆς μακαρίας, ἢ, τἀληθέστερον εἰπεῖν, ἐπὶ τῇ ἀποθέσει τοῦ πολυαλγοῦς σώματος; 9. Οὐ τέθνηκεν ἡ σεβαστὴ, ἀλλ' ὃ περιέκειτο περίβλημα ὀστρεῶδες ἀπεβάλετο ἡ μαργαρώδης ψυχὴ, καὶ νῦν εἰς χώραν ζώντων ἐκ τοῦ θνητοῦ τοῦδε χωρίου μετετάξατο. Θυγάτηρ ἦν Ἀβραὰμ εἰσποιηθεῖσα διὰ τῆς πίστεως, καὶ μακαριστέα μᾶλλον, οὐ θρηνητέα, ὅτι πρὸς τοὺς γαληνοὺς ἐκείνου κόλπους ἐκ τοῦ παρόντος κλύδωνος μεθωρμίσατο. Οὐ γὰρ ἠνέσχετο ὡς ἔν τινι φρουρᾷ τῷ γεώδει σώματι ἔτι καθείργυσθαι. Τοίνυν ὡσεὶ περιστερᾶς ἀναλαβοῦσα πτέρυγας πρὸς τὴν ἄνω κατάπαυσιν ἐπτερύξατο.

10. Ἀλλὰ δεινὸν ἡ τοιαύτη διάστασις· ναὶ δεινὸν, εἴπερ τὸν ἅπαντα χρόνον ἐκείνη μὲν ἐκεῖσε ἤμελλε κατοικεῖν, σὺ δ' ἐνταυθοῖ παροικεῖν. Ἐπεὶ δὲ ἡ μὲν ἐπίγειος αὕτη οἰκία τοῦ σκήνους ἡμῶν καταλύεται, πρὸς δὲ τὴν ἐν οὐρανοῖς ἀχειροποίητον οἰκοδομὴν ὅσον οὐδέπω καὶ ἡμεῖς ἐπειγόμεθα, οὐ πάνυ τι ἐπαχθὲς διεστάναι πρὸς βραχὺ τοὺς αὖθις ἐσομένους μετὰ βραχύ. 11. Μὴ γὰρ ἐξ ἀνθρώπων ἀφανισθεῖσα ἐς τὸ παντελὲς ἀπόλωλεν; Οὐχ ὁρᾷς ὅπως καὶ σελήνη πολλάκις ἁρπαζομένη θνήσκει τρόπον τινὰ καὶ πρὸς μικρὸν ἀποκρυψαμένη πάλιν ἀναβιώσκει καὶ εἰς τὸ παμφαὲς ἐπανέρχεται; Οὕτω καὶ τὴν κατὰ σὲ σελήνην, ἐπεί περ τῷ ἡλίῳ τῆς δικαιοσύνης πλησιάσασα κέκρυπται μικρὸν καὶ οὐ θεωρεῖς, καὶ πάλιν μικρὰν καὶ ὄψει περικαλλεστέραν πολλῷ καὶ ὁλόφωτον. 12. Ποσάκις ἐς ἀλλοδαπὴν ἀπεδήμεις ἐφ' ὅλοις ἐνιαυτοῖς καὶ τῆς συζύγου διιστάμενος οὐκ ἐθρήνεις οὐδ' ἐδάκρυες, ἀλλ' ἔφερες μεγαλοψύχως καὶ γενναίως, ὑπὸ τῆς ἐλπίδος δή που τοῦ ὄψεσθαί ποτε τὸ φίλτατον πρᾶγμα καὶ ὄνομα κουφιζόμενος. Νόμισον τοίνυν καὶ πάλιν ἀποδημίαν εἶναι τὸ πάθος καὶ γενοῦ μετέωρος ταῖς ἐλπίσι τοῦ ὄψεσθαι ταύτην καὶ ὑπ' αὐτῆς ὀφθῆναι οὐκ εἰς μα-

19. *προσβραχὺ. μεταβραχὺ μὴ*.— 32. *τὸ ὄψεσθαι.*

www.libtool.com.cn

Digitized by Google

κρὰν καὶ χαίρειν ἔα τοὺς γυναικώδεις θρήνους καὶ τὸ ἀπαραχλήτως πενθεῖν, μηδ' ἔλεγχε τὴν ποιητικὴν ἀπόφασιν ὡς ψευδῆ λέγουσαν· «οὐ γάρ τις πρῆξις πέλεται κρυεροῖο γόοιο» οἷς αὐτὸς ἐνεστήσω τὸ γοερὸν πάθος οὕτως ἀκόρεστον. 13. Ἀναμνήσω σε καὶ διδασκάλων ἡμετέρων σοφῶν, οἳ βίου τε καὶ θανάτου παράγοντες εἰκόνας τὴν μὲν ἐνταῦθα ζωὴν ὁδῷ προσεικάζουσι. Καὶ ὥςπερ οἱ πρὸς τὴν αὐτὴν πόλιν ὁδεύοντες οὐχ ἅμα πάντες ταύτην καταλαμβάνουσιν, ἀλλ' οἱ μὲν πρὸ τῶν ἄλλων φθάσαντες εἰςῆλθον, ἄλλοι δὲ μετ' αὐτοὺς καὶ μετ' ἐκείνους ἕτεροι, πάντες δὲ ὅμως εἴσω τῆς αὐτῆς κατέλυσαν πόλεως, οὕτω, φασὶ, καὶ οἱ τὴν ζωὴν ταύτην ὁδεύοντες ἄλλος πρὸ ἄλλου ἐς τὸ τοῦ θανάτου φθάνει κατάλυμα καὶ πρὸς τὰς ἐκεῖσε λήξεις ἐλάσας τῆς ὁδοιπορίας ἐπαύσατο. Ἄπαυστος δὲ δρόμος ἐξ οὗ περ ὡς ἐκ βαλβῖδός τινος τῆς γενέσεως ἐξαλλόμενοι καὶ τὸν καμπτῆρα τοῦ θανάτου περιτρέξαντες, ἕως καὶ τὴν πύλην αὐτὴν τῆς ἐξόδου διέλθωσιν. 14. Ἠλιβάτου τοίνυν εὐηθείας ἐστὶ, τοὺς τετελεκότας τὸν δρόμον θρηνεῖσθαι παρὰ τῶν ἔτι ὁδευόντων κἀπὶ τὸ αὐτὸ ἐπειγομένων κατάλυμα, δέον παρ' ἐκείνων μᾶλλον ἡμᾶς ἐλεεῖσθαι ὥςπερ ‖ καὶ παρὰ τῶν ἐν λιμένι κατηγμένων οἱ ἐν μέσῳ ἔτι πελάγει χειμαζόμενοι.

15. Ἔπου τοίνυν διὰ ταῦτα εὐχαρίστως καὶ εὐγνωμόνως τῇ κυβερνητικῇ τοῦ παντὸς προνοίᾳ θεοῦ, διεξαγούσῃ τὰ καθ' ἡμᾶς ὅπῃ ποτὲ βούλεται, ἧς τὸ σοφὸν ἅμα καὶ ἀγαθὸν ἐν τοῖς κατὰ σὲ τούτοις περιστατικοῖς διαφαίνεται. Ἐπεὶ γὰρ ἔδει λυθῆναι θανάτῳ ποτὲ τὴν ἁρμονίαν τῆς καλῆς συζυγίας, οὐ σὺ προαπῆλθες ἐκείνης· ἀνύποιστον γὰρ ἂν ἐγεγόνει τὸ τῆς διαζεύξεως πάθος ἐκείνῃ ὡς φιλάνδρῳ λίαν καὶ ἄπαιδι καὶ μηδ' ἐν μορφῇ τέκνων ἐχούσῃ τὸ τοῦ ἀνδρὸς εἶδος φαντάζεσθαι καὶ οὕτως ἀναψύχειν τὴν σιδηρέαν τῆς χηρείας κάμινον.

16. Ἀλλὰ προπέμψας αὐτὴν ὑποστήσῃ μὲν τὸ πάθος φιλο-

14. *βαλβίδος τινὸς.*— 15. *ἐξαλλώμενοι.*— 20. ‖ Κώδ. 98, α. — 22. *ὅπου.*— 24. *ὁπήποτε.*

Digitized by Google

σόφως καὶ εὐγενῶς ὡς μεγαλόφρων ἀνὴρ, καὶ εὖ μὲν διαθήσεις τὰ περὶ τὴν ὁσίαν ἐκείνης καὶ ὅσα ταῖς ἐπελθούσαις μακαρίαις ψυχαῖς Χριστιανῶν παῖδες συμπαραπέμπουσιν, εὖ δὲ καὶ τὰ καθ' ἑαυτὸν διοικήσεις καὶ ὅλως μετασκευάσῃ πρὸς τὸ ἐν οὐρανοῖς πολίτευμα, ἔνθα νῦν ἡ σεβαστὴ χορεύει ταῖς περὶ θεὸν ὁσίαις ψυχαῖς. 17. Ταῦτά σοι ὡς ἐν ἐπιστολῆς τύπῳ διαλεγόμεθα, οὐκ ἔχοντες αὐτοπροσώπως προσενεγκεῖν σοι τὴν ἐκ τοῦ λόγου παράκλησιν. Οὐ γὰρ ἀνεχόμεθα ἐπὶ τοσοῦτον ταπεινοῦσθαί σου τὸ μεγαλόφρον καὶ ὡς ἀφιλόσοφον ἐξελέγχεσθαι. Ὁ δὲ θεὸς πάσης παρακλήσεως ἄψαιτό σου τῆς ὀδυνωμένης καρδίας καὶ τὸ ἄλγος ἰάσαιτο· οὗ καὶ μνήμη μόνη οἶδεν εὐφραίνειν τὰς ἀπαναινομένας παρακληθῆναι ψυχάς.

πδ'. Τῷ ὁσιωτάτῳ κῦρ Ἡσαΐᾳ τῷ Ἀντιοχείτῃ.

1. Ὡς δρόσος ἐπ' ἄγρωστιν ἢ, οἰκειότερον εἰπεῖν, ὡς δρόσος Ἑρμὼν καὶ μύρον Ἀαρὼν, οὕτως ἐφ' ἡμᾶς τὰ ῥήματά σου, πανοσιώτατε ἀγαπητὲ ἀδελφέ· ἀναψύχουσι γὰρ ἅμα πειρασμοῖς τε ἄλλοις καὶ τῷ σῷ πόθῳ κάμνοντας καὶ πνευματικὰς ἐμπνέουσι χάριτας. Ὡς γὰρ εὐαγγελικὸς οἰκοδεσπότης ἐκβάλλεις ἐκ τοῦ θησαυροῦ σου καινὰ καὶ παλαιὰ κατὰ τὸν μαθητευθέντα ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. 2. Μὴ τοίνυν ὄκνει, ὦ θεία καὶ σοφὴ κεφαλὴ, ἄλλα ἐπ' ἄλλοις διαπέμπειν ἡμῖν γράμματα, ταὐτὸν δὲ εἰπεῖν ζωῆς ῥήματα. Ἀπόχρη γὰρ ἡμῖν εἰς λόγον κολάσεως ἡ τῆς ἀγγελοειδοῦς μορφῆς καὶ συνδιαγωγῆς καὶ ὁμιλίας στέρησις. Τὸ δὲ μὴ γράμμασι γοῦν παραμυθεῖσθαι πυκνοτέροις τοῦτο κολάσεως προσθήκη, τοῦτο τιμωρίας ἐπίτασις, ὅπερ οὐκ ἀνέξῃ δήπου ποιεῖν ἡ φιλανθρωποτάτη ψυχὴ καὶ τὰ σπλάγχνα μιμουμένη τοῦ Ἰησοῦ.

8. *ἐπιτοσοῦτον*.

πδ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 98,α.

14. *μῦρον*. — 21. *ταυτὸν*.

www.libtool.com.cn

Digitized by Google

3. Ἀπεστάλη τῇ ἁγιωσύνῃ σου ἐλαίου ἀσκὸς πλήρης, χωρῶν δώδεκα ξέστας ἀττικούς, καὶ σάπωνος βητινάρια τέσσαρα, ὧν τὸ ἓν βραχύτερον τῶν λοιπῶν. Ῥάσα ἐξωνήθησαν καὶ ἐπατήθησαν, πρὶν δὲ καὶ βαφῆναι ἀπέπλευσεν ὁ παρὼν ναύκληρος ὁ Κάτζαρις καὶ ὁ παραλαβὼν τὰ παρόντα εἴδη. Εἰ δὲ ἔλθῃ αὐτόθεν πρὸς ἡμᾶς ἕτερον πλοῖον μονεμβασιωτικόν, σταλήσεται καὶ τὰ ῥάσα καὶ μὴ παρασιωπήσῃς ἐξιλάσκεσθαι ἡμῖν τὸν θεόν σου.

πε'. Τῷ Θηβῶν κῦρ Μανουήλ.

1. Ἀγιώτατε καὶ πανυπέρτιμε δέσποτα καὶ ἐν Κυρίῳ ἀγαπητὲ ἀδελφὲ, εἴης ὑγιῶς ἔχων καὶ εὐθύμως· ζῶμεν καὶ ἡμεῖς, βραχύ τι μὲν κουφισθέντες, οὔπω δὲ καθαρῶς ἀπαλλαγέντες τοῦ συνέχοντος νοσήματος. 2. Ὁ γαμβρὸς τοῦ Λάμαρι σημείωμα κουράτωρος πραιτωρικὸν προσκεκόμικεν ἡμῖν, οὔπερ ἴσον καὶ ἀπεστάλη πρὸς τὴν ἁγιωσύνην σου, ἵνα ἐπελθοῦσα αὐτὸ ποιήσηται ἐρώτησιν πρὸς τοὺς πραίτωρας, εἰ θεμιτόν ἐστιν κληρικὸν κουράτωρα ἀντικρίνεσθαι τῷ ἰδίῳ ἀρχιερεῖ· καὶ εἰ διαγνωσθῇ ταῦτο αὐτὸ παράνομον, τότε μὴ δοθέντος ἑτέρου κουράτωρος ἀπεντεῦθεν τῷ νόμῳ δεκτοῦ, μετατεθήσεται ἡ τοῦ ἀμφιμάχου ἀκινήτου νομή. Φυλάττοιτο ἡ πανυπέρτιμος ἁγιωσύνη σου ἐρρωμένη καὶ πολυχρόνιος.

---

1. *ἔλαιον*.— 2. *σαπώβητινάρια*.

πε'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 98, α.

13. *κουρά προσκεκόμικεν*.— 18. *κουρά*.

Digitized by Google

www.libtool.com.cn

πϛ'. Τῷ αὐτῷ.

1. Ἀγαπήσω σε, πανυπέρτιμε δέσποτα καὶ ἀδελφὲ, οἷς ἐλέγχεις τὰ καθ' ἡμᾶς ὀλιγώρως περὶ τὰς δίκας ἔχοντα, ἵνα τοῦτο γοῦν, κατὰ τὸν Σολομῶντα δόξωμεν σοφοί· τῷ ὄντι γὰρ οὕτως ἔχομεν. Μὴ γοῦν κατόκνει ‖ καὶ εἰςέτι ἐλέγχειν ὅτε τοῦ δέοντος ἔξω φερομένους ὁρᾷς. 2. Ἐπὶ μέντοι τῇ τῶν Μυρρινιωτῶν ὑποθέσει, προλαμβάνων τοὺς ἐλέγχους, ἀξιῶ τὸ ἡμέτερον ὑστέρημα ἀδελφικῶς ἀναπληρῶσαι. Τὸ γὰρ ἐνοχλοῦν μοι νοσηματῶδες ῥεῦμα καὶ τὸ τῆς ὥρας κρυμῶδες δυσκινητότερόν με ποιεῖ. Προσήκει γάρ σοι νεωτέρῳ ὄντι γεροντικὴν ὑπερείδειν ὀλιγοδράνειαν, ἵνα καὶ σοὶ κατ' εὐχὴν ἡμετέραν ἐσχατογέροντι ἐσομένῳ θεόθεν ἀντιδοθῇ τις παραστάτης σφριγῶν, εἴ γε τοιᾶσδε παραμυθίας δεήσῃ ποτέ. 3. Τὸ συνοδικὸν ἐπελθὸν σημείωμα ἐπίτρεψον τῷ μεγάλῳ οἰκονόμῳ ἐπιφωνήσασθαι κατὰ τὴν περίληψιν αὐτοῦ τοὺς ἔχοντας μοναστήρια τῆς κατ' ἐμὲ ἐκκλησίας. Ἐρρωμένη διαφυλάττοιτο καὶ μακρόβιος ἡ πανυπέρτιμος ἁγιωσύνη σου.

πζ'. Τῷ Παθυάτῃ κῦρ Γεωργίῳ.

1. Εὐλογητὸς ὁ θεὸς ὁ ποιῶν ταῦτα καὶ μετασκευάζων, κατάγων εἰς Ἅδου καὶ ἀνάγων, ὅτι σε, τὸ ἐμὸν ἐν Κυρίῳ φίλτατον σπλάγχνον, διὰ πυρὸς καὶ ὕδατος διελθόντα, ἐξήγαγεν εἰς ἀναψυχὴν καὶ οὐκ ἠνέσχετο καὶ εἰςέτι σιδηρᾷ πειρασμῶν καμίνῳ πυροῦσθαι, οὔτε μὴν παρερρίφθαι τὸ τῆς ἐκλο-

πϛ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 98,α - 98,β.

4. ‖ Κώδ. 98,β. — 5. ἐπι.

πζ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 98,β.

Digitized by Google

γῆς σκεῦος ὡς ἔν τινι γωνίᾳ τῇ ἀφανείᾳ κρυπτόμενον· ἀλλὰ λελάληκεν εἰς τὴν καρδίαν τοῦ βασιλέως περὶ σοῦ ἀγαθὰ, καὶ φέρων εἰς μέσον ἔστησεν εἰς ἔλεγχον μὲν τῆς μισοκαλίας τοῦ παρόντος βασκάνου καιροῦ, εἰς ἀνακήρυξιν δὲ τοῦ φιλοκάλου ἁγίου ἡμῶν αὐτοκράτορος καὶ τιμᾶν εἰδότος λόγον καὶ ἀρετὴν καὶ τὴν ὑπ' ἀμφοῖν τούτοιν κοσμουμένην εὐγένειαν.

2. Ἔντεινε τοίνυν καὶ κατευοδοῦ καὶ μὴ λήγοις ἀπὸ δόξης εἰς δόξαν προβαίνων καὶ μᾶλλον καὶ μᾶλλον τῷ βασιλεῖ οἰκειούμενος· οὗ τὰς οὐρανίους φωνὰς διὰ τῆς σῆς χρυσῆς γλώττης καὶ φιλτάτης χειρὸς τετρανωμένας δεξάμενοι, πόσοις καὶ οἵοις δοκεῖς ἡμᾶς ἀνθέλκεσθαι πάθεσι; Νῦν ὤμην ἀκούειν ὡς ἐξ οὐρανοῦ τοῦ θεοῦ χρηματίζοντος καὶ ὑπὸ δέους ἐξεπληττόμην. Νῦν τὰ γράμματα ἐπιὼν ὡς πλακῶα χαράγματα ἔχαιρον, ὡς εὐμαθές σου φρενὶ ξυναρπάζων τὸ φώνημα, καὶ Μωσῆν ἄλλον ἐφανταζόμην θεῖα διαπορθμεύοντα χρησμῳδήματα. 3. Ἀλλ' ἐπεί σε μέσον ἡμῶν τε καὶ τοῦ θεοειδοῦς αὐτοκράτορος εὖ ποιῶν τεθεώρηκεν ὁ λόγος, εὐχόμεθα γενέσθαι τοῦτ' αὐτὸ καὶ τοῖς πράγμασιν. Οὕτω γὰρ τελείας ἀρετῆς ἴδοιμεν ἀξίαν τιμὴν, τοῦ θεοῦ διατηροῦντός σε ὑγιῆ τε καὶ πολυχρόνιον.

πη'. Τῷ ἀνεψιῷ αὐτοῦ κῦρ Μιχαήλ.

1. Περιπόθητέ μοι ἀνεψιὲ, εἴης ὑγιαίνων καὶ καλῶς ἔχων μετὰ τῶν ὑπὸ σὲ πάντων. Ζῶμεν καὶ ἡμεῖς καιρίαν αὖθις πληγὴν δεξάμενοι ἐπὶ τῷ φόνῳ τοῦ θαυμασίου παιδὸς τοῦ κῦρ Γεωργίου, ὃν ὁ παλαμναιότατος τῶν πώποτε τυράννων, ὁ πρώϊμος Ἀντίχριστος μετὰ τὸ ἀποσπάσαι τῶν πατρικῶν ἀγκαλῶν, μετὰ τὸ βαρβαρικῶς ἀποκόψαι καὶ ὡς ἐν ἀφύκτῳ εἱρκτῇ φρουρεῖν, τελευταῖον καὶ φόνου παρανάλωμα ἐποιήσατο.

19. *διατηροῦντος.*

πη'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 104,α - 104,β.

25. *ἀποσπᾶσαι.*— 27. *φρουρῶν.*

www.liptool.com.cn

Digitized by Google

2. Ὦ μιαιφόνου καὶ αἱμοχαροῦς ψυχῆς καὶ ὅλην τοῦ ἀπ' ἀρχῆς ἀνθρωποκτόνου τὴν ἐνέργειαν δεξαμένης. 3. Ἀλλ' ἐκεῖνος μὲν ἐν κόλποις Ἀβραὰμ ἀνεπαύσατο μετὰ τῶν παίδων τῶν ὑφ' Ἡρώδου ἀναιρεθέντων διὰ τὸν βίαιον καὶ ἄδικον θάνατον· αὐτὸς δὲ τὴν αἰώνιον καὶ ἀπέραντον δώσει δίκην. Ἐνταῦθα γὰρ κἂν ἔτι ζῶν σκωληκόβρωτος γένηται, κἂν μυρίους θανάτους ἠδύνατο ὑποστῆναι, οὐδ' οὕτως ἂν ποινὴν ἀξίαν τῶν τοσούτων χριστιανικῶν αἱμάτων ἐξέτισεν.

4. Ἔδει μὲν οὖν καὶ πρὸς τὸν κῦρ Γεώργιον γράψαι παραμυθίαν τινά· ἀλλὰ τὸ μὲν τῇ λύπῃ συγχυθεὶς καὶ αὐτὸς, τὸ δὲ καὶ τοῦ παρόντος μοναχοῦ ἅμα τῷ ἐλθεῖν ὑποστρέψαντος, οὐκ ἠδυνήθην τῷ τέως γράψαι, ἄλλως τε καὶ φλεγμαινούσης ἄρτι τῆς ψυχῆς αὐτοῦ ὑπὸ τῆς ἀφορήτου πληγῆς, μάτην ἂν ἐγράψαμεν. Ψυχὴ γὰρ ὑπὸ λύπης ὑπερβαλλούσης καταποθεῖσα καὶ πρὸς τοὺς παρακλητικοὺς λόγους ἀηδιζομένη ἄχθεται. 5. Ἐὰν τὸ ἥμισυ τοῦ ἀριστοτελικοῦ Ὀργάνου ἀνελάβου, στεῖλόν μοι, πλὴν μετὰ πιστοῦ ἀνθρώπου καὶ ἐν ἀφόβῳ καιρῷ. Ὡς ἔοικεν, εἰ εὕρισκες πλοιάρια, καὶ αὐτὴν τὴν τροφὴν τῶν ‖ παιδίων σου ἁρπάζων ἐκ τῶν στομάτων αὐτῶν, ἔστελλες ἄν. Ἀλλὰ μὴ ποίει οὕτως· τὰ γὰρ τῆς προαιρέσεώς σου φιλοτιμότατα οἴδαμεν, καὶ μηκέτι μερίμνα καὶ τυρβάζου περὶ πολλά. Ὁ Κύριος εἴη μεθ' ὑμῶν, ὁ πατὴρ τῶν οἰκτιρμῶν καὶ θεὸς πάσης παρακλήσεως.

---

3. *ἐκεῖνο.* — 12. *τωτέως.* — 13. *ἄρτι ἄρτι* διαγραφέντος κατόπιν τοῦ πρώτου. — 14. *ὑπερβαλούσης.* — 17. *στεῖλον.* — 19. ‖ Κώδ. 104,6. — 20. *ἔστελες.*

www.hptbook.com.cn

Digitized by Google

πθ'. Τῷ αὐτῷ.

www.libtool.com.cn

1. Περιπόθητέ μοι ἀνεψιὲ, κῦρ Μιχαὴλ, εἴης ὑγιῶς ἔχων πανοικεσίᾳ καὶ ὡς ἐν τοῖς παροῦσι κακοῖς ἄμεινον. Ζῶμεν καὶ ἡμεῖς, ὡς ἔοικεν, οὐκ ἄλλου τινὸς ἕνεκα ἢ ἵνα πενθῶμεν ἐπὶ τοῖς ἡμῶν ἁμαρτήμασι καὶ ταῖς δι' αὐτὰ ἐπιφερομέναις ἡμῖν θεηλάτοις μαστίξεσι. 2. Διὰ ταῦτα ἐπένθησα μὲν πρὸ καιροῦ μονῳδήσας ἐπὶ τῷ θανάτῳ τοῦ μακαρίτου παιδὸς καὶ τὰ θρηνηθέντα ἐγχαράξας ἐπιστολῇ ἀπέσταλκα ὑμῖν. Ἐπεὶ δὲ καὶ ἔτι ὀδυνωμένη μου ἡ καρδία ᾠδινε καὶ ἕτερα γοερὰ ᾄσματα, ἰδοὺ ἐπὶ τῇ προτέρᾳ καὶ ταύτην τὴν δευτέραν ἁρμοσάμενος ἀπέσταλκα, ἣν δεξάμενοι ὑπανάγνωτε. 3. Δόξετε γὰρ οὕτως, ὡς ὑπὸ κορυφαίῳ ἐμοὶ χοροῦ τραγικοῦ, δέχεσθαι τοῦτο συναυλίας γοερᾶς σύνθημα οὐδὲν ἧττον καὶ παραμύθιον, καθότι τοῖς σχετλιασμοῖς καὶ μακαρισμὸς τοῦ μειρακίου συνδιαπλέκεται. Ἀμφότερα γὰρ τῇ ὁσίᾳ τῶν μακαρίων συμβαίνειν φιλεῖ, καὶ λύπη καὶ ἡδονή· λύπη μὲν ὡς ἀπιόντων ἐνθένδε, δίκαιος γάρ φησιν ἀποθανὼν κατέλιπε μετάμελον, ἡδονὴ δὲ ὡς εὐφημουμένων· ἐγκωμιαζομένου γάρ φησιν ὁ αὐτὸς δικαίου εὐφρανθήσονται λαοί. 4. Ἀναγνόντες δὲ τὴν μονῳδίαν, εὑρήσετε μὲν ἀδελφὴν τῆς προτέρας ὡς πατρός τε τοῦ αὐτοῦ οὖσαν καὶ οἷα μητρὸς τῆς αὐτῆς ὕλης εἶτ' οὖν ὑποθέσεως, πλὴν τοῖς πλείοσι νοήμασι διαφέρουσαν. Εἰ δ' ἕνα τῶν ἐκείνης καὶ ἥδε φθέγγεται, θαυμάζειν οὐ χρὴ, εἰ ἀδελφαὶ οὖσαι καὶ ἀδελφὰ ἔστιν ἃ φθέγγονται, εἶτα καὶ ἐπι-

πθ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν τῷ λαυρεντιακῷ κώδικι, φ. 104,6, καὶ τῷ βαροκκικῷ, φ. 154,α.

Τίτλος. τῷ αὐτῷ ἐξ τ' *καὶ ἀνεψιῷ αὐτοῦ κῦρ μιχαὴλ* Β. — 1. *μοι* λείπει. — 2. *πανοικεσί* Β. ὡς λείπει Λ. — 5. *προκαιροῦ* Β. — 7. *θρηνήματα* Β. — 11. *ὑποκορυφαίῳ* Β. — 13. *μακαρισμοῖς* Β. — 18. *ἀναγνώντες* Β. — 20. *οἷον* Β. — 22. *ἐπία* Β.

Digitized by Google

σκέπτεσθαι, ὡς, εἰ καὶ ταὐτὰ λαλοῦσιν, ἀλλ' οὐχὶ καὶ ταὐτῶς, ἀλλ', ἃ μὲν ἐκείνη μεμηκυσμένως ἔφησεν, αὕτη συνέτεμε, καὶ τοὐναντίον, ἅπερ ἡ πρώτη παρέδραμε βραχυλογήσασα, ἡ δευτέρα ἐπεξειργάσατο, καὶ διὰ τῆς τοιᾶσδε μεθόδου τὸν φόρτον τῆς ταὐτολογίας ὑφείλετο, ἥτις κατὰ τοὺς τεχνικοὺς καὶ τὴν τῶν ἀλλοτρίων κλοπὴν ἐπικρύπτεται, ὥςπερ καὶ οἱ λωποδύται, τὰ φώρια παρελόμενοι ἢ ἐπιρραψάμενοι ἢ ἐκστρέψαντες, ἔλαθον οὐκ οἰκεῖα περιβαλλόμενοι. 5. Ταῦτα καὶ ἡμῶν μὴ γραψάντων εἶχες δήπου καὶ αὐτὸς ὑπολογίζεσθαι· μετὰ μέντοι τὸ ὑπαναγνῶναι, μετάγραψον καὶ ταύτην χάριν τῶν ἐξαδέλφων σου. Ἐγὼ γὰρ, εἰ ἠδυνάμην μεταγράφειν, ταύτην ἂν μετέγραψα βεβρωμένην ὡς ὁρᾷς ὑπὸ ὀρείων μυῶν. Ἐρρωμένος σώζοιο.

1. *ταυτὰ* AB. *ταυτῶς* AB. — 2. *ἀλλ' εἰ μὲν* B. *μεμηκυσμένοις* B. — 4. *ἐπεξειργάσατο* B. *τοιάςδε* B. — 5. *ταυτολογίας* AB. *ἀφείλετο* B. — 7. *παρελόμενα* B. — 8. *οἰκεία* A.

www.hbtool.com.cn

Digitized by Google

www.libtool.com.cn

ΤΟΥ ΑΥΤΟΥ ΕΠΙΣΤΟΛΑΙ

ΑΣ ΕΓΡΑΨΕΝ ΑΠΟ ΤΗΣ ΝΗΣΟΥ ΤΗΣ ΚΕΩ

ιʹ. Πρὸς τὸν Θηβῶν.

1. Ὡς ὕδωρ ψυχρὸν τῷ διψῶντί φησιν, οὕτως ἀγγελία μακρόθεν· εἰ δὲ καὶ παρ' ἀδελφοῦ ἐς ἀδελφὸν τὸ τῆς ἀγγελίας ταύτης διαπορθμεύεται ψυχαγώγημα, οὐχ ὕδωρ τοῦτο μόνον ἁπλῶς, ἀλλὰ καὶ πλέον ἢ νέκταρος ἀπορρὼξ καὶ ἄλλη δρόσος Ἀερμὼν ὑμνουμένη παρὰ τῷ θείῳ Δαυίδ. Εἰ δὲ καὶ ὁ διψῶν οὐ μετρίως καίεται, ἀλλ' ὡς οἱ πυρεταίνοντες τὸν παρὰ τοῖς Ἀσκληπιάδαις καλούμενον καῦσον καὶ σύνοχον πυρετὸν, ἡλίκον καὶ οἷον φανεῖται τῷ πίνοντι; 2. Πῶς οὖν οὕτω φλεγομένους παρώψω, πανυπέρτιμε δέσποτα, καὶ τὸν ἐκ τῶν γραμμάτων δροσισμὸν ἐπέλιπες; Ἆρα οἶει σβέσαι τὸ δίψος οἷς ἐφάπαξ δύο ἐπιστολῶν ἀναψύξεις ἐψέκασας; Καὶ τίς, ὡς εἶπον, καυσόμενος ἅπαξ πεπωκὼς, κἂν εὐμεγέθη κύλικα μὴ πρώτην μόνην ἢ καὶ δευτέραν ἑλκύσειε, τὴν καῦσιν ἠκέσατο; Οὐκ οἶδας ὡς ἄσβεστός μοι τῶν περὶ σοῦ ‖ πεύσεων ὁ φλογμὸς καὶ ὁσῶραι ἢ γοῦν ὁσημέραι δεῖται τῶν περιψυχόντων γραμμάτων καὶ τῶν δι' αὐτῶν ἀπαγγελιῶν ὥςπερ τινῶν ἄλλων ἐφημερίδων ἐπισημαινομένων τὰ καθ' ἑκάστην παρὰ τῶν ἀγχιστρόφων νῦν εἴπερ ποτὲ καιρῶν νεοχμούμενα; 3. Ἀλλὰ τί τοῦτό φημι ὅτε οὐδ' εἰ τὴν αὐτὴν ἔτι παροικεῖς νῆσον ἢ ἄλλοσέ ποι μεθωρμίσω, πυνθάνομαι. Τλήμονες ὄντως ἡμεῖς.

ιʹ. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 104,δ - 105,δ.

1. *διψῶντι φησὶν.* — 9. *παρῶψο.* — 14. ‖ Κώδ. 105,α. — 16. *ὥσπέρ τινων.* — 18. *εἴπέρ ποτε.* — 19. *τοῦτο φημὶ.*

Digitized by Google

Ἤπου ἄϊστός τε καὶ ἄπυστος ἑκάτερος ἑκατέρῳ οἰχησόμεθα, εἰ ῥηϊτέρῳ που διασταίημεν, ὁπότε ταὐτὸ τοῦτο καὶ νῦν κινδυνεύομεν πείσεσθαι, καὶ ταῦτα ἐκ γειτόνων νησύδρια παροικοῦντες ἀντίπορθμα καὶ ὧν τὸ μεταξὺ ῥόθιον οὐχ ἧττον ἢ τὸν στενὸν Ἑλλήσποντον ἐγεφύρωσεν ἂν Ξέρξης λινοδέσμῳ σχεδίᾳ, οὐ πέλαγος νομίζων καὶ ὀνομάζων, ἀλλ' ἁλμυρὸν ποταμόν ; 4. Ὅ γοῦν αἰτιάσομαι τῆς τοσαύτης ἐπηρείας, πότερον τὸν ἐτησίαν βορρᾶν ἢ τὸ διορίζον πέλαγος ἢ καὶ ἄμφω κακῶς ἐρῶ, ὡς ταῖς παρ' ἀλλήλων ἀγγελιαφορίαις προϊστάμενα, τοῦτο δὴ καὶ ποιήσω καὶ οὐ δόξω σοι δήπου ξενολογεῖν ἢ καὶ μανίαις, κατὰ τὸν εἰπόντα, ὑποκρέκειν, εἴ γε τοῖς ἀναισθήτοις μέμφομαι, ὅτε καὶ τῶν μακαρίων ὁ μέν τις τοῖς μηκέτ' οὖσιν ἠράσατο ἡμέρᾳ καὶ νυκτὶ τῆς αὐτοῦ γενέσεως, ὁ δὲ ὄρεσιν ἀνομβρίαν ἐπηύξατο. 5. Οὓς μιμούμενος οὐκ ἀτόπως λέγοιμ' ἄν· ὦ βορρᾶ, κατὰ μὲν παλαιόν τινα χρησμὸν σαλπιστὰ σκυθικέ, φοβερὸν ἠχῶν καὶ ἀντηχῶν τῷ νότῳ τῷ λιβυκῷ αὐλητῇ, κατὰ δὲ Σολομῶντα ἄνεμε σκληρὲ καὶ ὀνόματι μὲν ἐπιδέξιε καλούμενε, πράγματι δὲ ἡμῖν ἐπαρίστερε, ἅτε ἐνυάλιον ἀτεχνῶς σαλπίζων καὶ θάλατταν ἐκκυμαίνων καὶ ἄλλο ἐπ' ἄλλο κῦμα μέγα κυλίνδων καὶ καταπλήττων πλωτῆρας καὶ πείθων μένειν εἴσω λιμένος πτήσσοντας. Ἐκ Ταυροσκυθίας ἄρα, ὅθεν σοι καὶ τῆς γενέσεως αἱ πηγαί, τὸ ἄγριον τοῦτο ἐπεσπάσω καὶ μισόξενον. 6. Ὦ καὶ σὺ πονηρὸν ὕδωρ καὶ ἄποτον· ἀμύνομαι γάρ σε τῆς ἐς ἡμᾶς ἀδικίας, οὐ μάστιξι περσικαῖς, ἀλλὰ τοῖς παρὰ τοῦ λόγου ῥαπίσμασιν· ὦ Καφηρίδος μητρυιᾶς νηῶν ἀπόρροια καὶ τἀκεῖθεν παρασυρόμενα οἰκτιστα ναυάγια ὑποδεχομένη ἄσμενος, ὦ πειρατῶν μὲν εὔξεινος, ἡμῖν δὲ τοῖς ἀθλίοις φυγάσι κακόξεινος, ὦ Ἅδου ἀτεχνῶς μέγα χάσμα, οὐχ ὅπως διαζευγνύον ὁμόπνουν

2. *ταυτὸ*. — 3. *πείθεσθαι*. — 6. *ὀνομάτων*. *ἁλμυρὸν*. — 8. *βορρᾶν*. *πέλαγος* κατὰ διόρθωσιν τῆς λέξεως ἣν ἤρξατο τὸ πρῶτον γράφων ὁ βιβλιογράφος, ἀρχομένης ἐκ τῶν γραμμάτων *πωσ*. — 13. *μηκέτ'*. — 24. *τῆς ἐς εἰς ἡμᾶς*. — 29. *διαζευγνύον* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *διαζευγνύων*.

Digitized by Google

ἀδελφῶν ξυνωρίδα, ἀλλὰ μηδὲ διαλέξεις ἐγγραμμάτους ἐῶν παρ' ἑκατέρων διαπορθμεύεσθαι. Ὦ στοιχεῖον δοῦλον παντοίοις ἀνέμοις καὶ κυμαινόμενον ἢ μᾶλλον μαινόμενον πνεύμασιν, ὡς ἥ τε μανιώδης κραυγὴ καὶ τὰ ἐπαφριζόμενα πτύσματα διαμαρτύρονται. 7. Ἀλλὰ τοιαῦτα μὲν ἐγὼ τοῖς ἀψύχοις ὑπὸ περιωδυνίας τραχυνόμενος ἐμπικραίνομαι. Ὅμως δὲ μὴ κατὰ τὸν παρ' Ὁμήρῳ δεινὸν ἄνδρα τὰ ἀναίτια στοιχεῖα αἰτιώμεθα, αὐτοὶ ναρκώδεις ὑπ' ἀκηδίας πρός τε τὰ ἄλλα καὶ πρὸς τὸ κινεῖν τὰς γραφίδας ἢ ὑπαγορεύειν τὰ ἐπιστολιμαῖα γενόμενοι, ἐπεί γε, ὡς πυνθάνομαι, καὶ ἐνθένδε αὐτόθι καὶ αὐτόθεν δεῦρο διαπεραιοῦνται πλοιάρια δι' ὧν τὰ ὀθενοῦν ἀπαγγελλόμενα σαφέστερον ἂν μανθάνοις αὐτὸς δήπου· εἴτε γὰρ ἐξ Ἰωνίας εἴτε ἐκ Βυζαντίου καταπλεῖν ναῦς, οἷα δή τις ἐν καλῷ τοῦ κατάπλου κειμένη ἡ σὴ ξεναγὸς Ἄνδρος τὰς ἐκεῖθεν κομιζομένας ἀγγελίας ὡς ἄλλα τινὰ πολύτιμ' ἀγώγιμα ὑποδέχεται, ἀλλὰ καὶ τὰς ἐξ Ἑλλάδος οὐδὲν ἧττον διὰ τῶν ‖ καρυστίων πορθμείων πυνθάνεται· ὥστε ἡμεῖς παρ' ὑμῶν ἀκούοιμεν ἄν τι καινὸν καὶ ἀληθέστερον. 8. Εἰ δὲ χρὴ καὶ ἡμᾶς ἀντεισφέρειν ἀμοιβαδὸν, ἄκουε· μὴ διαπιστήσῃς μοι, ὅτι μηδ' ἄλλοτε ἠσθόμην ποτὲ ἐν τῇ Κέῳ τῇδε τῇ νήσῳ καύσεως θερινῆς πλὴν μαλακῆς καὶ ταύτης καὶ χλιαρᾶς, καὶ οὐκ ἐν μησὶν ἢ γοῦν ἑβδομάσιν, ἀλλ' ἐν ἡμέραις οὐχὶ συχναῖς καὶ ταύταις οὐδ' ὁλοκλήροις, ἀλλ' ἐν σταθηραῖς καὶ μόναις ταῖς μεσημβρίαις αὐτῶν, ὅτε κατὰ κορυφὴν τοῦ ἡλίου βάλλοντος μικροῦ καὶ ἄσκια τὰ σώματα ἡμῶν ἐγίνοντο, ὡς τῆς γε ἕω καὶ δείλης ὁ αἰθριγενέτης βορέας περιψύχων τῶν χειμερίων περιβλημάτων ἀνεμίμνησκε· νῦν δὲ καὶ καθ' ὅλην τὴν ἡμέραν, καὶ ταῦτα τοῦ τελευταίου μηνὸς τῆς θερείας ὥρας ἐνεστῶτος, ἐπικρατεῖ ὁ κρυμὸς, καταβαίνοντος τοῦ Ἑλλησποντίου συνεχοῦς. Οὕτως ὑπὲρ τὴν ἡνεμόεσσαν Ἴλιον παντοίοις ἔκκειται πνεύμασι καὶ ὑπὲρ Δωδώνην δυστυχεῖ τὸ δυσχείμερον.

---

6. ὅπως. — 17. ‖ Κώδ. 105,6. *πορθμεύων*. — 20. *νήσω καὶ θερινῆς*.

www.libtool.com.cn

Digitized by Google

ιγ'. Τῷ αὐτῷ Θηβῶν κῦρ Μανουήλ.

www.libtool.com.cn

1. Κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν μου ἐν τῇ καρδίᾳ μου αἱ διὰ τῶν γραμμάτων σου παρακλήσεις εὔφραναν τὴν ψυχήν μου, πανυπέρτιμε δέσποτα, καὶ τῶν ἐν Χριστῷ ἀδελφῶν φίλτατε καὶ φιλαδελφότατε. Ὅτι γὰρ ὠδυνώμην πρότερον, μηδέν τι μεμαθηκὼς περὶ σοῦ ἐξ οὗ δῆτα Κέωθεν ἐς Ἄνδρον μεθωρμίσω, οὔτε ἀντίφθογγον οὔπερ γράμματος ἔστειλα δεδεγμένος καὶ παρὰ τοῦτο διακαιόμενος τὴν καρδίαν οἷς μηδ' ὅποι γῆς ἢ θαλάσσης προςέσχες ἐπυθόμην, τοσούτῳ παρακέκλημαι ἐπὶ μιᾶς ἡμέρας, ἤδη δὲ καὶ ὥρας, δύο ἀπολαβὼν γράμματα, τὸ μὲν μικρῷ πρότερον καὶ ὅσον ἐπελθεῖν, τὸ δ' εὐθὺς μετ' ἐκεῖνο ὑπαναγνωσθέν. 2. Ἐμοὶ μὲν οὖν ἀπέχρησε καὶ τὸ ἓν, εἴς γε τὸ ἀποπλῆσαι τὸ τῆς ψυχῆς ἐπιθυμοῦν, ὅ γε καὶ πρὶν ἀναπτυχθῆναι τῷ εὐόγκῳ τοῦ μεγέθους τὴν χεῖρα πληροῦν ἐψυχαγώγει με ὅσα καὶ κύλιξ τὸν διψῶντα καὶ πρὶν πεπωκέναι ἀναψύχει, εὐμεγέθης ὀρωμένη καὶ ὑπισχνουμένη τὸ πλήσμιον. Ἐπεὶ δὲ καὶ ἀνέῳγα, τί ἀλλ' ἢ παρῆν ὁρᾶν κῆπον ἀναπεπταμένον καὶ πηγὴν ἥδιστον ἀναβάλλουσαν; Ξυνεφόρει γὰρ πάνθ' ὁμοῦ τὰ πρὸς ἡδονήν μοι ἀγαθὰ τὸ ὑγιῶς ἔχειν τὴν σὴν ἁγιότητα καὶ τὸ μὴ ἐκτετοπίσθαι που ὑπερόρια, ἀλλ' ἐν τῇ ἐκ γειτόνων ταύτῃ νήσῳ περιγράφεσθαι καὶ δόξαν παρέχειν ὡς εἰκὸς μὴ διεστάναι μᾶλλον ἢ συνῆφθαι τῷ γειτονήματι.

3. Οὕτως ἡδίων ἐγεγόνειν τῷ γράμματι· εἰ γὰρ καὶ τὰ τῆς ἡμετέρας μάστιγος ἐτραγῴδει καὶ προὐκαλεῖτο δάκρυα ὁ περιπαθὴς ὀλοφυρμὸς, ἀλλὰ κἀκεῖνος ἔθελγεν ἄλλως τῷ κομψῷ τῆς ἐπαγγελίας καὶ καλλιρρήμονι. Ὅμως δὲ ἐπὶ τῷ πρώτῳ καὶ τὸ δεύτερον ἐπιδοθὲν διπλοῦν μοι τὸ ψυχαγώγημα ἐσχε-

ιγ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 105, ε.

4. *ὀδυνόμην*.—7. *ἧς μηδ'*. — 13. *χεῖραν*. — 16. *ὁρᾶν* κατὰ διόρθωσιν τοῦ *κῆ*[*πον*] ὅπερ ἤρξατο γράφων τὸ πρῶτον ὁ βιβλιογράφος.— 21. *μηδιεστάναι*.— 24. *ὀλοφυρμὸς*. — 25. *καλλιρρήμονι*.

Digitized by Google

δίασεν. 4. Ἦν δὲ ἄρα οὐδὲν τῶν ἀνθρωπίνων ὃ μὴ τῶν τῆς ποιήσεως δικῶν πάθοιν κέκραται. Ὅθεν οὐδὲ ἡ ἐκ τῶν γραμμάτων ἐφιλαρύνουσα τὰ ἡμέτερα παραψυχὴ ἀμιγὴς τοῦ λυποῦντος. Τὸ γὰρ δεύτερον γράμμα πολλὴν ἀκηδίαν τῆς σῆς ψυχῆς ἀπήγγελλε καὶ ἀπορίαν τοῦ πρακτέου, ὧν οὐδὲ ἡμεῖς ἀπηλλάγμεθα. Ἀλλὰ ἀνδριστέον καὶ ὑπομενετέον, ἀδελφὲ, καὶ ἀναρτητέον τὸ πᾶν τῶν ἐλπίδων εἰς τὸν κηδεμόνα πάντων. Ὃ γὰρ ἂν ἐκείνου ἐνδιδόντος πεισόμεθα, συνοίσει δήπου, κἂν ἄλλως δυςαρεστῶμεν καὶ ἀπαρεσκώμεθα.

ιϛ'. Τῷ ἰατρῷ κῦρ Νικολάῳ τῷ Καλοδούκῃ.

1. Ὅσον ψυχαγωγηθῆναι δεδεγμένοι σὸν γράμμα προσεδοκῶμεν, ἀγαπώμενε υἱὲ, τοσοῦτον δεξάμενοι ἠνιάθημεν καὶ πικρίας ἐνεπλήσθημεν, μεμαθηκότες δι' αὐτοῦ ὅσα καὶ ‖ οἷα ὑπέστης χαλεπὰ, καὶ ταῦτα παρὰ φίλου δοκοῦντος, ὑπὲρ οὗ καὶ ἡμᾶς πολλάκις ἠξίωσας. Ἀλλ' οὐδὲν καινὸν, εἰ κατὰ τὸν εὐαγγελικὸν χρησμὸν διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν ἐψύγη ἡ ἀγάπη τῶν πολλῶν. 2. Χρὴ οὖν φέρειν μεγαλοψύχως· εἰ γὰρ καὶ παντὸς ἑτέρου πειρασμοῦ βαρύτερός ἐστιν ὁ παρὰ τῶν φιλούντων ἐπιφερόμενος καὶ ὄντως ἀνύποιστος ἢ δύςοιστος· ὡς καὶ ὁ γενναιότατος Δαυὶδ ἐπιμαρτύρεται λέγων «εἰ ὁ ἐχθρὸς ὠνείδισέ με, ὑπήνεγκα ἄν, σὺ δὲ, ἄνθρωπε ἰσόψυχε·» ἀλλὰ καὶ ὁ μισθὸς πολὺς καὶ ἀνάλογος τοῖς φιλοσόφως τὸν τοιοῦτον ὑποφέρουσι. Καὶ τί λέγω μισθόν; διδάσκομαι ὅτι ὁμοιοπαθεῖς τῷ Χριστῷ καὶ Κυρίῳ ἡμῶν καθίστανται οἱ παρὰ τῶν φίλων κακῶς πάσχοντες καὶ, ὡς μέτοχοι τῶν αὐτῶν παθημάτων, κοινωνοὶ καὶ τῆς δόξης γίνονται. 3. Καὶ τίς ταῦτα μανθάνων καὶ πιστεύων οὐχὶ χαρήσεται πάσχων τὰ πάνδεινα;

ιϛ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 105,6 - 106,α.

Τίτλος. *ἰατρῷ*. — 12. ‖ Κώδ. 106,α. — 17. *βαρύτερος ἐστὶν*.

Digitized by Google

Καὶ σὺ τοίνυν μὴ σφόδρα ἀνιῶ, μηδὲ μνησικάκει τοῖς προξενοῦσί σοι, εἰ καὶ μὴ ἑκουσίως, τὴν τοῦ δεσπότου ταὐτοπάθειαν. Ἀλλὰ χαῖρε τῷ σωτῆρι Χριστῷ παρομοιούμενος, ὃς καὶ δοίη σοι ἢ λύσιν τῶν πειρασμῶν ἢ δύναμιν τοῦ ὑποφέρειν αὐτοὺς φιλοσόφως. Προσειρήσθω ὁ θεοφιλέστατος πατήρ σου.

www.libpol.com.cn

ιγ'. Τῷ καθηγουμένῳ τοῦ κῦρ Μελετίου κῦρ Ἰωαννικίῳ.

1. Ἐρωτᾷς, σεβασμία καὶ φίλη μοι κεφαλή, πῶς ἄρα καὶ ἔχομεν· μέλει γάρ σοι καὶ ὑπερορίων ὄντων ἡμῶν καὶ οὗ ποτε τῆς ἱερᾶς σου μνήμης ἐκπίπτομεν, ὡς πιστεύομεν. Οὐκοῦν ἄκουε. Σώματος μὲν ὑγιῶς ἔχομεν, ψυχῆς δὲ καὶ λίαν νοσερῶς, ὡς ἐντεῦθεν μηδὲ τὴν ἐκ τῆς σωματικῆς ὑγιείας γλυκυθυμίαν καθαρῶς καρποῦσθαι, εἴπερ τῇ ψυχικῇ διαθέσει καὶ ἡ τοῦ σώματος ἕξις φιλεῖ συμπαθαίνεσθαι. Ψυχῆς δὲ νόσοι καὶ ἄλλαι μέν, βαρυτέρα δὲ τὸ συνειδέναι ἑαυτῇ πρεσκεκρουκυίᾳ θεῷ καὶ μᾶλλον εἰ τῆς θείας ἀποστροφῆς ἐναργῆ καὶ πρὸ ὀφθαλμῶν ἔχει τεκμήρια. Ὥςπερ καὶ αὐτὸς, ἅτε ὁμοιοπαθὴς ὢν τῷ προπάτορι, ἀπέναντι τῆς Ἀττικῆς, ὡς ἐκεῖνος τῆς Ἐδὲμ, παροικῶ δεῦρο φθειρόμενος. 2. Πλὴν οὕτως ὀδυνωμένην μου τὴν ψυχὴν σφόδρα τὸ σὸν ἐψυχαγώγησε γράμμα καὶ ἡ ἐπιδημία τῶν ἀδελφῶν. Οἷον γὰρ εἰκόνας τῆς σῆς τελειότητος ἐδόξαμεν ἐνοπτρίσασθαι. Ὥςπερ δὲ οὐκ ἀποχρώντων ἡμῖν εἰς ψυχαγώγημα τούτων, καὶ εἴ τι τρωκτὸν ἢ

1. *μνησικάκη. προξενοῦσι.* — 2. *ταυτοπάθειαν.*

ιγ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν τῷ λαυρεντιακῷ κώδικι, φ. 106,α (Λ) καὶ τῷ βαροκικῷ, φ. 155,α - 155,β (Β).

Τίτλος. *μελέτι* Β. *κῦρ ἰωαννικίῳ* λείπουσι Β. — 10. *καὶ ἐντεῦθεν* Β. *ὑγείας* Β. *ὑγείαν* Λ.— 12. *ψυχῆ* Β. — 13. *βαρύτερον* Β. *προσκεκρουκυῖα* Λ. *προσκεκρουκυία ἐκ τοῦ τὸ πρῶτον γραφέντος προσκεκρουκυῖα* Β. — 15. *προφθαλμῶν* Β. — 18. *ἐδυνομένην* Β.— 20. *ἐνοπτίσασθαι* Β.

Digitized by Google

ποτὸν ὑπολειφθὲν ἔλαθε τοὺς παροδεύοντας Ἰταλοὺς, ὑπὲρ τὰς μυθικὰς ἁρπυίας τὴν τῶν ἀνθρώπων τροφὴν ἁρπάζοντας, τοῦτο ἡμῖν διαπέπομφας. Βαβαί· καὶ ταῦτα τοιῶνδε καὶ τοσῶνδε ὀρέων καὶ πεδιάδων μεταξὺ κειμένων καὶ πελάγους θαλάσσης πειραταῖς μᾶλλον ἢ κύμασιν ἀγριαίνοντος.

3. Ὄντως ἡ πρὸς τὸν θεὸν καὶ τὸν πλησίον ἀγάπη πάντα στέργει, πάντα ὑπομένει· περίπτερα γὰρ αὐτῆς κατὰ τὸ Ἄσμα τῶν Ἀσμάτων φλόγες πυρὸς, καὶ τίς ὁ ἀπείρξων αὐτὴν οὕτως ἐπτερωμένην τοῦ διιέναι ὅποι καὶ βούλεται; 4. Ταύτην καὶ αὐτὸς, ὦ ἄνθρωπε τοῦ θεοῦ, τῆς κατὰ σὲ τελειώσεως σύνδεσμον θέμενος καὶ τοὺς ὑπερορίους ἀδελφοὺς ἐπισκέπτῃ καὶ ψυχαγωγεῖς καὶ συνάπτεις σεαυτῷ, ὡς οἶδε συνάπτειν ἡ σχέσις τοῦ πνεύματος, οὐ χαλεπότητι καιροῦ, οὐ τοπικῇ διαστάσει ἐπιμήκει καὶ δυσχερεῖ, οὐκ ἄλλῃ τινὶ ἐργωδίᾳ τοῦ φιλικοῦ καθήκοντος ἐξειργόμενος. Καὶ χάρις τῷ οὕτω σε χαριτώσαντι Χριστῷ καὶ πυρσὸν ἀρετῆς ἐν τῇ ἀνάστρῳ ταύτῃ νυκτὶ τοῦ πειρασμοῦ ὑψηλὸν ὑψηλῶς ἀνάψαντι. Τὴν ἀδελφότητα πᾶσαν προσαγορεύω καὶ τὰς εὐχὰς ὑμῶν κοινῶς ἁπάντων ἐπικαλοῦμαι, ἵνα δι' αὐτῶν ἵλεώς μοι γένοιτο Κύριος.

ιδ'. Τῷ βασιλεῖ τῆς Ἀνατολῆς τῷ Λάσκαρι.

1. « ‖ Τίς εἰμι ἐγὼ Κύριε, Κυριέ μου βασιλεῦ; » Ὃ γὰρ πρὸς τὸν θεὸν ὁ θεῖος ἔφη Δαυὶδ, τοῦτο καὶ αὐτὸς ἐρῶ πρὸς

οι

2. *τὴν* λείπει Λ. — 5. *κύμασιν* Β. — 7. *στέγει* οὗ τὰ πρῶτα γράμματα ἐπὶ ἄλλων διεξεσμένων, τὰ νῦν δ' ἀδιαγνώστων Λ. *στέγει* Β. — 9. *ὅπη* Β. — 12. *ἑαυτῷ* Β. — 13. *ἡ χάρις τοῦ* Β. *καιροῦ καὶ τοπικῇ* Β. — 14. *ἐργώδει* Β. — 18. *καὶ τὰς εὐχὰς - κύριος* λείπουσιν ἐν τῷ Λ.

ιδ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν τῷ λαυρεντιακῷ κώδικι, φ. 106,α - 107,α (Λ) καὶ τῷ βαροκκικῷ, φ. 162,δ - 163,α (Β).

Τίτλος. *τῷ μεγάλῳ βασιλεῖ τῶν ῥωμαίων κῦρ θεοδώρῳ κομνηνῷ τῷ λάσκαρι* Β. — 20. ‖ Κώδ. 106,δ. *εἰμὶ* ΛΒ. *ἐγὼ κύριέ μου* Β.

Digitized by Google

τὸ ἔνθεον κράτος σου, ὅτι καὶ τὰ καθ' ἡμᾶς ἐν καλῷ μνήμης θάλπουσα ἡ πολύφροντις ἁγία βασιλεία σου διὰ προκυνητῶν αὐτῆς γραμμάτων, πρώτου τε καὶ δευτέρου, πρὸς ἑαυτὴν ἐφέλκεται καὶ διαναπαύσειν ἡμᾶς ἐπαγγέλλεται. Μᾶλλον δὲ τίς καὶ ποταπός ἐστιν ὁ βασιλικὸς νοῦς ὁ καὶ τὰ πόρρω καὶ οὕτω λεπτὰ καὶ κρυπτόμενα διορῶν, ὅσον δὲ καὶ τὸ πλάτος τῆς βασιλικῆς καρδίας; ὅτι καὶ κόσμον ὅλον χωρεῖ ἐν σπλάγχνοις τοῖς Κυρίου Ἰησοῦ, σπλάχνα δὲ Χριστοῦ φιλάνθρωπα ἐνεστάλαξε καὶ νοῦν δὲ Χριστοῦ ἔχειν κατὰ τὸν θεῖον Ἀπόστολον ἐχαρίσατο, καὶ, ἵνα συνέλω, χαρακτῆρας ἐναργεῖς τῆς ἑαυτοῦ θειότητος ὁ πλάσας τῇ σῇ ψυχῇ προσεμάξατο.

2. Ταῦτ' ἄρα ἐν ὑψηλοῖς κατοικῶν τῆς βασιλείας ὑψώμασι καὶ τὰ καθ' ἡμᾶς ταπεινὰ ἐφορᾷς ὡς ἐκεῖνος, καὶ ὡς ἐπὶ τῷ βιβλίῳ ἐκείνου, οὕτω κἀπὶ τῇ μνήμονι τῆς σῆς φρενὸς δέλτῳ πάντες γεγράμμεθα καὶ πρὸς πάντας ἐξαπλοῖς ὡς θάλψιν ἡλίου τὴν ὁλικωτέραν προμήθειαν καὶ κοινῶς ὑετίζεις τὸν ἔλεον. 3. Σαφὲς δ' αὐτόθεν τεκμήριον. Οὐκ ἀπέχρησε τῇ περὶ τὸ εὖ ποιεῖν ἀκορέστῳ προθυμίᾳ σου ἡ τῶν πόλεων βασιλὶς, παρὰ μὲν τῆς βαρβαρικῆς ἐπικλύσεως ἐκβεβρασμένη τῶν τοῦ Βυζαντίου περιβόλων ἐπὶ τὰς ἀκτὰς τῆς Ἀσίας ἐλεεινὸν ναυάγιον, ὑποδεχομένη δὲ παρὰ σοῦ καὶ ξεναγουμένη καὶ σωζομένη, ἀλλὰ καὶ τοῖς ὅποι ποτὲ ἐξωσμένοις κατὰ ζῆλον Χριστοῦ ἀνακέκραγας δεσποτικῶς εἶτ' οὖν πατρικῶς «δεῦτε πρός με πάντες, κἀγὼ ἀναπαύσω ὑμᾶς.» 4. Κατὰ γὰρ τὴν ἐν Εὐαγγελίοις εἰκόνα, ὡς ὄρνις ἐπισυνάγει τὰ νοσσία ἑαυτῆς, οὕτω καὶ αὐτὸς τὰ τέκνα τῆς ἐκκλησίας, ἄλλο ἀλλαχοῦ διεσκεδασμένα, ἐπὶ σεαυτὸν ἀθροίζειν ἐν σπουδῇ πεποίησαι. Ἀνάλογον γὰρ τῷ οἰκουμενικῷ κλυδωνίῳ καὶ λιμένα σεαυτὸν οἰκουμενικὸν ἀνεπέτασας, μᾶλλον δὲ ἄλλην ἐτεκτήνω κιβωτὸν τὴν Ἀσίαν κατὰ θεῖον δήπου ἐπίταγμα· ἐν ᾗ τὰ τῆς ῥωμαϊκῆς πολιτείας ὑπολείμματά τε ἅμα καὶ δευτέρου κόσμου σπέρ-

1. *ἐγκαλῶ* B.— 19. *ἐπιτελύσεως* B.— 21. *ὑποδρομένη* B.— 22. *ὁποίποτε* ΛB.— 23. *ἀνέκραγας* Λ. — 25. *εναγγελίοις* B.

www.libtool.com.cn

Digitized by Google

ματα αὐτῇ Ἀσίᾳ διέσωσας. 5. Ὄντως γὰρ πολλάκις ὁ Ἰταλόθεν ἀναρροιβδήσας στρατὸς καὶ τὰ τῆς Εὐρώπης ἐπιθαλαττίδια ἐπικλύσας ἐξεκύμηνε κατὰ τῆς Ἀσίας καὶ δι' Ἑλλησπόντου καὶ Προποντίδος ὑπερχυθῆναι διεφιλονείκησεν· ἀλλ' ὡς ὁ θεὸς τῇ θαλάσσῃ τὴν ψάμμον ἔθηκεν ὅριον καὶ οὐκ ἐπιβαίνει τῆς χέρσου τῆς γείτονος, οὕτω καὶ αὐτὸς, τὰ τῆς Ἀσίας ἁλιτενῆ κράσπεδα ἐπιτειχίσας τῷ τῶν ὅπλων σου διαφράγματι, ἄβατα τοῖς Ἰταλοῖς πάντη πεποίηκας· καὶ ὡς τὸ ὑπερέκεινα τῶν ἡρακλείων στηλῶν οὐ βατὸν, οὕτω καὶ τοῖς ἁλαζόσι τούτοις ὁ τῆς Προποντίδος Βόσπορος.

6. Πλὴν δι' εὐχῆς μοι μὴ τὴν Ἀσίαν μόνην ἀστιβῆ τοῖς Ἰταλοῖς διατηρῆσαι καὶ πάντη ἄβατον, ἀλλὰ καὶ τὴν βασιλίδα τῶν πόλεων ἀπαλλάξαι τῆς αὐτῶν ὕβρεως καὶ ὡς κύνας λυσσητῆρας ἀπελάσαι τῶν ἱερῶν περιβόλων τῆς καθ' ἡμᾶς Ἱερουσαλὴμ ὡς τοὺς Ἰεβουσαίους ἐκ τῆς ἀρχαιοτέρας ὁ μέγας Δαυὶδ, καὶ μακαρισμῶν μὲν ἀναδήσασθαι στέφανον ὡς τῇ ταλαιπώρῳ Ἰταλίας θυγατρὶ ἀνταποδόντα ψαλμικῶς ὃ ἀνταπέδωκεν ἡμῖν ἀνταπόδομα, νέον δὲ πολιστὴν καὶ συνοικιστὴν <ἢ ἀνοικιστὴν> ὀνομάζεσθαι δι' αἰῶνος τῆς πόλεως Κωνσταντίνου, τῆς βασιλίδος τῆς πανευδαίμονος. 7. Οὐκ ἔλαττον γὰρ εἰς φιλοτιμίαν τοῦ πόλιν ἐκ κρηπίδων αὐτῶν δείμασθαι τὸ πεσοῦσαν αὐτὴν ἀναδείμασθαι, ναὶ μὴν καὶ τοῦ θρόνου ἐκείνου εἰς γῆν καταραχθέντος ‖ ἀνορθωτὴν γενέσθαι καὶ κληρονόμον αὐτοῦ καὶ διάδοχον γνήσιον καὶ τῶν ἐκείνου πολιτῶν αὐτοκράτορα ἔννομον. 8. Ὧν γὰρ σὺ ξεναγὸς καὶ συναγωγεὺς καὶ τροφεὺς καὶ σωτὴρ, πῶς οὐχὶ καὶ βασιλεὺς τούτων ἔνθεσμος, βασιλείας δὲ, ἣν πίπτουσαν ἀνέστησας καὶ συνεστήσω λυομένην καὶ οἰχομένην ἐπελάβου, πῶς οὐ πάντων ἄλλων σὺ ἀξιώτερος; Ὁ δὲ καὶ τῶν καθ' ἡμᾶς μικρῶν καὶ ἐν καρδίαις θαλασσῶν κατεπτηχότων οὐδενὸς καταφρο-

3. *ἐλησπόντου* B. — 4. *ὑπερχεθῆναι* B. — 7. *ἁλιγενῆ* B. — 13. *κῦνας* AB.— 15. *ἰεβουδαίους* B. — 16. *μακαρισμὸν ἀναδήσασθαι* Λ.— 21. *κριπίδων* B.— 23. *χρόνου* Λ. *καταρραχθέντος* AB. ‖ Κώδ. 107,α.—27. *βασιλείαν* B.— 28. *οἰχομένης* B.

Digitized by Google

νῶν, ἀλλὰ προνοίας ἀξιῶν, ἄρ' οὗ δίκαιός ἐστι τὸ κατὰ πάντων ἀναζώσασθαι κράτος κατὰ τὰ παλαίτατα τῆς ῥωμαϊκῆς ἀρχῆς πάτρια κἀπὶ τὰ βασίλεια τῆς οὐρανοπόλεως ὡς εἰς ἄλλο στερέωμα καθιδρυθῆναι, ὡς ἂν ἀπὸ μετεωροτέρας περιωπῆς τὰ πάντα κατοπτεύῃ καὶ θάλπῃ καὶ τὰς ἀκτῖνας τῆς εὐποιίας ἐπισπείρῃ ἐς πάντα πολυφόρβου πείρατα γαίης;

9. Ταῦτα, καὶ μὴ δυνάμενοι ἐλθεῖν εἰς προςκύνησιν τῆς ἁγίας βασιλείας σου διὰ σωματικὰς ἀσθενείας, ἐπευχόμεθα μὲν ἡμεῖς διηνεκῶς, θεὸς δὲ ἐπακούοι, διατηρῶν τὸ ἔνθεον κράτος σου πολυχρόνιον.

ιε'. Τῷ πατριάρχῃ κῦρ Μιχαήλ.

1. Ὡς εὐμαθές μοι τὸ σὸν, ἁγιώτατε καὶ σοφώτατε δέσποτα, θειότατον φώνημα, κἂν ἄποπτος ἄλλως ᾖς τῷ τε ἑκαστάτῳ τοπικῷ διαστήματι καὶ τῇ ἀνωτάτῳ τῆς ἀποστολικῆς ἀξίας κορυφαίᾳ περιωπῇ. Εἰς ἦν ἄλλος μέν τις τῶν ῥᾳδίως χαυνουμένων, ὡς εἰς τρίτον οὐρανὸν ἁρπαγείς, τά τε ἄλλα ἑτεροῖος ἂν ἐφάνη, οὐ κατὰ ἀλλοίωσιν τῆς δεξιᾶς τοῦ ὑψίστου, τὴν ἀνθρωπικὴν δὲ μᾶλλον καὶ ἐπαρίστερον, καὶ δὴ καὶ τὸ φθέγμα ἀτεχνῶς χρηματίζων ὑπερεσέμνυνε καὶ ἢ μηδὲ τὴν ἀρχὴν ἡμῖν ὡμίλησεν, ὡς οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι ἢ ἀκοῦσαι ὅσα οὐρανόθεν μεμύηται ῥήματα, ἢ καὶ ὁμιλήσας ὡς ἐξ αἰθέρος διὰ λαίλαπος καὶ νεφῶν τὴν ἐν λόγοις ἔντευξιν ἐπεποίητο. 2. Σὺ δὲ, ὃς τοῦ θεοῦ καὶ θεῖος ὁ αὐτὸς εἶ, τήν τε ταπείνωσιν Ἰησοῦ ὡς ὑφαντὸν ἐκ τῶν ἄνωθεν

1. ἄρ' B. — 5. ἀκτίνας A. — 7. μη B.

ιε'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν τῷ λαυρεντιακῷ κώδικι, φ. 107,α - 107,β (A) καὶ τῷ βαροκκικῷ, φ. 163,α - 163,β (B).

Τίτλος. *τῷ ἁγιωτάτῳ μου δεσπότῃ καὶ οἰκουμενικῷ πατριάρχῃ κῦρ μιχαὴλ τῷ αὐτωρειαρῷ, ἐν δὲ τῇ ὧδε πατριαρχικὸν* B. — 13. *ἑκάστω* A. — 15. *χωρουμένων* A. — 17. *δὴ τὸ* B. — 18. *χρηματίζειν* B. — 21. *ἐξαιθέρος* B. — 22. *ὡς*.

Digitized by Google

ποδήρη περιβαλλόμενος, καὶ οὖν ἀμετάβλητα συντηρῶν τὰ σεαυτοῦ πάντα, καὶ τὸ φθέγμα ταὐτὸ δ ἦν, καὶ νῦν ἐπὶ τὴν καθ' ἡμᾶς ταύτην καθῆκας ἐσχατιὰν οὐδ' ὑπό τι δεσποτικὸν ἢ πατρικὸν γοῦν, ἀδελφικὸν δὲ καὶ τὸ ὅλον φίλιον βρύον ταῖς ἀπὸ τῶν ἀρίστων νοημάτων καὶ ὀνομάτων χάρισι μελιχραῖς, μακρᾶς τε ἀγάπης οὐ ζώπυρον θάλπον, ἀλλὰ πυρσὸν ἐκκαῖον τηλεφανῆ, δι' οὗ τὸν ναυαγὸν ἐμὲ καὶ κατὰ μέσον τὸ Αἰγαῖον κλυζόμενον ἐπὶ σεαυτὸν προεκαλέσω, τὸν κοινὸν λιμένα καὶ πᾶσιν εὐγάληνον. Ὑφ' οὗ τοσοῦτον ἀνεπτέρωμαι ὥστε κἂν πλοιάρια καὶ πορθμεῖα χαίρειν ἐάσας ἔβαλον ἐμαυτὸν εἰς τὴν θάλασσαν καὶ πρὸς τὸ μέγα καὶ οἰκουμενικὸν φῶς ἐφερόμην διανηχόμενος καὶ τῇ πίστει ὑπανεχόμενος ὅσα καὶ φελλὸς ἀβάπτιστος κατὰ Πίνδαρον· καὶ μάλισθ' ὅτι καὶ ὁ κράτιστος αὐτοκράτωρ καὶ βασιλεὺς ἑτέρωθεν καὶ αὐτὸς φιλάνθρωπον χεῖρα ὀρέγων προσεφέλκεται. 3. Οὕτως τοῦ προσδραμεῖν τοῖς καλοῦσιν ἐγενόμην, τὸ μὲν οὐχ οἷός τε ὢν δυσὶ, καὶ τοιοῖσδε, ἀντιβαίνειν, πρὸς οὓς οὐδ' ἂν Ἡρακλῆς φασι, τὸ δὲ καὶ ἐρασθεὶς, ὡς Ὀδυσσεὺς πεποίηται τῆς ἐνεγκαμένης καὶ καπνὸν ἀποθρώσκοντα θεάσασθαι, οὕτω καὶ αὐτὸς τῆς κοινῆς πατρίδος σχῆμα γοῦν καὶ σκηνὴν ἰδεῖν κατὰ τὸν τρόπον τὸν δεδειγμένον ἐν τῷ ὄρει τῆς οὐρανοπόλεως, ἀληθινὴν καὶ αὐτὴν καὶ πεπηγυῖαν παρὰ Κυρίου καὶ οὐ παρ' ἀνθρώπου τινὸς, κἀντεῦθεν ἀποστολικῶς συμπαρακληθῆναι διὰ τῆς ἐν ἀλλήλοις πίστεως.

4. Ἀλλ' ὦ τί πάθω; ἀνίπταμαι μὲν οὕτως ὑπὸ τῆς ἄγαν προθυμίας, μάτην δὲ ἄλλως πτερυγίζω ὡς οἱ ἄπτιλοι τῶν ὀρνίθων καὶ κόλουροι ἢ καὶ μηρίνθῳ τοὺς πόδας συνδεδεμένοι καὶ παρὰ τοῦτο ‖ τῆς ἐς τὰ πάτρια καθόδου εἰργόμενοι. Τοῦτο δέ ἐστι τοιόνδε τι· ἀλλ', ὅπως μὴ ἀπιστήσῃς μοι ἢ κατὰ τὴν

2. *ταυτὸ* ΛΒ.— 5. *ἀρρήτων* Β.— 7. *τὸν αἰγαῖον* ΛΒ.—8. *προκαλέσω* Β.— 10. *κἂν* λείπει Λ. — 13. *ἀβάπτιστα* Β. *μάλιστ'* Β. — 16. *οἷος* Λ.—17. *φησι* Β.— 20. *τύπον* Λ.— 22. *παρὰ θεοῦ καὶ παρ'* Β. — 27. *ξυνδεδεμένοι* Β.— 28. ‖ Κώδ. 107, 6. — 29. *τοιόνδέ* Λ.

Digitized by Google

πόρρωθεν εἰωθυῖάν σοι ἀστειοσύνην χαριεντιζόμενος ἐρεῖς ἡμᾶς καὶ ταυτὶ σκηνικεύεσθαι, λόγος τίς ἐστιν ἀρχαῖος παιδιὰν σπουδῇ παραμιγνύς, ἑκάστῳ τῶν ἀνθρώπων γεννωμένῳ τὴν φύσιν δανείζειν τὰ ἐξ ὧν σύγκειται, ἅπερ ὁ μὲν θᾶττον ἀποδιδοὺς ἀνεμέσητος παρ' αὐτῇ, ὁ δὲ μέλλων καὶ τὴν ἀπότισιν ἀναδυόμενος εὐθύνεται καὶ ἄλλοτε ἄλλο τι τῶν μελῶν ἀφαιρούμενος ἐνεχυράζεται. 5. Ἀτάρ τοι κἀμὲ ἀναβαλλόμενον ὁρῶσα τὴν καταβολὴν ὧν ἔχρησε περί που τοὺς ἑβδομήκοντα ἐνιαυτούς, τῶν τε γομφίων ἔχει πολλοὺς ἐνεχυράσασα καὶ πρός γε τῆς ὀξυδερκείας οὐκ ὀλίγον παρείλετο, ναὶ μὴν καὶ τῆς κόμης λαβομένη καὶ πρὸς βίαν ἕλκουσα ἕως καὶ εἰς φαλάκρωμα ἀκριβὲς ἀπεψίλωσε. Τέλος ἔγνω καὶ συμποδίσαι με, ποδοκάκην ἐπιβαλοῦσά μοι. 6. Τοσούτων πρεσβυτικῶν κακῶν ὑπέραντλος γέγονα, ὥστε καὶ τοῦ κοιτωνίσκου προκύπτειν ἐκδιαζόμενος οἷον ἀσκωλιάζω, καμπύλαις βακτηρίαις διερειδόμενος. Αἱ δέ γε τῆς ψυχῆς μου δυνάμεις, ἀλλ' οὐδὲ αὐταί μοι ἔρρωνται, ὑπὸ τῶν κοινῶν καταβεβλημέναι καὶ ἰδίων δυσπραγιῶν ἢ καὶ ταῖς τοῦ σώματος συμμεταβαλοῦσαι σαθρότησι.

7. Πῶς οὖν, οὕτως ἔχων καὶ ψυχῆς καὶ σώματος, ἀπὸ τῆς ἐσχατιᾶς τοῦ κατ' Αἰγαῖον πελάγους ἐπὶ Βιθυνίαν μεταβήσομαι, ὃς οὐδὲ τὰς ἀντιπόρθμους νήσους οἷός τέ εἰμι μεθορμίσασθαι, Εὔβοιαν λέγω ἢ Ἄνδρον ἢ Νάξον αὐτὴν, ἣν καὶ χηρεύουσαν κατεγγυῆσαί μοι ἐξεβιάσατό σε ἡ πασῶν τῶν ἐκκλησιῶν μέριμνα, ἵνα, τῆς ἐμῆς νύμφης ᾗ συνεβίωσα ἐπὶ μακρὸν μοιχευομένης παρ' ἀσελγῶν καὶ ἱπποπόρνων ἐπιβητόρων, μηδ' αὐτὸς ἄγω σχολὴν, κλάων τὴν ἐμὴν ταύτην ἐφύβριστον συμφοράν, ἀλλὰ, πρεσβύτης ὢν καὶ ἔξωρος νυμφίος, ξυνεύνῳ γραῒ, καὶ αὐτῇ χήρᾳ, παρευνάζωμαι, οὐκ εἰς παιδουρ-

1. *εἰωθεῖαν* Λ. *νἰωθεῖαν* Β. — 5. *αὐτοῦ* Λ. — 6. *ἄλλό* Λ. *τἰ* Β. — 10. *μὲν* Β. — 13. *ἐπιβαλοῦσα* Λ. — 14. *ἐμβιαζόμενος* Β. — 17. *καταβεβλημέναι ἐκ τοῦ τὸ πρῶτον γραφέντος καταβεβλημένων* Β. — 18. *σαθρότητι* Β. — 19. *οὖν ἔχων οὕτως καὶ* Β. — 20. *ἐσχατιὰς* Β. — 21. *οἷος τὲ* ΑΒ. — 23. *κατεγγυῆσαι* ΑΒ. *πᾶσα* Β. — 24. *ἧς* Β. — 28. *αὐτῇ καὶ χῆρα* Β.

www.ipbtool.com.cn

Digitized by Google

γὸν, ἀλλὰ ψυχρὸν καὶ ἄγονον παραγκάλισμα; 8. Πλὴν σοῦ κατὰ θεσμοὺς πατρικοὺς μνηστεύοντος ἀνάγκη μὲν στέργειν τὴν κατεγγύησιν οὐχ ὅπως τῆς χηρευούσης τῆσδε, ἀλλὰ καὶ εἴ τινα ἄλλην ἔκβλητον ἢ καὶ μαχλάδα λαβεῖν ἐκέλευσας, ὡς τῷ θεσπεσίῳ Ὡσηὲ ὁ θεός. Πλὴν, ὡς εἴπομεν, οὐδὲ τῇ νήσῳ ταύτῃ προσχεῖν καὶ ὄψεσθαι καὶ ὀφθῆναι δεδυνήμεθά που, ἀλλ' οὐδὲ δυνησόμεθα, ὥστε ἑτέραν τινὰ τῆς τοιαύτης ἐκκλησίας ποιησάτω ἡ μεγάλη ἁγιωσύνη σου πρόνοιαν. 9. Δέομαι δὲ τῆς ἀποστολικῆς καὶ πάντ' ἐμοὶ σεβασμίας κορυφῆς μήτ' αὐτὴν χαλεπῆναί μοι, οὐχ ἑτοίμως προσδραμόντι διὰ τὴν ἐμποδοστατήσασάν μοι ἀσθένειαν, καὶ τὸν κράτιστον αὐτοκράτορα διαπραύναι, εἴπερ τυχὸν ἐπὶ παραιτήσει δεινοπαθήσει ὡς ὁ ἐν Εὐαγγελίοις δειπνοκλήτωρ καὶ βασιλεύς. Οὐ γὰρ δι' ἀγρὸν ἢ ζεύγη βοῶν ἢ παρὰ τὸ ἐπιγῆμαι, τῆς ἐν Νάξῳ ἐκκλησίας, ἧς πρὶν συζυγῆναι διέζευγμαι, παρῃτησάμην τὴν κλῆσιν ἤδη τοῦτο δεύτερον, ἀλλὰ δι' ἣν εἶπον ἀναγκαίαν ἀσθένειαν. 10. Χαρίσαιτο Κύριος τῇ ἐκκλησίᾳ αὐτοῦ τὴν σὴν ἁγιότητα πολυχρόνιον· ἣν μεθ' ἡμῶν προσκυνεῖ ὁ ἀνεψιὸς ἡμῶν Νικήτας καὶ διάκονος τῆς μεγάλης ἁγιωσύνης σου, ὡσαύτως καὶ ὁ ἕτερος ἀνεψιὸς ἡμῶν Θεοφύλακτος.

www.tibtool.com.cn

ιϛ'. Τῷ καθηγουμένῳ τοῦ κῦρ Μελετίου κῦρ Ἰωαννικίῳ.

1. «Ἐμνήσθη γάρ μου ὁ θεὸς» ἔφη που ὁ τῶν ἐπιθυμιῶν ἀνὴρ, ὅτε διὰ τοῦ θεσπεσίου Ἀββακοὺμ ἐδέξατο θεόπεμπτον ἄριστον. Κἀγὼ, γράμμα σὸν δεξάμενος, ὦ σεβασμιωτάτη κε-

1. *παραγγάλισμα* B. — 6. *προσχεῖν* ΛB. — 10. *μήτ* Λ. *μήταυτὴν* B. *χαλεπῆναι* ΛB.— 13. *εναγγελίοις* B.— 15. *τὴν* ΛB. *ἐράξω* B. *ἐκκλησίαν* ΛB.— 16. *κλῆσιν τοῦτο ἤδη* B.— 18-20. *ἣν — θεοφύλακτος* λείπουσιν ἐν τῷ Λ.

ιϛ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 107,δ - 108,α.

Digitized by Google

φαλὴ,ὡς ἄλλην φιλοφροσύνην ἀδελφικὴν,ὑπεφθεγξάμην παραπλησίως· ἐμνήσθη γάρ μου ἡ θεοειδὴς ψυχὴ ἀνδρὸς ὑπερορίου καὶ φυγάδος καὶ παρὰ θεοῦ ἀπωσμένου καὶ γεγονότος ὡςεὶ σκεῦος ἀπολωλὸς, ἐκεῖνα πάλιν ἀπειλησαμένου δήπου τοῦ θεοῦ, μᾶλλον δὲ καὶ ἔργοις πληρώσαντος, πατεῖν τὴν αὐλήν μου οὐ προσθήσει ἔτι καὶ αὖθις· καθὼς ἀπώσω τοῦ ἱερατεύειν μοι, ‖ ἀξίως δῆλα δὴ κἀγὼ ἀπώσομαι, λέγει Κύριος.

2.Διὰ ταῦτα τοίνυν ἐθαύμασα διαπορούμενος ὅπως οὐκ ἐπελήσθην ὡςεὶ νεκρὸς ἀπὸ καρδίας, ἀλλὰ μᾶλλον καὶ μνήμης καὶ γραμμάτων ἠξίωμαι παρὰ σοὶ ὁ οὕτως ἐκπεπολεμωμένος θεῷ, ὁ δι' ὃν τὸ ἁγιαστήριον τοῦ θεοῦ κληρονομοῦσιν ἀλλόφυλοι καὶ ἡ θεία παρ' αὐτοῖς κιβωτός ἐστι. 3. Πλὴν θᾶττον ἐπεσχέθην τοῦ θαυμάζειν καὶ διανοεῖσθαι τοιαῦτά τινα καὶ ὑπολαλεῖν, ἐνθυμηθεὶς τὴν σὴν τελειότητα, ἧς σύνδεσμος ἡ ἀγάπη παρὰ τῷ Ἀποστόλῳ λέγεται, δι' ἣν οἱ πάλαι καὶ νῦν ἄνθρωποι τοῦ θεοῦ οὐ προσεπιτίθενται τοῖς προσκεκρουκόσι θεῷ, οὐδὲ οὓς οὗτος πατάσσει αὐτοὶ καταδιώκουσιν, ἀλλ' εἰδότες ὡς φιλανθρωπίαν τὴν εἰς ἀλλήλους ἀπαιτεῖ θεὸς, κἂν ὑπ' αὐτοῦ κολάζωνταί τινες, ἱλεοῦντο τὸν θεὸν τοῖς ἡμαρτηκόσι, φιλαδέλφως δεόμενοι. 4. Οὕτω Μωσῆς ὁ μέγας ὑπὲρ τῶν τολμησάντων εἰδωλοποιΐᾳ ἱκετηριάσατο· οὕτω Παῦλος ὁ θεῖος ὑπὲρ τῶν ἀρνησαμένων τὴν ἑαυτῶν καὶ πάντων ζωὴν ηὔχετο αὐτὸς ἀνάθεμα εἶναι ἀπὸ θεοῦ. 5. Ὧν κατὰ ζῆλον καὶ αὐτὸς ὑπὲρ ἡμῶν τῶν παραπικρανάντων τὸν ἀγαθὸν Κύριον οὐ παύῃ δεόμενος σὺν τῷ χορῷ τῆς ὑπὸ σὲ ἀδελφότητος, καθὼς τὸ γράμμα παρεδήλου καὶ οὐ μικρῶς ἐψυχαγώγησεν ἀπεγνωσμένους πάλαι· ὃ δὴ καὶ εἰς ἔπειτα ποιεῖν ἀξιωσάτω ἡ σὴ ὁσιότης. 6. Ἔστω δὲ τὸ ὅλον καὶ πᾶν τῆς ἱκετηρίας μὴ ἐκκενωθῆναι ἡμῖν, καὶ μάλιστα· ἐν τῇ μελλούσῃ ὀργῇ, τὴν τρυγίαν τοῦ ἐν χειρὶ Κυρίου ποτηρίου τοῦ πλήρους οἴνου κε-

7. ‖ Κώδ. 108,α. *δηλαδὴ*. — 12. *κιβωτὸς ἔτι πλην*. — *προσ*
16. *κεκρουκόσι*. — 21. *ἱκετηρίσατο*. — 27. *εἰσέπειτα*.

Digitized by Google

ράσματος· οὔπερ εἴπερ τινὲς ἁμαρτωλοὶ ἀκράτου πεπώκαμεν εἰς μέθην καὶ δεινῶν λογισμῶν ἔκστασιν. Ἵλεως γένοιτό μοι θεὸς διὰ τῶν σῶν ὁσιωτάτων ἐντεύξεων.

www.nbtool.com.cn

ιξ'. Τῷ Τορνίκῃ κῦρ Εὐθυμίῳ.

1. Ἐψυχαγώγημαι καὶ αὖθις, σοφὴ καὶ φίλη μοι κεφαλή, τῷ σῷ σεμνῷ γράμματι, καὶ οὔπερ ὁ παραβολικὸς πλούσιος δεηθεὶς οὐδὲ ἅπαξ τετύχηκε, τούτου ὁ πλουτισθεὶς ἐν κακοῖς ἐγὼ καὶ φλεγόμενος ἐν βασανιστηρίῳ πυρὶ ἀπολαύω κατ' ἐνδελέχειαν. Καταψύχεις γάρ με ὅλον, οὐ γλῶτταν μόνην, οὐδ' ἄκρῳ δακτύλῳ, ἀλλ' ἀμφοτέραις χερσὶν ἐπαντλῶν δι' ὧν ἐγχαράττεις μοι ψυχαγωγὰ γράμματα ὡς ἄλλην δρόσον Ἑρμῶν ἢ πνεῦμα δροσῶδες ἢ ζωογόνον καὶ θεῖον ἐμφύσημα.

2. Οὕτως ὅλως εἶ εὐθυμίᾳ φερώνυμος καὶ ὅπερ ἐκλήθης οὐ παύῃ κατὰ καιρόν μοι γινόμενος καὶ ταῦτα τοσῷδε διειργόμενος τοῦ μεταξὺ πελάγους χάσματι, ὅπερ κἂν Ἀβραὰμ προὐβάλετο εἰς παραίτησιν· ἀλλά σοί γε οὔτε τὸ τῆς ἀντιπορθμεύσεως οὐ περατὸν οὔτε τὸ τίνειν με δικαίως δίκην τῆς προτέρας ῥᾳστώνης ἀντίζυγον ἐπῆλθε σκέψασθαι, ὥστε μὴ οὐ διαπέμπειν ὀδυνωμένῳ τὸ δυνατὸν ψυχαγώγημα. 3. Οὐκοῦν αὐτόθεν τὴν ἀντιμισθίαν ἀντιλαμβάνεις τῆς περὶ ἡμᾶς ἡμερότητος. Κἂν γὰρ ἡμεῖς μὴ τολμῶμεν ἐπάγειν διὰ τὴν τοῦ πατριάρχου μεγαλειότητα, ὅμως ὥςπερ τι γεωμετρικὸν πόρισμα συναγόμενον ἀναφαίνεται τὸ ἀποδεικνύεσθαί σε δῆλα δὴ τοῦ ἐν παραβολαῖς Ἀβραὰμ συμπαθέστερόν τι περὶ ἡμᾶς ἢ περ ἐκεῖνος περὶ τὸν βασανιζόμενον πλούσιον.

4. Ναὶ καὶ μὴ λήγοις οὕτω ψυχαγωγῶν. Ὤφελες μέν τοι καὶ ἄκουσμά τι εὐκταῖον παραμιγνῦναι τοῖς γράμμασιν ὡς

1. *εἴπέρ τινες.*

ιξ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 108,α - 108,6.

15. *σύ.*— 21. *ὥσπέρ.*— 22. *ἀναφαίνεσθαι. δηλαδή.*

Digitized by Google

ἄλλο νηπενθὲς ἔπασμα. Ἀλλ' ἔοικας μηδὲν ὑγιὲς πυνθάνεσθαι, μήτε μὴν ἔτι τὰ χρησμολόγα ‖ ἰαμβεῖα σεβάζεσθαι ὥσπερ τινὰ λόγια, ἐρρῶσθαι δὲ μᾶλλον ἐάσαι ὡς ἀτεχνῶς ὄντα κατὰ τὸν Σταγειρίτην τερετίσματα καὶ παρὰ τοῦτο διαπιστεῖν τοῖς θρυλουμένοις διὰ κενῆς· μόνοις δὲ ἕπεσθαι τοῦ λοιποῦ τοῖς παρὰ τῆς ἀνωτάτω Προνοίας πρυτανευομένοις κατὰ τὸν λέγοντα πρὸς θεόν· «οὐκ ἐκοπίασα κατακολουθῶν σοι.» Πλὴν ἔμοιγε ἀπόχρη καὶ προσήγορον μόνον σὸν γράμμα ἐγχειριζόμενον· ὅπερ καὶ μήπω λυθὲν τοῦ δεσμοῦ καὶ ἀναπτυχθὲν ἡδονῆς ἐμπίπλησι τοὐπίκλην τὸ σὸν ὡς εὐθυμοποιὸν φάρμακον προϊσχόμενον.

www.libtool.com.cn

ιη'. Τῷ αὐτῷ.

1. Ἀγαθὰ πολλὰ γένοιτο τἀνδρὶ τουτῳὶ οἷς παρὰ σοῦ πρὸς ἡμᾶς καὶ πρὸς σὲ παρ' ἡμῶν κεκόμικε γράμματα, τὰς ἀντιφώνους προσρήσεις μεταφέρων πολλῷ τῆς ἠχοῦς ἐναργέστερον καὶ τελεώτερον. Ἐκείνη μὲν γὰρ ἄκροις καὶ φειδωλοῖς φωνήμασι τὰς προσλαλιὰς ἀντιδίδωσιν· οὗτος δὲ παντελεῖς καὶ ὁλοφώνους ἀντικομίζει τὰς προσηγόρους ἐπιστολάς. 2. Εἰ δὲ καὶ νῦν αὖθις ἑτέρας ὑπάρξει ἀντιστρόφου γραμμάτων κομιδῆς, πάλιν καὶ αὐτὸς μισθὸν τῆς εὐχῆς ἀντικομίσεται, καὶ μᾶλλον εἰ ἀδελφὴν τῆς προτέρας ἐπιστολῆς ἐπανήξει μοι φέρων ἰσομήκη τε καὶ τὸν αὐτὸν πολυτελῆ περικειμένην κόσμον καὶ ὡς ἄλλην παρὰ τῷ Δαυὶδ θυγατέρα βασιλέως πᾶσαν τὴν δόξαν οὐχ ὅπως ἔσωθεν περιβεβλημένην, ἔν τε δήλα δὴ σεμνώμασιν ἐννοιῶν καὶ πυκνώσεσιν ἐνθυμημάτων καὶ με-

2. ‖ Κώδ. 108,α. *ὥσπέρ τινα.* — 5. *θρυλλουμένοις διακενῆς* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *διακενεῖς.* — 10. *τὸν σὸν.*

ιη'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 108,6 - 109,α.

προσ

16. *λαλιὰς.* — 18. *ἀντιστρόφους.* — 22. *θυγατέρων.* — 23. *δηλαδὴ.*

Digitized by Google

θέδων δεινότησιν, ἀλλὰ καὶ ἔξω χρυσέοις θυσάνοις τῆς διαλεκτικῆς παρηρτημένην καὶ ποικιλλομένην εἰς κάλλος ἀμήχανον ἑκατέρωθεν. 3. Ἀλλὰ τοῦτο μὲν οὐδὲ ἀμφιβάλλειν τὴν ἀρχὴν ἐχρῆν. Εἰ γὰρ τοῦ αὐτοῦ ἐκείνου πατρὸς ἐκφυήσεται, εὔδηλον ὡς καὶ χάρισιν ἀδελφαῖς ὡραίσεται. Οὐ γὰρ ἐξ αἱμάτων ταύταις ἡ γένεσις, οὐδὲ φύσις ἡ πλάττουσα, ἵνα τὸ ἄτακτον τῆς ὕλης βιάζηται παραφθείρειν τῆς μορφῆς τὴν εὐγένειαν, ἀλλ' ἐκ νοερῶν ὠδίνων ὁ τοκετὸς καὶ καθ' ἕξιν τεχνικὴν ἀκίνητον ἐκλοχεύονται.

4. Ἐκεῖνο δὲ μᾶλλον εὐχῆς ἄξιον, ἵνα μὴ πανείκελος οὖσα τῇ ἀδελφῇ τὰ αὐτὰ καὶ αὐτὴ μονωδῇ καὶ γοερὸν ᾄδῃ καὶ καθέλκῃ πρὸς δάκρυα, ἀλλ' ἄλλον κόσμον ἀείδουσα μεταδῇ πρὸς τὸ καί τι καθ' ἡδονὴν ἡμῖν ἁρμόσασθαι. 5. Εἰ γὰρ καὶ τὰ δυσχερῆ τοῦ καιροῦ καὶ ὁ τοῦ καθ' ἡμᾶς βίου πλημμελὴς δῖνος οὐδὲν ὑπαγορεύει σοι πρὸς διήγησιν χάριεν, ὅμως οἶδεν ὁ κρατὴρ τῆς σῆς σοφίας πολλῷ ἄμεινον τοῦ τῆς Ἑλένης μεταβαλεῖν τὸν πεπτωκότα φαρμάκοις ἀρρήτοις ἐπὶ σχῆμα νηπενθὲς καὶ κακῶν ἁπάντων ἐπίληθες. Εἰ δὲ καὶ τῇ βρυωνίᾳ ἀμπέλῳ τοιοῦτόν τι πρὸς τῆς φύσεως ὁ λόγος κεχάρισται, πολλῷ μᾶλλον σοὶ, τῇ κατὰ Χριστὸν ἀληθινῇ καὶ καρποφόρῳ ἀμπέλῳ καὶ πολλῷ βρυούσῃ καρπῷ, πρὸς θεοῦ δεδώρηται.

6. Ἀπόθλιψον τοίνυν ἡμῖν τοῖς ἐν λύπαις οἶνον, Σολομῶντι πειθόμενος, καὶ στρέψον εἰς χαρὰν τὸν κοπετὸν ἡμῶν καὶ ψυχὴν ὀδυνωμένην παρακάλεσον, ὡς ἐκ γειτόνων ἡμῖν ἔτι παροικεῖς καὶ οὐδέπω πορρωτέρω ἐκτετόπισαι. Ὅπερ καιρὸς, οἶμαι, ὑποστῆναί σε δεδρακότα μᾶλλον ἢ πεπονθότα. 7. Ἰδοὺ γὰρ ὁ βασιλεὺς ὁ Λάσκαρις ἀπέσταλκε διὰ τοῦ πανευγενεστάτου Στειριόνου ὁρισμὸν πρὸς ἡμᾶς μετακαλούμενον πρὸς ἑαυτὸν, καὶ τιμὴν ἐπαγγελλόμενος καὶ ἀνάπαυσιν. Κἀγὼ μὲν ἤδη παρῃτησάμην ἀνελθεῖν, || φύσει μὲν ὢν ἀεὶ μισαπόδημος καὶ νωθὴς, νῦν δὲ καὶ μᾶλλον ναρκώδης, ἅτε ἀποκλίνων ἤδη ἐς

11. *καὶ αὐτῆ. ἄδει.* — 13. *τοκέτι.* — 24. *ὀδυνομένην.* — 26. *ὑποστῆναι.* — 29. *ἐπαγγελόμενος.* — 30. || Κώδ. 109,α. — 31. *νωθὴς* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *νωθῆς.*

www.ibtool.com.cn

Digitized by Google

τὸ πρεσβυτικὸν καὶ πρός γε ἀποκναίσας τοῖς περιστατικοῖς καὶ βαρὺς γεγονὼς καὶ ψυχὴν καὶ σῶμα, ἅτε παρ' οὐδεμιᾶς χρηστοτέρας ἐλπίδος ὑπανεχόμενος, ἀγαπῶν δὲ μόνον, εἰ παραχωρηθείην δεῦρο ἐρημάζων ἐκμετρῆσαι τοῦ πολυαμαρτήτου βίου μοι τὸ λειπόμενον. Σοὶ δὲ τῷ στερρῷ καὶ γενναίῳ τὰ πάντα οὐδέν τι ἐργῶδες προσελθεῖν τῷ καλοῦντι καὶ εἴσω γενέσθαι λιμένος, τῶν τῆς φυγῆς ναυαγίων ἀπαλλαγέντι. 8. Τί οὖν λοιπόν ἐστι; σὲ μὲν συντακτήρια γράμματα πέμψαι, ἡμᾶς δὲ προσπεμπτήρια. Τίς δὲ οἶδεν εἰ μὴ καὶ Πύθια κατὰ τὴν παροιμίαν καὶ Δήλια.

ιθ'. Τῷ ὁσιωτάτῳ μοναχῷ κῦρ Λουκᾷ.

1. Ὀψὲ καὶ μόλις γράμμα τῆς σῆς τιμιότητος δεξάμενοι, ἐξ οὗπερ ἐνθένδε μεθωρμίσω Ἀθήναζε, ἠδυνήθημεν μαθεῖν ἀκριβῶς ἔνθα συνεστάλης ἀποκρυβείς, μικρὸν ὅσον τῷ θείῳ Ἡσαΐᾳ πειθόμενος. Πότερον δὲ, ἀγνοοῦντες διελογιζόμεθα πρὸς ἑαυτοὺς, ἆρα ὡς εἰς ἄλλο Σινᾶ τὴν τοῦ Πανικοῦ ὄρους ἀκρώρειαν ἀνέδραμεν ἡ φιλόθεος ψυχὴ καὶ τὸν θεῖον γνόφον ἀποκρυβὴν ἔθετο; ἆρα ἐπὶ τὸν Ὑμηττὸν ἀνακεχώρηκε, τὸν ἐπὶ τῷ μελιχρῷ τῆς ἡσυχίας ἄντικρυς Κάρμηλον; ἢ, τὴν τυραννικὴν Ἰεζάβελ ἀντιπεριστάμενος ὁ καθ' ἡμᾶς Ἠλιοὺ, καὶ πορρωτέρω τῆς Ἀττικῆς ἀπέδραμεν, ὥσπερ Χωρὴβ ἄλλο καὶ θεοπτικὸν σπήλαιον ἀναζητήσας τὸ φωκικὸν φροντιστήριον; Τὸ γὰρ ἁρπαγῆναί σε ὡς εἰς τὸν οὐρανὸν ἀναληφθέντα ἢ προσληφθέντα, οἷα μηλωτὴν τὴν ἄσαρκον σάρκα ἀποθέμενον, οὐδ' ἀναλογίσασθαι ἠνεσχόμεθα. Ὃ γὰρ οὐ βούλεταί τις οὐδ' εἰς νοῦν φιλεῖ βαλέσθαι.

2. Ταῦτα μὲν οὖν πρότερον· ἐπεὶ δὲ τἀληθὲς διὰ τοῦ γράμ-

2. *οὐδὲμιᾶς.*

ιθ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 109,α - 109,β.

13. *ἀποκρῖβεὶς.* — 17. *ἀνεχώρηκε.*

www.libtool.com.cn

Digitized by Google

ματος ἔγνωμεν καὶ ὡς παρὰ τῇ καθ' ἡμᾶς χήρᾳ, τῇ πόλει τῶν Ἀθηνῶν, ὡς ἄλλη Σαραφθία ξεναγεῖσθαι ἠγάπησας, μεγάλως ἐψυχαγωγήθημεν, πεπεισμένοι ὅτι οὔτε ἡ ὑδρία τοῦ ἀλεύρου τῆς χήρας ταύτης ἐκλείψει οὔθ' ὁ καμψάκης τοῦ ἐλαίου ἐλαττονήσει, εὐλογούμενα ἐπὶ τῷ ποδί σου καὶ πληθυνόμενα. 4. Λέγω δὲ ἄλευρον καὶ ἔλαιον καὶ τὰ τρέφοντα μὲν καὶ στηρίζοντα καρδίαν σαρκίνην καὶ πιαίνοντα καὶ ἱλαρύνοντα, πολὺ δὲ πρότερον καὶ τὰ συνέχοντα τὴν ψυχὴν, τὸν ἐξ οὐρανοῦ καταβάντα καὶ ζωτικὸν ὄντως ἄρτον καὶ τὸ τῆς ἀγαλλιάσεως ἔλαιον, ἅπερ πάλαι φιλοπόνως γεωργήσας καὶ ὡς ἔν τινι ταμιείῳ μεγάλῳ τῇ φιλοκάλῳ ψυχῇ σου ἐναποθέμενος, κατὰ τὸν μαθητευθέντα ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν οἰκοδεσπότην εὐαγγελικὸν, ἐκβάλλεις ἐκ τοῦ θησαυροῦ σου καινὰ καὶ παλαιὰ ἀφθόνως ἀνοίγων τὸ στόμα καὶ τρέφων ψυχὰς ὅσαι τοῦ ἀκοῦσαι λόγον Κυρίου λιμώττουσιν. 5. Ἐπεὶ γοῦν εἰς τοῦτο ἀπέσταλσαι παρὰ θεοῦ, ὡς ἐμαυτὸν πείθω, ἄγε, ὦ φίλη καὶ σεβασμία μοι κεφαλὴ, θρέψον λιμωττούσας ψυχὰς καὶ στήριξον καρδίας ταλαιπωρουμένας. Ναὶ διάθρυπτε πεινῶσιν ἄρτον καὶ μὴ κατόκνει παραμυθητικοῖς λόγοις παρακαλεῖν ὀδυνωμένας ψυχὰς, τοῦ ἱλαρύναι πρόσωπον ἐν ἐλαίῳ τῷ λιπαίνοντι λόγῳ σου. Οὕτω γὰρ ἀναπληρώσεις τὸ ὑστέρημα ἡμῶν τῶν κατορυξάντων εἰς γῆν τὸ πιστευθὲν τάλαντον, τῶν μισθωτῶν καὶ οὐ ποιμένων, ὡς πεφευγότων διὰ τὴν τῶν λύκων ἔφοδον καὶ καταλιπόντων τὰ πρόβατα.

6. Τὸ σιγίλλιον ὅπερ ἀπέστειλας ὑπέγραψα καὶ ἀπεστάλη σοι μετὰ τοῦ μοναχοῦ Νεοφύτου· σὸν δ' ἔργον || τοῦ λοιποῦ παρεγγυήσασθαι τῷ Κομμολάρδῳ τὸ ἀνατεθὲν αὐτῷ μονίδιον διατηρῆσαι καὶ μὴ ἐξερημῶσαι, καὶ σὺ πάντως τὸν ὑπὲρ τούτου λόγον δώσεις. 7. Ἀπό τινος ἐνηχήθημεν ὡς ὁ μοναχὸς Μιχαὴλ ὁ ποτὲ τοῦ Καλουκαιροῦ ἐξ ὠθήσεώς τινων καὶ οὐκ

13. αἱ λέξεις *εὐαγγελικὸν ἐκβάλλεις...τοῦ* εἶνε γεγραμμέναι ἐπὶ ἄλλων διεξεσμένων, ἀλλὰ νῦν ἀδιαγνώστων. — 20. *ὀδυνομένας.* — 26. || Κώδ. 109,6. — 30. *καλοῦ καιροῦ ἐξωθήσεως τινῶν.*

Digitized by Google

ἐκ προαιρέσεως σῆς λογοθετεῖται ὑπὲρ ὧν ἐνεπιστεύθη. Καὶ ἐπεὶ βοηθεῖται ὑπὸ τῆς ἀνωμαλίας τοῦ καιροῦ, συμπαθείας ἀξιωθήτω, κἂν ἴσως καὶ προέκρουσεν ὡς ἄνθρωπος. Εἰ δὲ καὶ ἐπὶ τῷ μοναχῷ Νεοφύτῳ φιλανθρωπότερον διατεθῇς, καὶ ὑπὲρ ἀμφοτέρων εὐχαριστεῖν ἔχομεν. Διαφυλάττοιτο ἡ τιμιότης σου ἐν ὑγιείᾳ ψυχῇ τε καὶ σώματι.

ρ'. Τῷ ἀνεψιῷ αὐτοῦ κῦρ Γεωργίῳ τῷ σεβαστῷ.

1. Ἤθελον, ἀνεψιέ, συμπαρεῖναι καὶ συναλγεῖν σοι πενθοῦντι τὸ τῶν ἡμετέρων συμφορῶν κεφάλαιον, εἶτα καὶ λόγον προσάγειν παρακλήσεως φάρμακον, ταῦτα δὴ τὰ τῶν συμπασχόντων τοῖς οὐκ εὖ πράττουσι καθ' ἡντιναοῦν οἰκείωσιν. 2. Ἀλλ' ἐπεί περ ἡ ἐπιπεσοῦσα ἡμῖν θεομηνία διὰ τὴν χύσιν τῆς ἁμαρτίας πρὸς τοῖς λοιποῖς ἀνιαροῖς καὶ ἀπ' ἀλλήλων ἐς τοσοῦτον διέστησεν, ὥςτε καὶ συλλυπούμενον ὑπομένειν καὶ οὐχ ὑπάρχειν καὶ παρακαλοῦντα καὶ οὐχ εὑρίσκειν, ἐπὶ τὸν δεύτερον ὅ φασι πλοῦν ἀπεῖδον, τὸ ἀφοσιώσασθαι δῆλα δὴ καθ' ὅσον ἂν χωρήσειε μέτρον ἐπιστολῆς τὰ τῷ κοινῷ πάθει καθήκοντα. Οὕτω γὰρ ἂν ἑκάτεροι τοῦ πολλοῦ ἄλγους ἐπὶ ποσὸν κουφισθείημεν, ἐγὼ μὲν μονῳδῶν καὶ παρακαλῶν ἐν τῷ γράμματι, ἐν τῷ μέρει δὲ καὶ παρακαλούμενος· φιλεῖ γὰρ κενοῦσθαι τὸ τῆς ψυχῆς ἄλγος ἐκτραγῳδούμενον· σὺ δὲ τῶν τοιούτων ἀκροτελευτίων στεναγμάτων ἠχοῦς ἀκροώμενος καὶ παραμυθούμενος, ἐπεὶ διεστηκότες οὐκ ἔχομεν ξυναυλίαν πενθικὴν ἁρμόσασθαι.

3. Ὦ, οἵαν ἀγγελίαν ἠκούσαμεν, ἡλίκον πάθος ὑπέστημεν. Πῶς ἀξίως θρηνήσω, πῶς ἀναλόγως τῷ πάθει πενθήσω,

6. *ὑγεία*.

ρ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 109,6 - 113,α.

8. *λόγον* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *λόγω*. — 10. *ἡντιναοῦν*. — 16. *δηλαδὴ*.

Digitized by Google

πῶς ἐκτραγῳδήσω τοσόνδε συμφορᾶς μέγεθος, ἡ πολλαῖς ἐπιγενομένη μοι θλίψεσι ταῖς εὑρούσαις ἡμᾶς σφόδρα, πάσας ἀμαυρώσασα τῷ περιόντι τοῦ ἄλγους ἀπέκρυψε καὶ πασῶν ἐπιλαθέσθαι πεποίηκε. 4. Φεῦ, κεῖται παῖς ἀτεχνῶς χρυσοῦς, παῖς ἄγαλμα κάλλους, φιλοτίμημα φύσεως, παῖς καλὸς μὲν τῷ εἴδει καὶ κατὰ Δαυὶδ πυρράκης μετὰ κάλλους ὀφθαλμῶν, καλλίων δὲ τῷ ἤθει πολλῷ, παῖς ἤδη μὲν ἀναβαίνων εἰς μείρακα, τὸ δὲ βεβηκὸς τοῦ φρονήματος καὶ ἱδρυμένον κατὰ τὸν ψαλμῳδὸν ἐν νεότητι παραφαίνων ἀκμάζοντος. 5. Κεῖται φεῦ ὁ τοιοῦτος οὐ κλινοπετὴς, οὐ νόσῳ κατειργασμένος καὶ πατρικαῖς χερσὶν ἐναποψύξας χείλη συμπτυσσούσαις καὶ καθαιρούσαις τὰ ὄμματα. Ἐλεεινὸν μὲν γὰρ ἦν ἂν καὶ τότε τὸ πάθος, υἱὸς πρωτότοκός τε ἅμα τῷ πατρὶ ἐξ ὑμεναίων προτέρων καὶ τηλύγετος, μόγις ἐν ὀρφανίᾳ μητρὸς τραφεὶς καὶ αὐξηθεὶς ξένῳ γάλακτι, εἶτα ἐν ἀώρῳ ἄνθει τῆς ἡλικίας ὡς ἔρνος νεοθαλὲς ἐξαπιναίως ἀνατετραμμένον καὶ ἐρριμμένον χαμαί. Μυρίως δὲ νῦν σχετλιώτερον, ὅτι μὴ φύσις ἡ χαρισαμένη, εἰ καὶ πρὸ ὥρας, ὅμως ἀφείλετο, ἧς ὁ νόμος ὡς πάντων βασιλεὺς ἀνυπεύθυνος καὶ πείθονταί οἱ τὰ θνητὰ πάντα ὡς αὐτῷ βουλητὸν ἄγοντί τε καὶ φέροντι, ἀλλὰ χεὶρ τυραννικὴ, βαβαὶ τῆς ὠμότητος, φόνου πάρεργον ἔθετο, σιδηρέῳ ῥοπάλῳ πατάξασα, ὃ τοῖς πάλαι καλουμένοις ἀπελάταις ὅπλον ἀτειρὲς ἐγκεχείριστό τε καὶ ἀπ' αὐτῶν παρωνόμαστο. 6. Φεῦ τῆς θηριωδίας· πῶς ἡ μιαιφόνος οὐκ ἐπεσχέθη δεξιὰ, πῶς οὐχ εὑρέθη ξηρὰ καὶ ἀκίνητος, πῶς οὐκ ἐνάρκησεν, ἀλλ' ἴσχυσε τοιοῦδε μειρακυλλίου κατενεγκεῖν ὄργανον οὕτω σιδηροβριθὲς καὶ ἡράκλειον, ὅπερ ὤκνησεν ἄν τις ἄλλος κατὰ κυναρίου ἢ ἑτέρου θηρίου ‖ ῥᾳδίως κατενεγκεῖν ; 7. Ἀλλ' ἡ αἱμοχαρὴς καὶ νηλεὴς ψυχὴ καὶ χεὶρ οὐδ' οἰκτροῦ παιδαρίου ἐφείσατο, ἀλλὰ κατ' αὐτοῦ κατενεγκεῖν τετόλμηκε, καὶ ταῦτα διὰ σκεῦος ὑαλοῦν ἀκουσίως κατεαγέν. Τοῦτο γὰρ τὸ παιδι-

12. *καθαρούσαις*.— 17. *ἐριμμένον. μυρίων νῦν*. — 19. *ἀνυπεύθυνος*.— 22. *πελάταις*.— 28. ‖ Κώδ. 110,α.

Digitized by Google

κὸν πταῖσμα, ᾧ τηλικαύτην δίκην ὁ ἀλάστωρ ἐπέθηκεν οὐ συνεγνωκὼς ἀκουσίως σφαλέντι, οὐ παιδικῶς ἁμαρτόντος φεισάμενος ἢ τῇ εὐτελείᾳ γοῦν τοῦ θραυσθέντος ἀγγείου ἐπιμετρήσας τὴν κόλασιν.

8. Μιαιφονώτατε τῶν ἐκ τοῦ παντὸς αἰῶνος παλαμναίων τυράννων καὶ τοῦ ἀπ' ἀρχῆς ἀνθρωποκτόνου υἱὲ πρωτότοκε. Εἰ κρίνεις ἄξιον τοιοῦδε θανάτου παιδάριον ἀφελὲς, ἐπὶ ἀκουσίῳ ζημίᾳ ὑάλου, ὕλης οὕτως εὐώνου καὶ εὐθραύστου καὶ ῥᾳδίως διολισθαινούσης καὶ ἀπὸ σκληροτέρων δακτύλων, μή τοι γε μαλακωτέρων καὶ παιδικῶν καὶ ἄλλως τρομερῶν διὰ τὴν σὴν θηριότητα, σὺ οὕτως ἐκὼν συντρίψας ὡμῶς οἷα σκεῦος κεραμεοῦν πλάσμα θείων χειρῶν ἐκλεκτὸν, φύσεως ἔργον, σκεῦος πολύτιμον, κατ' εἰκόνα πεποιημένον τοῦ κτίσαντος, πόσους καὶ οἵους θανάτους ὑποστὰς, εἴγε οἷόν τε ἦν, ὑπόσχοις ἂν δίκην ἀξίαν κατὰ τοὺς σοὺς ὠμοὺς νόμους; 9. Ὦ σκεῦος ὄντως ὀργῆς, ἀποστολικῶς εἰπεῖν, κατηρτισμένον εἰς ἀπώλειαν· καὶ οὔπω λέγω τὸν μυρίον ὄχλον τὸν παντὶ γένει ἀξιώματί τε καὶ ἡλικίᾳ καὶ ἐπιτηδεύματι συγκεφαλαιούμενον· οὓς ἐτάζων ἑκάστοτε ἀνηλεῶς ἄλλον ἄλλως ἐξαφανίζεις κατὰ κρημνῶν ἠλιβάτων καὶ βυθῶν θαλασσίων ῥιπτάζων, κατατοξεύων, ἀνασκολοπίζων, κατορύττων, κρεουργῶν κατ' ἄρθρα καὶ μέλη καὶ οὓς μὲν ἀνασχίζων καὶ ἁλίζων ταριχευτικῶς, οὓς δὲ ἀμφ' ὀβελοῖς διαπείρων μαγειρικῶς ὡς ἑστιάτωρ Ἐριννύων φιλότιμος, οὓς δὲ πίσσῃ κατακεχρισμένους ὁλοκαυτῶν τῷ πατρί σου, τοιαύταις ἀνθρωποθυσίαις χαίροντι μάλιστα καί σοι ταῦθ' ὑπηχοῦντι ἃ μηδενὶ τῶν πώποτε τυράννων ἐνέπνευσεν, ὑπὲρ ὧν οὐδὲ ἡ ἀπέραντος, οἶμαι, δίκη τῆς γεέννης ἀξίαν σοι ἀντιμετρήσει τὴν ἔκτισιν. 10. Οἶμοι ψυχὴ, οἷου κήτους παμφάγου γέγονεν ἔμβρωμα παιδάριον ἀνυπεύθυνον, ὃ οὐκ ἔγνω δεξιὰν καὶ ἀριστεράν· οἷοις πειρατηρίοις ἐνέκυρσεν, ὅσαις συμφοραῖς βρεφόθεν ἐνεγυμνάσατο, οἷον ὁ τλημονέστα-

2. *ἁμαρτῶντος*.— 8. *εὐθράστρου*.— 12. *πλᾶσμα*.— 13. *πεποιημένου*.— 14. *οἷον τε*. — 29. *ἀνυπεύθοιτον*.

www.ibtool.com.cn

Digitized by Google

τος οὐτοςἸ ἀπ' αὐτῆς τῆς γενεθλίου βαλβῖδος ἕως καὶ ἐς αὐτὸν τὸν καμπτῆρα τῆς τελευτῆς δίαυλον ἤνυσεν. Οὔπω ἐπέγνω μητέρα καὶ ὠρφανίσθη μητρὸς, ὁμοῦ τε τῶν ἐπ' αὐτῷ λυθείσης ὠδίνων καὶ ὠδῖσιν Ἅδου περιπεσούσης· οὔπω ἐγεύσατο γάλακτος μητρικοῦ καὶ πικρίας ὀρφανικῆς ἐνεπίμπλατο ἅμα τὰ πρῶτα τὸ φῶς ἔβλαψε καὶ ἦμαρ ὀρφανικὸν, ὃ παῖδα παναφήλικα τίθησιν, ὑπεδέξατο. Ταινίαι σπαργάνων περιείλισσον καὶ σειραὶ συμφορῶν ἐπισυνέσφιγγον· ὡς ἀμήτωρ τροφαῖς ξέναις προσήγετο καὶ ὡς ἔκθετος θηλὴν ἀλλοτρίαν ἐμάστευεν. Ἐῶ γὰρ τὸ παρὰ τῷ κροτάφῳ ἐκείνου πομφολυγῶδες ὑπερανεστηκὸς περιττωματικῆς ὕλης οἴδημα, καθ' οὗ χεῖρες ἰατρικαὶ παρέθηγον σιδήρια καὶ διαβρωτικὰ προσῆγον φάρμακα, ἵνα τοῦ παρὰ φύσιν αἴσχους τὸ περικαλλὲς ἀπαλλαγῇ πρόσωπον. Οἵας οὖν ἀλγηδόνας καὶ τότε ὑπέστη ἐν νηπιώδει ψυχῇ καὶ βρεφικῷ σώματι! 11. Ἐπεὶ δὲ μογερῶς οὕτω καὶ πολυπόνως ἀπογεγαλακτισμένος καὶ τεθραμμένος τοῖν γονέοιν τὸν λοιπὸν ἐγνώρισεν, οὐκ ἔφθη τῆς παρὰ τῷ τεκόντι παιδοκομίας ἀπολαῦσαι· φεῦ τῶν συνεχῶν δυσπραγημάτων, δίκην κυμάτων [ἄλλων] ἐπ' ἄλλοις προσπιπτόντων τῷ τλήμονι· καὶ βιαίως ἀπερράγη καὶ αὐτῶν ‖ τῶν πατρικῶν ἀγκαλῶν καὶ δευτέραν εἶδεν ὀρφανίαν ἀλγεινοτέραν, καθότι τότε μὲν οὔτε ἤσθετο τοῦ κακοῦ, τὸ δὲ μηδὲν φρονεῖν κάρτ' ἀνώδυνον κακὸν, καὶ ἄλλως δὲ ὡς ἐπὶ ἱερᾷ φασιν ἀγκύρᾳ καὶ τελευταίᾳ, τῷ πατρὶ, ἐσάλευε. 12. Τὸ δ' ὕστατον τοῦτο, καὶ αὐτοῦ ἐκπεσὼν ἐς αὐτὸν τὸν βυθὸν τῆς παντελοῦς ὀρφανίας ἐπέγνω ἀπορριφεὶς, μᾶλλον δὲ καὶ τὸ ζῆν αὐτῷ πατρὶ ἀποβαλὼν ὡς λόγῳ μὲν τυράννῳ ἐξομηρευθεὶς, ἔργῳ δὲ κήτει παμφάγῳ καταποθείς. Παρ' οὗ πρῶτα μὲν πατρὸς ἐστέρηται καὶ τὸ γενέσθαι πατὴρ προσαφήρηται, ἀποτετμημένος βαρβαρικώτερον· οὐ γὰρ διδύμους μόνον ὁ λωβητὴρ καὶ δηλήμων τῆς φύσεως καὶ ἄλλος δεινότερος Ἔχετος, ἀλλὰ καὶ αὐτὸν τὸν οὐρητῆρα καὶ φυσικὸν

1. *βαλβίδος*.— 4. *ὠδῖσιν*. — 12. *παρέθηγον*. — 19. *ἄλλων* λείπει. — 20. ‖ Κώδ. 110,6. — 27. *παμφάγον*.

Digitized by Google

αὐλὸν πρυμνόθεν ἐξέτεμε· καὶ δὴ ἀτεχνῶς ἐτεθνήκει καὶ τότε ὅσον ἐπὶ τῇ ἀποτόμῳ κρεουργίᾳ τῆς παιδουργοῦ φύσεως ὁ πάντα ἀνατλὰς παῖς. Εἶτα παρὰ δόξαν ὅμως ἐπιβιοὺς ἔθνησκεν αὖθις, ὁσῶραι τῷ οὕτω μισανθρώπῳ θηρίῳ παραβαλλόμενος. 13. Ὦ ποσάκις τῆς ἡμέρας ἀπέθνησκεν ὁρῶν πρόσωπον ἐκεῖνο ἐριννυῶδες θηριούμενον, ὠρυόμενον, ἀπειλὰς ἐρευγόμενον καὶ μάλισθ' ὅταν ἑώρα ἢ ἤκουε βασανίζοντα τριςαθλίους ἀνθρώπους, κρεουργοῦντα, κατακρημνίζοντα. Καὶ πότε γὰρ οὐχ ἑώρα ἢ ἤκουε τοιαῦτα ὡς ἐν εἴδει παιδιᾶς προςαθύροντα καὶ διατριβὴν ἡδίστην ἑαυτῷ ποιούμενον; 14. Οὔκουν ἔληγε διὰ ταῦτα θνήσκων, τῷ τυραννικῷ δέει ἀπονεκρούμενος, ἕως, τὸν βιαιότατον καὶ ὕστατον θάνατον ὑποστὰς, τῶν μὲν ἑκάστοτε καὶ πολλῶν ἐκείνων τὸν ἐφ' ἅπαξ καὶ ἕνα τουτονὶ ἀντηλλάξατο, τὸ ὡς ἐν κακοῖς ὅ φασιν ἄμεινον, τοῦ δὲ πελάζειν τοιῷδε τυράννῳ τὸ προςεγγίζειν τῷ Ἅδῃ, τῆς δ' ἐν Ἀκροκορίνθῳ δουλείας καὶ φρουρᾶς τὸ ἐν νεκροῖς ἐλεύθερον εὗρε κουφότερον. 15. Καί τοι οὐκ εἰς Ἅδου σὺ, ὦ φίλτατόν μοι τέκνον, εὖ οἶδα καὶ πέπεισμαι, καταβέβηκας, εἰς χώραν δὲ ζώντων ἐν ἀϊδίῳ φωτὶ μετετάξω καὶ πρὸς κόλπους ἀβραμιαίους, ἔνθα μετακεχώρηκας, τοῦτο μὲν ὡς εἰςποιηθεὶς τῷ πατριάρχῃ διὰ τῆς εἰς Χριστὸν πίστεως, τοῦτο δὲ καὶ ὡς ὁμοίως Λαζάρῳ τῷ πένητι ἐν πυλῶσιν ὑπερόπτου πλουσίου βεβλημένος, οὐκέτι ζῶν, ἀλλὰ τεθνηκὼς, τὸ οἰκτρότερον, οὐδὲ νοσεροῖς βρύων ἕλκεσιν, ἀλλὰ φονικοῖς ῥαινόμενος αἵμασιν· ἦπου καὶ κύνες ὡς ἐκείνου τὰ τραύματα προςιόντες ἀπέλειχον, οὕτω καὶ τὰ σὰ κατάγματα. Ταῦτ' ἄρα καὶ τῆς αὐτῆς ἐκείνῳ τετύχηκας λήξεως. 16. Ἐγώ σε καὶ τοῖς ἐν Βηθλεὲμ ἀνῃρημένοις ἁγίοις βρέφεσι πιστεύω συναναπαύεσθαι, ὅτι μηδ' ὁ σὸς σφαγεὺς Ἡρῴδου τοῦ παιδοκτόνου φιλανθρωπότερος, οὐδ' ἡ σιδηρέα καὶ ἀπελατικὴ κορύνη τῶν ξιφῶν εἰς φόνον παιδὸς κουφοτέρα. Εἰ δ' ἐκείνοις μέγα καὶ σεμνὸν τὸ ἐπισφαγιασθῆναι Χριστῷ γεννωμένῳ, πόσῳ σοὶ σεμνότερον θανόντι

13. *ἐφάπαξ*. — 18. *χῶρα*. — 30. *πελατικὴ*.

Digitized by Google

συναποθανεῖν, καθότι τῷ ὁμοιώματι τοῦ θανάτου αὖ γέγονας σύμφυτος, δι' ὕδατος πρότερον καὶ δι' αἵματος δεύτερον.

17. Διὰ ταῦτα οὐδὲ πενθητέος μοι σὺ τοῦ λοιποῦ, ἀλλὰ μακαριστέος, ὦ καλὲ παῖ, ὡς οὐ θάνατον ζωῆς, ἀλλὰ ζωὴν θανάτου ἀκήρατον ἀλλαξάμενος, ὅτι ἐν βραχυβίῳ ζωῇ μακροὺς ἠγωνίσω παρ' ἡλικίαν καὶ μεγάλους ἄθλους· καὶ τῶν μὲν ἡδέων τοῦ βίου ἀπῄεις τὸ παρ' ἄπαν ἄγευστος, τῶν δὲ ἀλγεινῶν κατακώχιμος. Ὡς χρυσίον ἐν καμίνῳ πειρατηρίων ἐδοκιμάσθης καὶ στίλβων ὅλος ἐφάνης καὶ ἀκηλίδωτος, καὶ κατὰ τὸν Σολομῶντα ἐν ὀλίγῳ τελειωθείς, ἡρπάγης ‖ πρὸ ὥρας, ἵνα μὴ κακία ἀλλάξῃ σύνεσιν σήν. Διῆλθες διὰ πυρὸς καὶ ὕδατος καὶ αὐτὸς, καὶ πῶς οὐκ ἔμελλεν ὁ δίκαιος θεὸς εἰς ἀναψυχὴν καὶ σὲ ἐξαγαγεῖν; 18. Ἔνθεν τοι καὶ τοῖς περὶ τὸν θεῖον Δανιὴλ νεανίαις σε σύναθλον τίθεμαι. Ἀπῆχθης τῆς ἐνεγκαμένης καὶ αὐτὸς αἰχμάλωτος, ἄλλῳ Βαβυλωνίῳ τοὺς τρόπους καὶ πονηροτάτῳ παρὰ πᾶσαν τὴν γῆν δεδούλευκας· καμίνῳ πειρασμῶν ἐμβέβλησαι καὶ καμίνου φλογωδεστέρῳ, θυμῷ τυράννου, παραβέβλησαι. Συγκαθείρχθης ὡς ἐν λάκκῳ τῇ ζοφερᾷ Ἀκροκορίνθῳ ἀνημέροις λέουσι· καὶ τέως μὲν ἀνάλωτος καὶ πυρὶ καὶ θηρσὶ διέμεινας, εἶτα τοῦ θεοῦ βουληθέντος δήπου ἀπαλλάξαι σε πονήρου ζωῆς, μαρτυρικῶς τετελείωσαι, ἵνα τύχοις ἀναστάσεως κρείττονος. 19. Θαυμαστὸν μὲν γὰρ καὶ τὸ σβέσαι δύναμιν πυρὸς καὶ φράξαι θηρῶν στόματα· θαυμαστότερον δὲ πολλῷ καὶ ἄλλως κερδαλεώτερον τὸ πυρποληθῆναι μαρτυρικῶς καὶ καταποθῆναι ὑπὸ χάσματος θηρῶν, ὥσπερ καὶ τὸ ἐν τῷ φόνῳ μαχαίρας ἀποθανεῖν τοῦ φυγεῖν στόματα μαχαίρας σεμνότερον, εἰ καὶ τῆς αὐτῆς ἀμφότερα πίστεως κατορθώματα. 20. Ἀμέλει τοι καὶ Παῦλος ὁ μέγας εὐχαριστεῖ μὲν τῷ Σωτῆρι καὶ ὅτι ἐρρύσατο αὐτὸν ἐκ στόματος λέοντος, τοῦ Νέρωνος δῆλα δή, πλέον δὲ χαίρει ὅτι τῷ αὐτῷ καὶ αὖθις περιπεσὼν λέοντι, τοῦ καιροῦ τῆς ἀναλύσεως αὐτῷ ἐπιστάντος, ἐσπένδετο. 21. Κατὰ

7. *παράπαν*.— 10. ‖ Κώδ. 111,α. — 13. *ἔνθεν*. — 30. *ἐρύσατο. δηλαδή*.

Digitized by Google

ταῦτα τοίνυν καὶ ἡμεῖς εὐχάριστοι μὲν ἦμεν τῷ θεῷ ὅτε σε ἐκ στόματος ἐρρύετο λέοντος, θαυμαστῶν ἐπὶ σοὶ τὰ ἐλέη αὐτοῦ. Νῦν δὲ, εἰ καὶ τὸ πάθος πίεζον εἰς πένθος ἐκκαλεῖται καὶ δάκρυα, ἀλλὰ καὶ εὐθυμεῖν χρὴ καὶ φέρειν ῥᾳότερον, ὅτι, παταχθεὶς ἀδίκως καὶ βιαίως ὠμοβόρῳ λέοντι, οὐκ ἐξαπόλωλας ὡς δοκεῖ τοῖς ἄφροσιν, οὐδὲ ἡ ἀφ' ἡμῶν πορεία σου σύντριμμα, ἀλλ' ἐκδημία πρὸς θεὸν ἀθλητικὴ καὶ μετάβασις διὰ στενῆς καὶ τεθλιμμένης ἐξόδου ἀπὸ τῶν ἐνθένδε πρὸς τὴν ἐκεῖσε μακαριότητα. 22. Ὅτι στάχυς σιτοφόρος ὄντως σὺ, οὔπω μὲν ἀκμάζων, οὔτε νευστάζων, λελευκασμένος καὶ τομὴν προκαλούμενος, χλοάζων δὲ ἔτι καὶ ἁδρυνόμενος, ἀώρως δὲ ὅμως τεθερισμένος ἐπὶ τὰς ἄνω ἀποθήκας ἀνακεκόμισαι. Ὅτι βότρυς σὺ ὀμφακίας μὲν τῇ ἡλικίᾳ, πέπειρος δὲ ἄλλως πειρασμῶν πολλῶν καύσωνι, καί σε τυραννικὴ μὲν χεὶρ ὡς ἀγρία τις κατέραξε χάλαζα, θεὸς δὲ εἰς τοὺς ἑαυτοῦ ληνοὺς ὡς ἀπαρχὴν ἁγίαν προσηγάγετο, ἀθλητικὸν αἷμα ὡς γλεῦκος ἀμβρόσιον στάζοντα. 23. Παρεμφερὴς τοῖς τῶν θρυλουμένων πάλαι μειρακίων ὁ σὸς θάνατος. Ἄρης βροτολοιγὸς καὶ μιαιφόνος, εἰς μονὸν θηριωθεὶς, ἀνεῖλε καὶ σὲ ὥσπερ Ἄδωνιν. Ὡς τῷ καλῷ Ὑακίνθῳ δίσκον ὁ βορρᾶς προσαράξας κατέβαλεν, οὕτω καὶ σοὶ ἄχθος σιδήρεον ἐπενεγκὼν ἀνεῖλε πνεῦμα σκληρότερον καὶ ἀτεχνῶς τυφώνειον, εἴτε χαρώνειον. 24. Ἔδει τοίνυν καὶ ἐπὶ σοὶ καινοτομῆσαί τι πάλιν τὴν γῆν τὴν φιλάνθρωπον καὶ φυτὸν ἐκ τοῦ σοῦ αἵματος ἀναδοῦναι ἐπὶ διηνεκεῖ τῇ μνήμῃ τοῦ σοῦ πάθους, ὡς ἀνεμώνην, ὡς νάρκισσον, ὡς ὑάκινθον.

25. Ἔπεισί μοι πενθῆσαί σε ὡς ὁ Ἰακὼβ ἦν ὅτε τὸν Ἰωσήφ. Θηρίον πονηρὸν κατέφαγέ σε, θηρίον πονηρὸν ἥρπασέ σε, ὦ μέλος ἐμόν. Πλὴν ἐκεῖνος μὲν οὐκ ἠθέλησε παρακληθῆναι παρακαλούμενος, σάκκον ἐπὶ τὴν ὀσφῦν ἐπιθεὶς καὶ ζη-

2. *ἐρύετο*. — 13. *ὀφακίας*. — 14. *τυραννικῆ*. — 15. *τὶς κατέρραξε*. — 16. *αἷμα ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἅρμα*. — 18. *θρυλλουμένων*. — 20 - 21. *βορρᾶς προσαράξας κατέλαλεν*, τὸ πρῶτον *κατέλ...* — 25. *ἐπιδιηνεκεῖ*. — 27. *πενθῆσαι*.

www.ldtool.com.cn

Digitized by Google

τῶν καταβῆναι εἰς Ἅιδην πρὸς τὸν υἱὸν, ἀγνοῶν ὅτι ὁ θρηνούμενος παρ' αὐτοῦ ὡς ἡρπασμένος ὑπὸ θηρίου εἰς τὴν ‖ ἐν Αἰγύπτῳ βασιλείαν ὑπὸ πομπῆ θείᾳ ἐστέλλετο. 26. Ἐγὼ δὲ οἶδα, τέκνον, οἶδα σαφῶς ὡς ὠμότατα καὶ ἀδικώτατα οὕτω καὶ σὺ διεσπαραγμένος θηρίῳ πονηρῷ εἰς οὐρανῶν βασιλείαν προσκέκλησαι. Τοίνυν οὐδὲ πενθῶ ἀπαράκλητα. Ἐκεῖνο δὲ μᾶλλον δακρύω πῶς ἠγνοήσαμεν διδόντες κυνὶ λυσσητῆρι παιδίον ἅγιον καὶ ῥιπτοῦντες ἔμπροσθεν χοίρου βορβοροφάγου μαργαρίτην πολύτιμον. Ὑφ' οὗ καταπεπάτησαι μὲν καὶ συντέτριψαι, ἀλλὰ τὸ ὀστρεῶδες τοῦ σαρκίου περίβλημα, ὡς τήν γε μαργαρώδη ψυχὴν, οἱ κατ' οὐρανὸν ἐνεκολπώσαντο θησαυροί. 27. Πῶς οὐκ ἠσθόμεθα τὸν φίλτατον ὡς βρῶμα προβαλλόμενοι Κύκλωπι, ᾧ δὴ πίνοντι σατραπικῶς οἰνοχοεῖν κομψῶς ἄγαν καὶ τρισὶ δακτύλοις ὀχεῖν τὴν κύλικα βιαζόμενος, ἔλαθες γεγονὼς ὡς ἐξ ὑέλου σκεῦος ἀπολωλός. Τοιῷδε γὰρ ὁτῳδήποτε ἀπολωλότι καὶ αὐτὸς ἀπόλωλας, καὶ κατὰ τὸν Ἱερεμίαν ἐμεγαλύνθη ποτήριον συντριβῆς σου καὶ θανάτου τρυγίας ἐξεκενώθη σοι. 28. Οὗτος γὰρ νόμος ἀντιδεξιώσεως τοις οἰνοχοοῦσι κυκλώπειος, πυμάτους τῶν ἄλλων ἔδεσθαι, εἰ καὶ μὴ πύματον καὶ σὲ ὁ ἀνθρωποβόρος οὑτοσὶ κατεδήδοκεν, ἀλλ' ἐπὶ μυρίοις βεβρωμένοις πρότερον καὶ πρὸ μυρίων βρωθησομένων ὕστερον. Οὐ γὰρ τῆς τοιαύτης θοίνης στήσεταί ποτε κατεμφορούμενος, ὅτι μὴ πρηνὴς γενόμενος καὶ λακήσας μέσος διαρραγήσεται.

29. Οἴμοι, ὅτι ἐπλουτίσθημεν ἐν τοῖς κακοῖς. Οὐκ ἀπέχρησεν ἡμῖν τὸ ὑπ' ἀλλοφύλων τυραννεῖσθαι καὶ ὡς ἐν ἀνδραπόδων μοίρᾳ τάττεσθαι, ἀλλ' ἐπὶ τὸ τόσον ἄλγος τῶν ἡμετέρων τραυμάτων καὶ ὁ τάχα ὁμοεθνὴς οὗτος προστίθησιν, οὗπερ ἡ φλὸξ μὲν πρὸ τῆς ἰταλικῆς ἐφόδου τὰ πολλὰ τῆς Ἑλ-

2. ‖ Κώδ. 111,6.— 6. Ἐν τῇ ὧχ *κλητα*, δῆλα δὴ καθαρώτερον γεγραμμένον τὸ τέλος τῆς λέξεως *ἀπαράκλητα*, ὅπερ εὕρηται ἐν τῷ ἐδάφει ἐπὶ διεξεσμένων γραμμάτων. Τοιαῦται δέ τινες μεταγραφαὶ εὑρηνται καὶ ἄλλοτε. — 11. *ἐνκολπώσαντο*.— 16. *ἀπώλωλας*. — 23. *πριγὴς*.

www.libtool.com.cn

Digitized by Google

λάδος κατενεμήσατο καὶ Πελοποννήσου, οἱ δ' ἄνθρακες μετὰ τὴν ἔφοδον ἐπικάουσι. 30. Παρ'οὗ καὶ Ἰταλοὶ δεδικαίωνται. Τῶν γὰρ αὐτοῦ κακώσεων αἱ παρὰ τούτων φιλανθρωπότεραι καὶ δοκοῦσι τοῦ ὁμογενοῦς οἱ ἑτερογενεῖς ἡμερώτεροι Ῥωμαίοις καὶ ὡς ἐπίπαν ἐπιεικέστεροι. Τεκμήριον δέ· ἀπὸ τῶν δουλουμένων τοῖς Ἰταλοῖς πόλεων οὐδεὶς ὡς ὁμοφύλῳ τῷ τοιῷδε προσπέφευγε. Τοῦτο γὰρ οὐδὲν ἦν ἄλλ' ἢ φεύγοντα καπνὸν ἐμπίπτειν πυρί. Ἐκ δέ γε τῶν τυραννουμένων αὐτῷ φρουρίων ὅσοι ἂν ὑπεκδύναι δύναιντο αὐτομολοῦσι πρὸς τούτους ᾄσμενοι καὶ ὡς ἐξ Ἅιδου αὐτοῦ ἀναλύοντες. 31. Μαρτυρεῖ δὲ σφίσι καὶ ἡ τῶν πραγμάτων ἐνάργεια· ποῦ γὰρ οἱ τοσοίδε Ἄργους, Ἑρμιόνης, Αἰγίνης οἰκήτορες; ποῦ δὲ οἱ τῆς Κορίνθου πολῖται οἱ ὄλβιοι; οὐκ οἴχονται ἅπαντες, ἄπυστοι; Ἀθηναῖοί γε μὴν Θηβαῖοί τε καὶ οἱ Χαλκιδεῖς καὶ οἱ ἀνωτέρω ἐπιθαλαττίδιοι μένουσιν οἶκοι καὶ οὐδέπω τὰς ἑαυτῶν οἰκίας πεφεύγασιν.

32. Εἰ δ' ἐγὼ καὶ ὁ Θηβῶν ἱεράρχης καί τις που τυχὸν ἕτερος τῶν καθ' ἡμᾶς ἐκκλησιῶν ἀπεληλάμεθα, ἀλλὰ καὶ τοῦτό γε τὸ μέρος πολὺ τοῦ Ναυπλιώτου τυράννου διήνεγκαν Ἰταλοὶ καὶ ὅσον θανάτου, καὶ τούτου βιαίου, διοίσει φυγή. Ἡμεῖς μὲν γὰρ φυγαδευθέντες ἐν τοῖς ζῶσιν ὅμως ἐσμὲν καὶ βλέπουσιν ἥλιον, ὁ δὲ ἱεράρχης Κορίνθου οὐδ' ὅπως ἠφάντωται τοῖς πολλοῖς ὡμολόγηται, ἀλλ' οἱ μέν φασιν ἐκ τῶν παρακρήμνων Ναυπλίου σκοπέλων ὠσθέντα εἰς βυθὸν ῥιφῆναι θαλάσσιον, οἱ δὲ νευραῖς τόξων ἀπαγχονισθῆναι ἰσχυρίζονται.

33. Ἀλλὰ τί ταῦτα πολλάκις θρηνήσας καὶ νῦν ἀναμνησθεὶς, τὸ ἐπ' αὐτοῖς ἐπιξαίνων ἄλγος ἀνακαινίζω μοι, ὅτε οὐδὲ τὸ νεαρὸν τοῦτο πάθος καὶ μᾶλλον ἀπτόμενον τῆς ἐμῆς καρδίας ἱκανός εἰμι πενθῆσαι τῷ λόγῳ καὶ κατολοφύρασθαι ὅσον ἄξιον; 34. Ἀκρο‖κόρινθε στυγηρὰ, μὴ πέσοι ἐπὶ σὲ ὑετὸς, μηδὲ θάλψαι σε ἥλιος, καταξηράναι δὲ θεὸς τὰς ἐν σοὶ πηγὰς ὡς ποταμοὺς Ἠθάμ, ἵνα μὴ ἔσται ὁ κατοικῶν ἐν σοὶ τοῦ

1. *πελοποννήσου.*— 4. *ἡμερώτεροι.*— 7. *ἐμπίπτει.*— 13. *ἀθηναῖοι.*— 14. *θηβαῖοι.* — 22. *φασὶν.* — 29. ‖ Κώδ. 112,α. — 30. *θάλψοι.*

www.libtool.com.cn

Digitized by Google

λοιποῦ· μᾶλλον δὲ καταχθείης εἰς Ἅιδου κευθμῶνας, ὅτι ἀντὶ φρουρίου ἐρυμνοῦ καὶ ἄκρας ἀναλώτου πόλεως περιφανοῦς εἰς λεόντων μετεσκευάσθης κατοικητήριον καὶ λῃστήριον πέτραν Σκίρωνος καὶ βωμὸν ἀνθρωποθυσιῶν ἀπάνθρωπον. Αἵματι ἀθῴῳ περοίνιξαι πᾶσα, ἄλλῳ τε πλείστῳ καὶ δὴ καὶ τῷ τοῦ ἐμοῦ ἀρνειοῦ καὶ ἀκάκου ἀμνοῦ, ὅπερ ὡς τὸ ταῦ Ἄβελ ἐκ γῆς βοᾷ δήπου πρὸς Κύριον καὶ καταβοᾶται τοῦ φονευτοῦ ὅτι αἱ κύκλῳ σου χαράδραι καὶ φάραγγες στεινόμεναι, κατὰ τὸ ἔπος, νεκύεσσι τῶν κατακρημνιζομένων πτωμάτων ἑκάστοτε γεγόνασι πολυάνδρια, μᾶλλον δὲ αὖων ὀστέων καὶ ψιλῶν. Δορὰς γὰρ καὶ σάρκας καὶ νεῦρα θῆρες ἀγροῦ παρὰ χρῆμα καὶ οἰωνοὶ πάντες διασπαράττουσιν, ὡς νομίζεσθαί σε ὅσον ἐπὶ τῷ πολλῷ τῶν ὀστέων θημῶνι ἄλλον Σειρήνων σκόπελον, τοσοῦτον διείσοντα παρ' ὅσον ἐκεῖ μὲν μέλεσιν ἁλισκόμενοι καὶ θελγόμενοι ἔθνησκον ἄνθρωποι, ἐνταῦθα δὲ χερσὶν ἀφύκτοις τυράννου περιπίπτοντες βασανιζόμενοι ὄλλυνται.

35. Μηκέτι ἄκραν Κορίνθου καλεῖτε ταύτην, ἄνθρωποι, ἀλλ' ἀκρόπολιν Ἅιδου, θανάτου φρούριον, ἀλαστόρων κωμαστήριον, Ἐρινύων ἑστιατόριον. Οὐκέτι γὰρ ἐρυμνὴ καὶ σωτηριώδης ἀνθρώπων ἀκρώρεια, ἀλλὰ βασανιστηρίων καὶ κολαστηρίων καὶ τιτανικῶν δεσμωτηρίων πυργόβαρις καὶ λιμῶν ἄτης βρύων φόνοις καὶ κατάρρυτος αἵμασιν. 36. Ὧν μνησθήσεται δήπου ὁ ἐκδικῶν, οὐδ' ἐπιλήσεται τῆς κραυγῆς τῶν οὕτως ἀδίκως θανατουμένων, καὶ πρώτου γε τοῦ ἐμοῦ φιλτάτου καὶ ἀμωνύμου παιδὸς μοχλῷ σιδηρῷ παταχθέντος ἐφ' οἷς σφαλλόμενα τὰ μειράκια ἐπιστρέφουσιν ἄνθρωποι κόνδυλον ἐπεντρίβοντες ἢ κόμην σπαράττοντες ἢ, τὸ ἐμβριθέστερον, σκύτεσι καὶ λύγοις μαστίζοντες. 37. Ναὶ, μεμνήσεται καὶ μετελεύσεται τὸν αὐτόχειρα, κἂν εἰς ἕτερον ἐρυμνὸν ὑπερνέφελον καταφεύξηται, ἐκεῖθεν καθελεῖ τοῦτον εἰς τέλος καὶ τοῖς ὑποταρταρίοις συγκαθείρξει δαίμοσι, δίκας αἰω-

11. *θορεὺς*. — 11. *παραχρῆμα*. — 14. *παρόσον*. — 17. *καλεῖται*.

www.libtool.com.cn

Digitized by Google

νίους εἰςπραττόμενον· ὅτι μηδὲ οἷόν τε κατὰ τὸν τῇδε βίον ἀξίως τῶν τοσῶνδε καὶ τοιῶνδε ἀσεβημάτων βασανισθῆναι τὸν ἀλιτήριον ἐν προσκαίρῳ ζωῇ καὶ φθαρτῷ σώματι. Εἰ γὰρ καὶ ταὐτοπαθείᾳ καὶ οὐ μείζονι εὐθύνῃ ἐνταῦθα τυχὸν ὑπα-
5 χθήσεται κατὰ τοὺς νομοθετοῦντας αἴ κε πάθοι τὰ ἔρρεξε, δίκη γε ἡ θεία γένηται. 38. Πῶς ἐξέσται τῷ τάλανι πᾶσι τρόποις ἐπεξελθεῖν θανάτων οἷς αὐτὸς πλείστους διέφθειρε καὶ τούτοις πολλάκις, ὥστε μυριάκις αὐτὸν ἀποθανεῖν νῦν μὲν καρατομούμενον καὶ τοῦτο πολλάκις, νῦν δὲ τὴν ἐχθίστην ἡμοὶ καὶ
10 μιαρὰν κεφαλὴν ῥάβδῳ σιδηρᾷ συντριβόμενον, νῦν δὲ ζῶντα ὀβελιζόμενον, αὖθις κατὰ κρημνῶν ὠθούμενον, εἶτα ὁλοκαυτούμενον, ἄλλοτε ἀνασκολοπιζόμενον, ἔπειτα κατατοξευόμενον, πάλιν κατακεντούμενον. 39. Τίς τοὺς λοιποὺς τρόπους ἀπαριθμήσει δι' ὧν μυρίους ἀνάλωσε; Πῶς δ' ἂν τὸ τριςά-
15 θλιον αὐτοῦ σῶμα ἐξαρκέσειε βασανιζόμενον ὡςαύτως ἢ κρεουργούμενον τοσαυτάκις ὁσάκις αὐτὸς ἄλλων πόδας καὶ χεῖρας, αἰδοῖά τε καὶ ῥῖνας ἀπέτεμνε καὶ γλώττας καὶ ὀφθαλμοὺς ἐξέκοψεν; Οὐδ' εἰ πολύπους καὶ πολύχειρ γένοιτο παρὰ φύσιν ὡς ἄλλος Βριάρεως ἢ πολυκέφαλος ὡς Ὕδρα ἢ ὡς Τυ-
20 φῶν ἑκατογκέφαλος ‖ ἢ ὡς Ἄργος ὁ πανόπτης πολυόμματος, οὐδ' οὕτως ἂν ἀπέχρησεν αὐτῷ ἡ τοσήδε πολυμέλεια πρὸς τὸ ἀποτῖσαι τὴν δικαίαν τῆς ταὐτοπαθείας ἀντανίσωσιν· ἣν οὐδ' ἐκεῖ, οἶμαι, ἀνταποτίσει ἐν σκότῳ ἐξωτέρῳ καὶ Ταρτάρῳ καὶ γεέννῃ πυρὸς καὶ ὀδόντων βρυγμῷ καὶ πυριφλεγέ-
25 θοντι ποταμῷ καὶ ἰοβόλῳ καὶ ἀτελευτήτῳ σκώληκι δι' αἰῶνος παντὸς εὐθυνόμενος καὶ μὴ δαπανώμενος. Σώζονται γὰρ οἱ τοιοῦτοι, ὡς ἔφησεν ὁ Ἀπόστολος, διὰ πυρός, ὀλέθριον δῆλα δὴ σωτηρίαν, ἵνα καίωνται διὰ παντὸς καὶ μηδέποτε κατακαίωνται ἀναλισκόμενοι. Ἄφθαρτα γὰρ τὰ τῶν ἀσεβῶν ἀνί-
30 στανται σώματα.

1. *οἷον*.— 4. *εὐθοίνη*.— 6. *θεῖα*.— 11. *κατακρημνῶν* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *κατὰ κρημνῶν*. — 17. *αἰδοῖα τὲ. ῥῖνας. γλῶττας*.— 18. *γένοιντο*.— 19. *τυφὼν*. — 20. ‖ Κώδ. 112,6. — 22. *ἀποτίσαι. ταυτοπαθίας*.— 27. *δηλαδὴ*.— 28. *διαπαντός*.

www.libtool.com.cn

Digitized by Google

40. Σὺ δέ, ὦ τέκνον φίλον μοι Μιχαὴλ, μακάριος ὄντως καὶ τρισμακάριος, ὅτι κατὰ τὸν Σολομῶντα ὀλίγα παιδευθεὶς μεγάλα εὐηργετήθης παρὰ θεοῦ. Ὀλίγα γὰρ, εἰ καὶ ἄλλως πολλὰ, ἃ πεπαίδευσαι, παραβαλλόμενα πρὸς τὴν ἐκεῖσε μακαριότητα, ὅτι, χῶρον ἀσεβῶν καὶ λατρείαν τυραννικὴν ἀποφυγὼν, εὐθὺ τῆς οὐρανῶν βασιλείας ἐχώρησας, ὅτι τῆς ἐν Ἀκροκορίνθῳ φρουρᾶς ὡς ἄλλου σπηλαίου Κύκλωπος ἀπολέλυσαι. 41. Ναὶ γὰρ Κύκλωψ ἀτεχνῶς ὁ αὐτόχειρ ὁ σὸς, πολλῷ τοῦ ῥαψῳδουμένου ἐκείνου ἀνδρόμεα κρέα φαγεῖν δεινότερος· καὶ εὖ γε δὴ τὰ ναυπλιωτικὰ σπήλαια Κύκλωπος ἐπονομάζονται, ὅθεν τὸ τοσοῦτον ἔφυ τὰ πρῶτα κακὸν καὶ τέθραπται. Προεκλήθησαν γὰρ ὅπερ διὰ τουτονὶ γεγόνασιν ὕστερον. Οὐ γὰρ δὴ διὰ τὸν ἐν Σικελίᾳ Πολύφημον. 42. Καὶ νῦν μὲν τὸ ἀκήρατον πνεῦμά σου ἐν χειρὶ θεοῦ ἀναπέπαυται, καταλόγοις συγχορεῦον τῶν περὶ τὸν δίκαιον Ἄβελ καὶ Στέφανον, ὀλίγῳ δὲ ὕστερον αὖθις ἑνωθὲν τῷ συνάθλῳ σώματι, ἀφθάρτῳ ἀναστάντι, συνέσεται τῷ Κυρίῳ μετὰ τῶν ἐκλαμψάντων ὡς ἥλιος. Ὡς γὰρ ἅμα συνημμένα ψυχὴ καὶ σῶμα τοῖς παροῦσιν ἀλγεινοῖς ἐνηθλησάτην, οὕτω καὶ τῆς παρὰ τῷ θεῷ δόξης ἅμα κατατρυφῆσαι χρεὼν συναμφότερα· ὧν γὰρ οἱ ἆθλοι ξυνοὶ, τούτων ξυνοὶ καὶ οἱ στέφανοι.

43. Οὕτω μὲν ἐγὼ τοῦ μακαρίτου παιδὸς τὸ πένθος ἀφοσιοῦμαι, ἀνεψιὲ περιπόθητε, καὶ οἷς μακαριστέον ἐκεῖνο μᾶλλον ἢ πενθητέον κρίνω, οὐ τυχοῦσαν ἐπισυνείρω ἐμαυτῷ καὶ ὑμῖν παράκλησιν. Πῶς γὰρ ἂν ἀπαρακλήτως θρηνοίημεν ὃν εἰς ἀμείνω ζωὴν πιστεύομεν μεθορμίσασθαι; Εὔηθες ὄντως καὶ μαχόμενον, τὸν αὐτὸν ὡς ὄντα ἐν ἀρίστῃ ζωῇ μακαρίζειν καὶ ὡς ἀπολωλότα καὶ μηκέτ' ὄντα περιπαθῶς κόπτεσθαι. Τὰ αὐτὰ δὲ καὶ αὐτῷ σοὶ συμβουλεύσαιμ' ἄν, ὥστε μὴ πενθεῖν ἄγαν, ἐν μέρει δὲ καὶ παραμυθεῖσθαι καὶ φέρειν τὸ πάθος κατὰ τοὺς φρονίμους τῶν ἀνδρῶν καὶ μεγαλοψύχους. 44. Τὸ

λλ'

3. *εὐεργετήθης*.— 8. *πολλοῦ*.— 12. *διατουτονὶ*.—13. *σικε* — 25. *ἀπαρακλήτωρ θρηνήοιμεν*. — 29. *τὴν. συμβασιλεῦσαιμ'*.

Digitized by Google

μὲν γὰρ ἀπαθὲς πάντη καὶ ἀνάλγητον ἐν τοῖς τοιούτοις θηριώδες, μᾶλλον δὲ οὐδὲ θηριῶδες, εἴπερ καὶ θηρία ἐπὶ τῇ ἀφαιρέσει τῶν οἰκείων ἐκγόνων ἀσχάλλουσι καὶ παθαίνονται καὶ ἀλύουσιν, ἔστι δ' ἃ καὶ γοερὸν ὠρύονται· τὸ δ' αὖ καταπενθεῖν ἀπέραντα ἀγεννοῦς καὶ γυναικώδους ψυχῆς. Ἀνδρὸς δὲ ἀρίστου καὶ λογισμοῖς εὐσεβέσι χρωμένου πενθεῖν ὅσον δεῖ καὶ ἀναφέρειν ὅτι χρὴ καὶ τῇ ἀνωτάτω προνοίᾳ εὐχαριστεῖν, οἰακιζούσῃ τὰ καθ' ἡμᾶς διὰ τῶν δεξιῶν ὅπλων καὶ ἀριστερῶν, κἂν τοὺς λόγους τῶν παραλόγως δοκούντων συμβαίνειν ἡμᾶς ἀποκρύπτοιτο. 45. Οὕτω καὶ Δαυὶδ ὁ θεῖος τοῦ παιδαρίου μὲν αὐτῷ νοσοῦντος νηστεύων καὶ χαμαὶ κοιταζόμενος ἱκετηριάζετο τὸν θεὸν ὑπὲρ αὐτοῦ· ἐπεὶ δὲ τεθνηκὸς ἦσθετο, ἀνέστη καὶ εἰσῆλθε τὸν οἶκον τοῦ θεοῦ, καὶ προσκυνήσας παρέθετο τράπεζαν, ‖ ἔφαγέ τε καὶ ἔπιε. Καὶ πρὸς τοὺς θαυμάζοντας ὡς ἀλλόκοτον τὸ πεπραγμένον εἶπεν, ὡς ἔτι μὲν ζῶντος τοῦ παιδαρίου προσεποτνιᾶτο καὶ ἐδεῖτο θεοῦ, εἴ πως ἀνασφήλειε τῆς νόσου, ἐπεὶ δὲ τέθνηκε, κενὰ τοῦ λοιποῦ τὰ τῆς ἱκετηρίας καὶ κακοπαθείας ὡς οὐκ ἐξαναλύσοντος τοῦ παιδὸς, ἀλλ' αὐτοῦ μᾶλλον οὐκ ἐς μακρὰν ἀπελευσομένου πρὸς ἐκεῖνον. 46. Καὶ ὁ ἀληθινὸς ὄντως ἄνθρωπος ὁ πᾶσαν προσβολὴν τοῦ πειράζοντος ἀθρόαν ὑπενεγκὼν ἀηττήτως, ὁ ἀδαμάντινος τῆς ὑπομονῆς ἀνδριὰς, ἐπεὶ πάντα τὸν ὅλβον ἀποβαλὼν ὕστατον μάθοι καὶ τῶν δέκα παίδων ἀθρόαν πανωλεθρίαν, ἐπιπεσόντος αὐτοῖς τοῦ οἰκήματος, ἀνέστη μὲν καὶ διέρρηξε τὰ ἱμάτια αὐτοῦ καὶ τὴν κόμην τῆς κεφαλῆς ἐκείρατο καὶ ἐπάσσατο γῆν ἐπὶ τὴν κεφαλὴν, ἀφοσιούμενος τὰ τῇ φυσικῇ συμπαθείᾳ νομιζόμενα, ὅτι μηδ' ἀπαθῶς καὶ ἀναισθήτως εἶχε τῶν τοιούτων ἐπιφορῶν· εἶτα, χαμαὶ πεσὼν, προσεκύνησε τῷ Κυρίῳ καὶ τὰς ἀοιδίμους ἐκείνας καὶ φιλοσόφους ἀφῆκε φωνάς· «αὐτὸς γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι. Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο. Ὡς

3. τῇ ἐπὶ ἀφαιρέσει. ἐγγόνων ἀσχάλλουσι. — 14. ‖ Κώδ. 113, α. — 23. πανωλεθρίαν. — 25. αὐτοῦ.

www.ibtool.com.cn

Digitized by Google

τῷ Κυρίῳ ἔδοξεν, οὕτως καὶ ἐγένετο. Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας.»

www.libtool.com.cn

47. Τῷ τοιαύτῳ τοίνυν κανόνι χρώμενοι καὶ αὐτοὶ ἐπὶ πᾶσι τοῖς ἀβουλήτως ἡμῖν συμπίπτουσιν, οὔτε τὸν θεὸν παροξυνοῦμεν ἀποδυσπετοῦντες, δυσκολαίνοντες, τῆς Προνοίας καταστενάζοντες, καὶ τὰ ἑκάστοτε ἀνιαρὰ εὐφορώτερον οἴσομεν τῷ εὐχαρίστῳ καὶ μεγαλοψύχῳ τῆς ψυχῆς φιλοῦντα κουφίζεσθαι· ὥςπερ τοὐναντίον τῷ δυσαρέστῳ καὶ μικρολύπῳ ἐπαχθέστερα λογίζεσθαι. 48. Ἄψαιτά σου τῆς ὀδυνωμένης καρδίας ἀοράτως ὁ πατὴρ τῶν οἰκτιρμῶν καὶ θεὸς πάσης παρακλήσεως καὶ τὸ φλεγμαῖνον αὐτῆς ἄλγος διαπραΰνας ἰάσαιτο καὶ κατὰ τὸ πλῆθος τῶν ἐν τῇ καρδίᾳ σου ὀδυνῶν αἱ παρακλήσεις αὐτοῦ εὐφράνασαι τὴν ψυχήν σου ἱλαρὰν ἐργάσαιντο καὶ εὐχάριστον.

ρα'. Ἑτέρα τοῦ αὐτοῦ εἰς τὸν αὐτὸν, τὸν αὐτὸν νοῦν ἔχουσα.

1. Πρὸ μικροῦ μὲν ἐν ἐπιστολῆς τύπῳ τό τε καθῆκον πένθος ἀφωσιωσάμεθα τῷ μακαρίτῃ παιδὶ καὶ σοὶ <τῷ> τὴν ἡμῖν δυνατὴν παραμυθίαν προσηνέγκαμεν, ἀνεψιὲ περιπόθητε· ἄλλως γὰρ οὐκ ἐξῆν, ἐς τοσοῦτον διεστηκόσι καὶ βίον ἕλκουσι φυγάδα καὶ ὑπερόριον. 2. Ἐπεὶ δὲ οὐκ ἀποχρώντως τῷ πάθει τηνικάδε ὠλαφυράμεθα, τοῦ νόμου τῆς ἐπιστολῆς μακρότερα κοπετὸν ἐπεκτείνειν καὶ κατεμφορεῖσθαι θρήνων ἀπείργοντος, οὔτε μὴν τὸ ἄλγος ἱλαρυνθέν πω κεκοίμηται, φλεγμαίνει δὲ ἀγριαῖνον εἰςέτι καὶ κερδάναι ζητεῖ διπλᾶ καὶ πολλαπλᾶ δάκρυα, βούλομαι δεύτερον τοῦτο μοναυλῆσαι θρηνῴδημα καὶ καθαγίσαι μὲν γοερὰ μέλη ἐς αὖθις τῷ κειμένῳ, ἐπισπεῖσαι δὲ αὐτῷ οἰμωγάς τε ἀπὸ τῶν σπλάγχνων καὶ ἀπὸ

ρα'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 113,α - 116,α.

25. *ἐσαῦθις.*

Digitized by Google

βλεφάρων δάκρυα. Ἔοικε γὰρ ἡ ποίησις ἐπί γε τῷ ἡμετέρῳ τουτωὶ πάθει μηδὲν λέγειν ῥαψῳδοῦσα ὡς αἶψα πέλει κόρος ἀνθρώποις κρυεροῖο γύοιο. 3. Πάλαι μὲν τοὺς ἐπ' ἀλλοδαπῆς πίπτοντας εἰώθεσαν οἱ ἐκεῖθεν ἀνασωζόμενοι τρὶς ἀνακαλεῖσθαι πρὸς ὄνομα. Ἐγὼ δέ σε, ὦ φίλτατον τέκνον Μιχαὴλ, τὸ γλυκερὸν ἐμοὶ καὶ χρῆμα καὶ ὄνομα, ἐπὶ ξένης ἀνοσιώτατα πεσόντα, οὐ τρὶς μόνον, ἀλλὰ πολλάκις ἀνακαλέσομαι, καί περ ἐπ' ἀλλοδαπῆς καὶ αὐτὸς δεῦρο φθειρόμενος. Ἡ γάρ τοι κατὰ σὲ τραγῳδία, πολυφθόρῳ διαπεπλεγμένη συμφορᾷ, εἰς βάθος ταῖς ἡμετέραις ψυχαῖς οἷαν ἐκκέκαυται καὶ οὔ ποτε λήθης παρα || συρήσεται ῥεύματι, εἰς ἀοίδιμον δὲ πάθος ἐστήξεται καὶ ἀείκλαυτον.

4. Αἲ αἲ, πῶς ἐνέγκω τὴν ἀτοπίαν τοῦ δράματος, πῶς ὑποίσω τὴν συμφοράν, εἰ σπέρμα εὐσεβὲς σιδηρέῳ μοχλῷ κατάγνυται καὶ ὡς νήπια βαβυλώνια προσουδίζεται εἰ μειράκιον ἀθῷον ἐπὶ σφάλματι τιμωμένῳ κονδύλου θανάτῳ ὑπεύθυνον κρίνεται, καὶ θανάτῳ ὁποίῳ ἄνδρες αἱμάτων, καὶ οὗτοι ἐν καιρῷ πολέμου, περιπεπτώκασι. Κατέαγε τὸ κρανίον Πύρρος μὲν κεράμου ἐπιρριφέντος αὐτῷ, Ἀβιμέλεχ δὲ κλάσματος μύλου, διήλασε καὶ Σισάρᾳ τὸν κρόταφον πάσσαλος καὶ οὕτως ἀπεσκάρισε καὶ ἀπέψυξεν, ἔργα ταῦτα τοῦ ἀεὶ καινοτόμου πολέμου νεοχμούμενα. 5. Τὸ δ' ἡμέτερον μειράκιον, ἐγχέον τυράννῳ πίνοντι, τὸν αὐτὸν ἐκείνοις πέθοσθεν ὄλεθρον, οὐ κλάσματος μύλου κατενεχθέντος ἐπὶ κεφαλὴν αὐτοῦ, οὔτε κεράμου, ἀλλὰ σιδηρέου μοχλοῦ δι' ὅ τιποτοῦν σκεῦος ὑαλοῦν, ξέστην δήπου ἢ φιάλην ἢ ἔκπωμα τοῦ δακτύλου [τοῦ] παιδὸς ἄκοντος ἐκρυὲν καὶ θραυσθὲν, καὶ ταῦτ' ἐν καιρῷ ἑστιάσεως, ὅτε καὶ θῆρας φασιν ἱλαρυνομένους ἀγαθύνεσθαι. 6. Ἀλλ' οὐκ ἦν ὡς ἔοικεν ἐκείνη σιτοφάγων ἀνδρῶν, ἀλαστόρων δὲ ἀνδροφάγων τράπεζα. Οἷς συνδειπνῶν ὁ παλαμναῖος παρέθετο σφίσι τοῦτο ἥδιστον ἔδεσμα, ὡς μύθος πάλαι τὸν Πέλοπα,

11. || Κώδ. 113,6.— 25. *διοτιποτοῦν*. — 26. *τοῦ* λείπει. — 28. *θῆραι φασίν*.

www.libtool.com.cn

Digitized by Google

ὅςπερ καὶ τῷ ἀπ' ἀρχῆς ἀνθρωποκτόνῳ δαίμονι κέρασμα προὔπιεν, οὐχ αἷμα σταφυλῆς, ἀλλ' ἀθῷον καὶ ἀκραιφνὲς αἷμα φιλτάτης ἐμοὶ κεφαλῆς, τοῦ ἐμοῦ γλυκεροῦ βότρυος, ἀώρως οὕτως τετρυγημένου καὶ ἀποτεθλιμμένου βαρείᾳ καὶ σιδηροβριθεῖ χειρί.

7. Φεῦ οἵου πότμου τοὐμὸν γέγονε σπλάγχνον παρανάλωμα, ἐν ᾧ Ἐριννύες μὲν εἱστιῶντο, ἀλάστορες δὲ εἰςεκώμαζον, ἐπωρχεῖτο δὲ πᾶσα φύσις ἀπάνθρωπος, ἧ φίλον μὲν ὄψον ἀνδρόμεα κρέα θυόμενα, λαρὸν δέ οἱ πόμα αἷμ' ἀνθρώπου χεόμενον. Καὶ μὴν καὶ τότε φιλοφρονούμενοι παρὰ ὁμοίου φασὶν ὅμοιοι τὰ πρὸς ἡδονὴν ἐζήτουν, ὅπως δεῖπνον μὲν θυέστειον εἴτε κυκλώπειον φάγωνται, αἷμα δὲ τραυματίου πίωνται.

8. Ὁ δὲ θερμότατος ἑστιάτωρ αὐτῶν ἀπαράσκευος ὢν θῦσαι καὶ ἀπολέσαι, τὸν ἐμὸν ἄκακον ἀρνειὸν, τὸν ἐμὸν μόσχον τὸν σιτευτὸν ὥςπερ τι ἐπιτραπέζιον χάρμα παρέθετο τοῖς περὶ αὐτὸν φίλοις δαιτυμόσι καὶ δαίμοσιν. Ἧπου καὶ ἐπεκροτάλισαν ὑφ' ἡδονῆς οἱ μισάνθρωποι, ἰδόντες οὕτως ἀθρόον καταραχθέντα καὶ συμπεφυρμένον ἰδίῳ αἵματι, τοῖς γε μὴν φιλανθρώποις ἀγγέλοις καὶ ἀνθρώποις θέαμα οἰκτιστον, μειράκιον ἀνυπεύθυνον ὠμότατα οὕτως συντριβὲν καὶ ζωῆς ἀπορραγὲν βιαιότατα. 9. Ὁ μέν τοι πάντ' ἐφορῶν θεὸς καὶ πάντ' ἐπακούων ἤκουεν, ὡς πάλαι τοῦ Ἄβελ, καὶ τότε βοῶντος πρὸς αὐτὸν τοῦ αἵματος καὶ τὴν δικαίαν ζητοῦντος ποίνιμον εἴςπραξιν, ἣν οὐχ ἑπταπλάσιον, ἀλλὰ πολλαπλάσιον εἰς τὸν αὐτοῦ κόλπον κατὰ τὸν Λάμεχ τὸν ἀποκτείναντα νεανίσκον ὁ κατάρατος δέξεται. 10. Τῷ τέως δὲ τῇ διηνεκεῖ προςδοκίᾳ τῶν οὐκ εἰς μικρὸν ἐκδεξομένων αὐτὸν τίσεων, στένων ἔστω καὶ τρέμων ὡς ὁ Κάϊν καὶ τῷ τῆς παιδοκτονίας μιάσματι θριαμβευόμενος. Μικρὸν δὲ ὕστερον πίεται ὁ ἁμαρτωλὸς τοῦ ἐν χειρὶ Κυρίου ποτηρίου οἴνου ἀκράτου πλήρους κεράσματος·

τ

1. *ὥσπερ.*— 13. *θερμότα . παρὰ σκεῦος ὢν θύσαι.*— 15. *ὥσπέρ.* — 17. *καταρραχθέντα.* — 21. *ἐμφορῶν.* — 26. *τωτέως. διηνεκῆ.*

Digitized by Google

συνεκποτέον δὲ ἔσται δήπου τῷ ἁλιτηρίῳ καὶ τὸν τρυγίαν αὐτὸν, καθότι καὶ αὐτὸς τῷ οἰνοχοοῦντι παιδὶ τρυγίαν ὀργῆς ἐνέχεε, καὶ σιδηρέῳ πλήξας ῥοπάλῳ τῷ ἐξ ὑάλου σκεύει θραυσθέντι ἐπικατέραξεν ‖. 11. Οὕτως θυμὸς δρακόντων, μωσαϊκῶς εἰπεῖν, ὁ οἶνος αὐτοῦ καὶ θυμὸς ἀσπίδων ἀνίατος καὶ τὸ ἔκπωμα ἐκεῖνο οὐκ ἦν οἰνηρὸν σκεῦος, ἀλλὰ σκεῦος θανάτου ἄντικρυς· οὗπερ ἡ θραῦσις καλοῦ παιδὸς θραυσμὸς γέγονεν. Οὐ γὰρ ἤνεγκεν ὁ ἀγεννέστατος καὶ ἀνελευθερώτατος ζημιωθῆναι οὐ πολλῶν ὀβολῶν ἀξίαν ὕαλον, ἀλλὰ κατὰ τοὺς κωμῳδουμένους ἐπικωκύσας «οἴμοι, τὸ ὑαλοῦν τέθνηκέ μοι κύπελλον» ἀβίωτον ἑαυτῷ τὸν βίον ἡγήσατο, εἰ μὴ τεθνηκυίᾳ ὑάλῳ παρ' αὐτὰ καὶ τὸ μειράκιον συντεθνήξεται. Καὶ μέντοι οὐκ ἔφθη συντετρίφθαι τὸ τοῦ θανάτου ἄγγος ἐκεῖνο, καὶ αὐτὰς σιδηρᾷ ῥάβδῳ οἷά τι σκεῦος κεραμεοῦν ἐπισυντέτριπται.

12. Ὦ οἵῳ σκευαρίῳ οἷον χρῆμα ἀπόλωλεν, οὐ χαλκέῳ χρύσεον, οὐδ' ἐννεαβοίῳ ἑκατόμβοιον, ἀλλ' ἐξ ὑάλου φαυλουργηθέντι καὶ τιμωμένῳ τριωβόλου, θείας χειρὸς φιλοτέχνημα καὶ οὗ μηδ' ὁ πᾶς κόσμος ἀντάξιος. Οἷον ἱερὸν ἀνάθημα ὁ θεοστυγὴς πάλαι συλήσας Ἀθήνηθεν ὕστατον καὶ συντέτριφεν, οὐκ ἄψυχον οὐδ' ὁποῖα τὰ ἐξ ἀργύρου καὶ χρυσοῦ χειρόκμητα, θείας δὲ ἐπιστήμης· οὕτω γὰρ παρ' ἐνίοις τῶν σοφῶν ἡ φύσις ὁρίζεται· σοφὸν μεγαλούργημα ἐκ σώματος μὲν χρυσοειδοῦς, ψυχῆς δὲ πολλῷ τιμιωτέρας χρυσοῦ συγκείμενον. 13. Καί μοι τῶν συμφορῶν ἐπιθήκη γέγονε τοῦτο καὶ ἄλλη πένθους ὑπόθεσις. Οὕπω ἀποχρώντως τὰ τοῦ θεοῦ ἄχραντα σκεύη καὶ πολυτελέστατα ὁ δύστηνος ἀπεκλαυσάμην, βεβήλοις χερσὶ προδεδομένα καὶ χοάνοις ἀθεμίτως διδόμενα καὶ κοινούμενα! Ἀνεξέκακε καὶ μακρόθυμε Χριστὲ βασιλεῦ, οὕπω Ἀθηνῶν ἱερὰν ἀκρόπολιν, τοὐμὸν λάχος, καὶ τὸν ἐν αὐτῇ ἁγιώτατον παρθενῶνα τῆς θεομήτορος κατεπένθησα, σπήλαια λῃστῶν

4. *ἐπικατέρραξεν.* ‖ Κώδ. 114,α.— 6. *ἔκπομα.*— 12. *παρθ'τ αστὰ.*— 13. *ἄγκος.*— 16. *φαυλουργη καὶ τιμωμένου.*— 19. *συντέτριφθεν.*

Digitized by Google

γεγονότα καὶ κατὰ τὴν Γραφὴν ἐχίνων καὶ ὀνοκενταύρων καὶ δαιμονίων ἐνδιαιτήματα. Οὔποτε τῶν ἐπὶ τούτοις δακρύων οἶδα κεκορεσμένος, οὐδενὸς τῇ κεφαλῇ μου διδόντος ὕδωρ ἀέναον καὶ τοῖς ὀφθαλμοῖς μου πηγὴν δακρύων ἀείκρουνον. Καὶ νῦν ἰδοὺ αὖ πάλιν ἑτέραν τραγῳδίαν ἡ Ἀκροκόρινθος ἀνταν- 5
στησιν. 14. Ἡλίκον γὰρ κἀκεῖ θηρίον ἐμπεφώλευκεν, ὡς καὶ αὐτὴν ὑαίνης, προφητικῶς, λέγεσθαι σπήλαιον, μᾶλλον δὲ ἄλλον Σκύλλης ἢ Χαρύβδεως λέγεσθαι σκόπελον, καὶ καινὸν τοῦτο δρᾶμα πονηρὸς δαίμων ἐκεῖθέν μοι κεχορήγηκεν, ἀφ' ὕψους ἀεὶ πολεμῶν μοι καὶ κυλίνδων ἄλλα ἐπ' ἄλλοις κακά. 10
15. Οἷα γὰρ καὶ ὅσα ἐν ἀκαρεῖ σχεδιάσας ἐσκηνοποίησεν! Ἐξερρύη τῶν παιδικῶν δακτύλων ἔκπωμα καὶ πεσὸν τέθραυσταί τε καὶ ἔθραυσε λύπῃ ἀγεννεῖ καρδίαν τυραννικήν. Ἡ δὲ καχλάσασα ὑπερζέει ἀλογίστῳ θυμῷ καὶ τὴν μιαιφόνον δεξιὰν ὁπλίζει πρὸς ἄμυναν. Τὸ δ' ὅπλον σιδήρεον ῥόπαλον, ᾧ κατα- 15
ραχθεὶς ὁ παῖς ἐπὶ γῆς ἄναυδος ἔκειτο. 16. Οὕτως οὐχ ὅπως πολλὰ κατὰ τὸν παλαιὸν λόγον, ἀλλὰ καὶ σχέτλια τὰ μεταξὺ κύλικος καὶ χείλεος ἄκρου τυραννικοῦ, ἅπερ τῇ ἐριννώδει ἐκείνῃ τραπέζῃ θᾶττον αὐτοματίσας ἐπεισεκύκλησεν ὁ δεινὸς χορηγὸς, ἀρξάμενος ἀπὸ τῶν τοῦ παιδὸς δακτύλων δρα- 20
ματουργεῖν καὶ διὰ τῶν ἐν μέσῳ εἰς τὴν ἐκείνου φίλην μοι κεφαλὴν ἀποσκήψας τελευταῖον καὶ ἐκκορυφώσας συμπέρασμα τραγικώτατον, οὐ μὴν δὲ ἀλλὰ καὶ οἷς πρότερον ‖ πέπονθα πάθεσι παραπλήσιον.
17. Κἀκεῖ γὰρ ἱερόν τι καὶ πολυτελὲς χρῆμα ἐναγέσι χερσὶ 25
καταθραυσθὲν ὤλετό μοι, χρυσοῦς κρατὴρ, θαρρήσας ἐρῶ, ὑποδοχῆς θείου αἵματος ἄξιος ἢ ἀρωμάτων φιάλη, τὸ σολομώντειον, ἢ μύρου πολυτίμου εὐαγγελικὸν ἀλάβαστρον· μύρου, ὅπερ τῷ τέως μὲν τῷ ἀτελεῖ τῆς ἡλικίας ὅσα καὶ συστόμῳ μυροδόχῳ δοχείῳ ἐναποκρυπτόμενον ἐταμιεύετο, φύσει μὲν νε- 30
κροβόρου γυπὸς ἢ κοπροδιαίτου κανθάρου οὔτε τὴν ἀρχὴν

9. *ἐκεῖθεν*.— 11. *ἀκαρεὶ*.— 15. *καταρραχθεὶς*.— 23. ‖ Κώδ. 114,6. — 29. *τωτέως*. — 31. *νεκροβόρρου*.

Digitized by Google

ἡδύπνοον καὶ ἄλλως ἀπόρρητον, τοῖς γε μὴν εὐαισθήτως ἔχουσι τῶν τοιούτων οὐκ ἀμυδρὰν τῆς θεσπεσίας ὁδμῆς ἑαυτοῦ παρεῖχεν αἴσθησιν. 18. Τίς γὰρ ἦθος ἐκεῖνο πρεσβυτικὸν καὶ ὑπὲρ ἡλικίαν εὐξύνετον καὶ τἆλλα καλὰ ὁρῶν καὶ φυσιογνωμῶν, οὐ τῆς δι' αὐτὸν ὑπισχνουμένης ὅσον οὐδέπω πολυσυνθέτου καὶ εὐόδμου ἀρετῆς τοῦ παιδὸς ὠσφραίνετο; Τίς οὕτως ἀργὸς καὶ βλέπων ἐπιπολῆς, ὡς θαυμάζειν μὲν ὅπως οὐκ ἀκολάστῳ ἐξεβράσσετο γέλωτι, ὑποσέμνῳ δὲ ἱλαρύνετο μειδιάματι, μὴ τὴν ἔνδον δὲ τῆς ψυχῆς σταθηρὰν γαλήνην τεκμαίρεσθαι ἢ μὴ διορᾶν τῆς ἐκείνου ψυχῆς τὴν εὐγένειαν, βάδισμα καὶ παιδιὰν καὶ ὁμιλίαν ἐνοπτριζόμενος; 19. Οὔτε γὰρ ἅλμασι καὶ δρόμοις σεσοβημένοις ἔχαιρεν, οὔτε πρὸς παιδιώδεις ἀστασίας ἐρρέμβετο, βάδην δὲ καὶ μετ' εὐρύθμου πως ἂν εἴποις ἐστέλλετο σχήματος, οὐ κατὰ δέος παιδαγωγικόν, ὅτι μὴ κονδύλοις πρὸς τὸ εὔσχημον ἀπευθύνετο, ἀλλὰ θυμοσόφῳ φρονήματι πρὸς τὸ σεμνότερον ἐνηρμόττετο· ὅτε δὲ καὶ ἄγοι σχολὴν μαθημάτων, φλυαρίαν μὲν οὐ προσεποιεῖτο παντοίου παιδαριώδους ἀθύρματος, τοξαρίῳ δὲ καὶ βέλεσι προσανέχων ἢ κατὰ σκοποῦ βάλλειν ἐπιτυχῶς ἐμάνθανεν ἢ ἐναέριον ἐπὶ μήκιστον θεῖναι τὸ βέλος διετείνετο, θεατὴν, οὐ σωφρονιστὴν τὸν παιδαγωγὸν ἐπαγόμενος, ἢ ἵππον ἀναβαίνων περιεκάλπαζεν, ὡς μηδὲ παιδιὰν εἶναι τὴν ἐκείνου παιδικὴν διατριβὴν, ἀλλὰ γυμνασίαν νεανικὴν καὶ μελέτην στρατιωτικὴν ἀνδρόπαιδος. 20. Τὴν δὲ φειδὼ τῶν λόγων, τὴν δὲ μὴ παρὰ θύραν τῶν ἐρωτήσεων ἀπόκρισιν ἢ τῆς ἐδωδῆς καὶ τοῦ ποτοῦ τὸ μέτριον, ταῦτα δὴ τὰ πρὸς κατόρθωσιν ἐργώδη καὶ αὐτοῖς τοῖς πυκαζομένοις τὸν πώγωνα, τίς ἐπισκεπτόμενος οὐ τὸν ἐσόμενον ἄνδρα ἐν ἡλικίᾳ παιδικῇ κατεμάνθανεν; Ἀλλὰ τί ταῦτα διέξειμι; Ὅσῳ γὰρ καταλέγω τὰ ἐκείνῳ προσόντα καλὰ, τοσούτῳ ἡμεῖς φαινόμεθα δυστυχέστεροι, τοιοῦτον ἀποβαλόμενοι σεμνολόγημα.

2. *ἀμυδρὸς*.— 4. *τἄλλα*.— 6. *ὀσφραίνετο. οὕτως*.— 13. *ἐρέμβετο*. — 19. *κατασκοποῦ*. — 21. *ἐπαγόμενος* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *ἐπαγώμενος*.— 28. *παιδικῶς*.

www.libtool.com.cn

Digitized by Google

21. Ὦ φύσεως μὲν κάλλιστον ἄγαλμα, φθόνου δὲ οἰκτιστον παρανάλωμα, ὦ καὶ φὺς καὶ τραφεὶς ἐν συμφοραῖς καὶ διαντλήσας τὸν παρόντα βίον ἐν δυσπραγήμασιν, ὀρφανιζόμενος μητρὸς, ἧς μαστὸν τὴν ἀρχὴν οὐκ ἐθήλασας, ἀποσπώμενος πατρὸς, οὗπερ ἄκρῳ λιχανῷ τῆς παιδοκόμου καὶ φιλοστόργου ἐγεύσω γλυκύτητος, εἶτα ἐν ὁμήρου προσχήματι ἐκδιδόμενος, τυράννῳ ἀπαγόμενος, ἐς Ἀκροκόρινθον ἐγκλειόμενος, ταὐτὸν δὲ εἰπεῖν τὸ παρὰ Πέρσαις καλούμενον λήθης φρούριον. 22. Τὰ δ' ἐπὶ τούτοις ἡλίκα; ἐκτομὴ καὶ σώματος καὶ λήμματος ἀνδρικοῦ, ὅπερ εὐθὺς ἐκ παιδὸς ἱππαζόμενος καὶ τοξαζόμενος ἔφαινες, λατρεία δὲ τυραννικὴ καὶ τὸ ζῆν ὑπὸ θανάτου σκιᾷ, μᾶλλον δὲ καθ' ὥραν ἀποθνήσκειν, οὐ καθ' ἡμέραν ὡς ὁ Ἀπόστολος· καίτοι πάλαι ἀπέθανες ἐξ οὗπερ ὠμῶς ἐξετέτμησο· εἰ δ' ἀνεβίως, θεοῦ τὸ θαυμάσιον τοῦ ζωοποιοῦντος ‖ τοὺς νεκροὺς, ἴσως ἵνα πολλάκις ἀποθανὼν πολλῶν θανάτων τὴν ἐν οὐρανοῖς ζωὴν ὠνήσαιο. 23. Ὅσων καὶ ταῦτα δακρύων ἄξια! Ἀλλά γε τὸ ἐπὶ τούτοις ὕστατον πάθος τοῦτο ἀποκρύπτει πάντα καὶ πρὸς ἑαυτὸ μόνον τὸ πᾶν ἐκκαλεῖται δάκρυον. Συνθρηνεῖ δέ σε μετ' ἐμοῦ, ὦ κάλλιστε παῖ, καὶ Ἱερεμίας ὁ φιλοπενθὴς καὶ συμπαθῶς ἐποιμώζων· «ἀλγηρά, φησιν, ἡ πληγή σου, ναὶ ἀλγηρὰ, ἐπεὶ καὶ θανάσιμος». Ὅπῃ δ' ἄρα τῆς φίλης ἐμοὶ κεφαλῆς καὶ συμβέβηκε λέγε μοι, φίλτατε Μιχαήλ; ἆρα κατ' ἄκρας κορυφῆς ἢ ἐπ' ἐγκρανίδος ἢ κροτάφου ἢ βρέγματος ἡ καταφορὰ τετόλμηται;

24. Ὦ μιαιφόνου χειρὸς, ἵνα τί μὴ ἀπὸ κλειδὸς αὐτῆς ὁ βραχίων τοῦ ἁμαρτωλοῦ, πρὶν συντελέσαι τηλικοῦτον μῦσος, συντέτριπται; ἵνα τί μὴ παρώξυνεν ὡς ἀστραπὴν ἡ θεία δίκη τὴν αὐτῆς μάχαιραν καὶ τὸ ἐγχείρημα τοῦ θεοστυγοῦς ὑπετέμετο, ἀλλ' εἰς ἄγος τοιόνδε παρεσχεδίασται ὥςπερ τι ἄλλο τυραννικῆς παροινίας παίγνιον; Διψῶ κἀκεῖνα μαθεῖν,

10. *ἀνδρ*. — 11. *τυραννικῆ*. — 15. ‖ 115,α. — 21. *φησὶν*. — 22. *ἆρα*. — 24. *ἐπεγκρανίδος. βρέχματος*. — 25. *ἀποκλειδὸς*. — 26. *μύσος*. — 29. *ὥσπέρ*. — 30. *παραοικίας*.

Digitized by Google

πότερον εὐθύωρον τῇ ραγδαίᾳ ἐκείνῃ καταφορᾷ ἐναπέψυξας, ἐπεὶ ἐγκέφαλος ἅπας ἔνδον πεπάλακτο, εἴτε καὶ ἐκκέχυτο θύραζε, ἢ ἐς νέωτα, τοῦ τραύματος σφακελίσαντος; Καὶ δὴ πεσόντι σοι καὶ ἀσπαίροντι ἢ ἀκινητίζοντι ἐπωλώλυξέ τις καὶ ἐπεδάκρυσε κατοικτείρας; 25. Ἦ πάντες μὲν ἐπὶ τῷ οἰκτίστῳ παθήματι καὶ θεάματι περιαλγεῖς γεγονότες ἐσχετλίαζον λάθρα καὶ ἔστενον, κἂν ἄλλως ἀναλγεῖς καὶ θηριώδεις εἶεν ἤθεσι καὶ χώρᾳ ἀσεβοῦς ἐνστρεφόμενοι, οὐδεὶς δ' ὅμως τεθάρσηκεν ἐπιστυγνάζων ἢ ἀποδακρύων φανῆναι ἢ ἀκουστὸν ὀλοφύρασθαι; Πολλοῦ γε καὶ ἔδει προιέναι σοι καὶ ἀναβαλέσθαι καὶ ὕδωρ ἐπιψεκάσαι τῷ προσώπῳ ψυχρὸν καὶ ζωγροῦν ἐκλείποντα ἢ καὶ τοὺς ἰχῶρας ἀπομόρξασθαι καὶ καταδῆσαι τὸ ἕλκος, ἐμπνέοντι ἢ ἀποψύχοντι παρακαθίσαι καὶ συγκλεῖσαι στόμα καὶ καθελεῖν βλέφαρα καὶ λοιπὰ μέλη διευθετῆσαι καὶ ῥυθμίσαι νεκρούμενα, πάντων διὰ τὸ τυραννικὸν δέος κατεπτηχότων καὶ ἀποτεθνηκότων μικροῦ, τυχὸν δὲ καὶ προσποιουμένων διὰ θωπείαν δουλικὴν συναγανακτεῖν τῷ μιαιφόνῳ, ὡς οὐκ ἀδίκως ἐπεξιόντι τῆς πολυτίμου ὑάλου τὴν ἀπώλειαν.

26. Ὡς ἔγωγε δέδοικα μὴ ἄρα τὸ τελευταῖον ὡς ἄκλαυτος αὐτοῦ που καὶ ἄθαπτος στυγνῆς Ἀκροκορίνθου παρέρριψαι. Τίς γὰρ μὴ τοῦ τυράννου κελεύσαντος κατορύξαι τετόλμηκεν ἄν, ἵνα καὶ αὐτὸς ζῶν ἐπικατορυγῇ καὶ δῶ [δίκην] ταύτην φιλανθρωπίας ἀπάνθρωπον. Πῶς δ' ἂν ἡ ἀνοσία καὶ θηριώδης κεφαλὴ ἠνέσχετο ἐπιτάξαι τὴν ταφὴν, ἵνα δῆλος ἐντεῦθεν γένηται οἴκτῳ ἐπικλώμενος ὁ ἀτειρής τε καὶ ἄκαμπτος;

27. Τοῦτο γὰρ μόνον αἰδοῦνται οἱ ἀναιδέστατοι τῶν τυράννων καὶ ὠμότατοι, φανῆναί ποτε κατενεχθέντες εἰς ἔλεον. Τάχα οὐδ' αἰδοῦνται, ἀλλὰ μᾶλλον δεδοίκασι τὸ οἰκτίζεσθαι, ὡς τοῦ νηλεοῦς ὄντος οὐσιώδους καὶ συστατικοῦ τῆς κατ' αὐτοὺς θηριώδους προαιρέσεως, καὶ παρὰ τοῦτο τὸν ἔλεον ὑποπτεύουσιν ὡς τῆς ἀπ' αὐτῶν ἀπανθρώπου πικρίας ἄρνησιν· ὥσπερ ἀμέλει καὶ ὄφις φυλάξαιτ' ἂν τὴν ἀποβολὴν τοῦ ἐν αὐτῷ

14. *διευθετίσαι*. — 20. *παρέρριψε*. — 22. *δίκην* λείπει.

Digitized by Google

ἰοῦ καὶ θῆρες τὴν μεταβολὴν τῆς θυμοειδοῦς ἀγριότητος, ὡς ἀτεχνῶς φθορὰν τῆς καθ' αὐτὸ φύσεως. 28. Καὶ τοῦτο οὐ λόγος μόνον ἐπὶ ψιλῆς εἰκοτολογίας κενεμβατῶν, ἀλλὰ καὶ μαρτυρίας ἐξ ἱστοριῶν ἐρανιζόμενος, τὴν πίστιν ‖ προίσχεται, ὧν μίαν οὐκ ἄκαιρον διηγήσασθαι. Τραγῳδός τις τὰς τραγῳδίας ἐπὶ σκηνῆς ὑπεκρίνετο, εἶχε δὲ πρὸς τῷ λοιπῷ ὄγκῳ καὶ τύραννον θεατήν· ὡς δὲ προῦβαινε τὰ τοῦ δράματος λαμπρῶς καὶ θαυμαστόν τι πάθος κατεῖχε τὸ θέατρον καὶ πρὸς οἶκτον καθεῖλκε καὶ δάκρυα, ἐντεῦθεν ὁ τύραννος αἴφνης ἐξαναστὰς ᾤχετο φεύγων, πέμψας πρὸς τὸν τραγῳδὸν θαρρεῖν καὶ μηδὲν διὰ τοῦτο χεῖρον ἀγωνίζεσθαι. Οὐ γὰρ ὡς αὐτοῦ καταφρονῶν ἀπελθεῖν, ἀλλ' αἰσχυνόμενος τοὺς πολίτας, εἰ, μηδένα τῶν παρ' αὐτοῦ ἀναιρουμένων ἐλεήσας πώποτε, νῦν ἐπὶ ταῖς τύχαις Ἑκάβης καὶ Ἀνδρομάχης δακρύων ὀφθήσεται. 29. Τοιοῦδε ἀτεράμονος ὢν κόμματος καὶ οὑτοσί, πῶς ἂν οἷός τε ἦν ἐφεῖναι τῇ ταφῇ τοῦ ὠμῶς ἀνῃρημένου παρ' αὐτοῦ καὶ κινδυνεῦσαι οἴκτου ἁλῶναι, πράγματος ὑπόπτου καὶ ἀθεμίτου τοῖς κατ' αὐτὸν, καὶ μόνος ἁπάντων αἰσχύνην ὄφλειν ἐπὶ ἐλέῳ ὁ πάντας ἐπὶ μισανθρωπίᾳ ὑπερβαλέσθαι νεανιευσάμενος; 30. Τί γὰρ πρὸς τὸν κακοδαίμονα τοῦτον παρεξεταζόμενοι οἱ ἐπὶ ὠμότητι διατεθρυλημένοι πώποτε Φαλάριδες ἢ Ἔχετοι ἢ Κλέαρχοι; Οἱ δὲ τῆς αὐτῆς Κορίνθου παλαιοὶ τύραννοι Κύψελος καὶ Περίανδρος τοσούτῳ ἂν ἐπὶ μιαιφονίᾳ ὑφιζάνοιεν τούτου, ὅσῳ καὶ τῆς Ἀκροκορίνθου τὰ ὑπ' αὐτὴν γεώλοφα ὑπολείπονται. 31. Καὶ τοῦ λόγου ἀπόδειξις. Περίανδρος μὲν Κερκυραίοις ἀνελοῦσι τὸν υἱὸν αὐτοῦ Λυκόφρονα δίκην ταύτην ἐπέθηκε· τοὺς υἱοὺς ἐκείνων εἰς Λυδίαν πέμψαι ἐπ' ἐκτομῇ. Οὗτος δὲ, ὁμήρους παῖδας ἀνδρῶν μηδὲν ὑπαρξάντων αὐτῷ ἀδικίας ἀπαγαγὼν ἐπὶ προθεσμίᾳ ἐνωμότῳ, ἀπέτεμεν, εἶτ' ἄλλον ἄλλῳ τρόπῳ διέφθειρεν. Οὕτως ἠλίβατον καὶ διωλύγιον κακόν ἐστι τὸ ἔχθιστον ἡμῖν τοῦτο γειτόνημα.

4. *ἐξιστοριῶν.* ‖ Κώδ. 115,6. — 11. *διατοῦτο.* — 16. *οἷος.* — 21. *διατεθρυλλημένοι. φαλάριοι.* — 23. *κύψελλος.*

Digitized by Google

32. Ἀλλὰ τί μοι ταῦτα διὰ κενῆς ἐκτετόξευται; Τάχα δοκῶ ὁ δείλαιος παραμυθίαν τινὰ ἐμαυτῷ σοφίζεσθαι, τὸν τριςαλίτηριον, ὡς ἂν οἷός τε ὤν, βάλλων καὶ ἀμυνόμενος; Ἵππος μὲν γὰρ, ὡς ἔφη τις, ὁπλῇ μάχεται, ταῦρος κέρατι, κύων στόματι, λόγῳ δὲ ᾧ λόγος τὸ πρόβλημα. Πλὴν οὔτε παρὰ τῶν ἐμῶν τουτωνὶ βελῶν γενναία δύη χωρεῖ, κατὰ τὴν τραγῳδίαν, πρὸς ἧπαρ τοῦ ὠμοσπλάγχνου, οὔπερ κύνες ἐμπνέοντος ἔτι φάγοιεν, μᾶλλον δὲ ἀῤῥίως ὡς τὸ τοῦ Προμηθέως καὶ Τιτυοῦ οἰωνοὶ κείρειεν· οὔτ' αὐτὸς ἐντεῦθεν ψυχαγωγοῦμαι μάτην θυμομαχῶν καὶ κωφὰ βάλλων καὶ ἀνεμώλια. 33. Τὸ γὰρ σὸν πάθος, ὦ τλῆμον παῖ, οἷα πεφραγμένον βέλος ἐμπέπηγέ μου τῇ ταλαιπώρῳ καρδίᾳ, καὶ, κατὰ τὸν θεῖον Ἰὼβ εἰπεῖν, ἐκπίνει μου τὸ αἷμα. Εἰ δὲ, καθ' ἕτερον σοφὸν, πᾶσα πληγὴ καὶ μὴ καρδίας πληγὴ, τίς ἔσται τῇ ἀνιάτως πεπληγυίᾳ καρδίᾳ μου ἴασις; Ἴασιν λέγω τῶν ἀλγεινῶν ὀδυνῶν, ἥτις οὐκ ἄνεσις, οὐκ ἄλλη τις, οἶμαι, ἢ τὸ μὴ μόνον ἀναλογίζεσθαι τοῦ κατὰ σὲ βίου τὰς δυςπραγίας, τοὺς ἀγῶνας, τὰς ἀλγηδόνας, τοὺς κινδύνους, τὸν καθημερινὸν, εἶτα ἔσχατον καὶ βίαιον θάνατον, ἀλλ' εὐθὺς ἅμα συναναλογίζεσθαι καὶ τὰ μετὰ θάνατον διάδοχον τῶν τοιούτων ἀγαθῶν, τὴν φυγὴν τοῦ τυραννοῦντος θηρίου, τὴν ἀπαλλαγὴν τῆς λατρείας καὶ μοχθηρᾶς ζωῆς, τὰ διὰ στενῆς ὁδοῦ ἐπὶ πλάτος ἀπαχθῆναι μακαριότητος καὶ παρὰ θεῷ ζῆν ὡς τέκνον φωτὸς καὶ κατατρυφᾶν, ὡς υἱὸς βασιλείας οὐρανῶν, αἰωνίου τέρψεως. Οὕτω πρωϊαίτερον ῥαγήσεταί μοι φῶς, ἀθυμίας διαλύον τὴν ζόφωσιν· οὕτως ἀτελὴς τῇ πονήρως ἐχούσῃ καρδίᾳ μου ἴασις.

34. Ὦ μακαρίων ‖ μαρτύρων μέτοχε, ὦ Μακκαβαίων ἰσοστάσιε, ὅτι καὶ ὁ σὸς κρεουργὸς οὐκ Ἀντιόχου τῇ ὠμότητι δεύτερος· ὦ τῶν τριῶν παίδων ἀθλητικώτερε, εἴπερ ἐκεῖνοι

1. *διακενῆς*. — 3. *οἷος*.— 9. *ἐκτωνοὶ*.— 12. *ἐμπέπηγε* κατὰ διόρθωσιν ἐκ τοῦ τὸ πρῶτον γραφέντος *ἐπέμπει*. — 16. *τίς*. — 26. *διαλύων*. *ἀτελὴς*.— 28. ‖ Κώδ. 116,α.

Digitized by Google

μὲν ἐν μικρῷ μορίῳ ἡμέρας μιᾶς τῇ καμίνῳ ἐνεκαρτέρησαν ἄφλεκτοι καὶ τοῦτο ὥστε χορεῦσαι καὶ ᾄσαι ὑπὸ πνεύματι δρόσου διασυρίζοντι, σὺ δὲ ἐν τῇ σιδηρᾷ τῆς Ἀκροκορίνθου καμίνῳ περιφλεγόμενος καὶ θερμοτέρῳ φλογὸς θυμῷ τυράννου καόμενος ἐπὶ τέτρασιν ἔφερες ἔτεσιν. Ὦ κητῴα γαστρὶ καταποθεὶς καὶ διαγεγονὼς διαρκέστερον τοῦ Ἰωνᾶ καὶ μακρότερον, οὐκ ἔμελλες ἀσινὴς τὸ παρ' ἅπαν. καὶ ἀπήμων ἐκεῖθεν ἐξαναδῦναι καὶ ἀποδοθῆναι ἡμῖν ἀσμένοις ἄσμενος. 35. Ἐπεὶ γοῦν οὐκέτι σε ὕπαρ ἐν τῷ παρόντι αἰῶνι ὀψόμεθα, ἄγε ὄναρ γοῦν, ὦ φίλη ψυχὴ, τῷ τε πατρὶ καὶ ἡμῖν φάνηθι. Ναὶ ἴθι, τέκνον, ἴθι· πλὴν μὴ μετὰ τῆς καιρίας ἐκείνης ὠτειλῆς καὶ τοῦ ἐξ αὐτῆς ῥέοντος αἵματος. Οὐδὲ γὰρ ἐν ὕπνοις φανείης ἂν οὕτως ἡμῖν ἀνεκτὸν ἰδεῖν δραμα, ἀλλὰ μετὰ τοῦ σεμνοῦ ἐκείνου καὶ χαρίεντος προσώπου καὶ πρεσβυτικοῦ σχήματος καὶ βαδίσματος· καὶ μὴ μόνον ὀφθεὶς τὰς ὀδυνωμένας ἐπὶ σοὶ ψυχὰς παραμύθησαι μειδιῶντι προσώπῳ καὶ λαμπρῷ μετώπῳ, ἀλλὰ καὶ φθέγξαι τι ψυχαγωγὸν καὶ πυνθανομένοις ἀπόκριναι. 36. Ποίας ἄρα τετύχηκας λήξεως, ποῦ δὲ μένεις καὶ ποῦ κοιτάζῃ καὶ τίς σε παρὰ τῷ θεῷ τῶν μακαρίων μονῶν ὑπεδέξατο καὶ τίσι τῶν ἁγίων πνευμάτων σύσκηνος γέγονας; Πότερον ὁ κύκλος τῶν ἀδίκως ἀναιρεθέντων, ὧν κορυφαῖοι Ἄβελ καὶ Στέφανος, συγχορευτήν σε προσελάβοντο ἢ ὁ κοινὸς ἡμῶν πατὴρ Ἀβραὰμ διὰ τῆς συγγενοῦς πίστεως ἐν τοῖς ἑαυτοῦ κόλποις ἐνηγκαλίσατο ἢ ὁ δίκαιος Ἰὼβ εἰσεποιήσατο, τὸ μὲν ὡς πατὴρ ὀρφανῶν ἀεὶ γινόμενος, τὸ δὲ ὡς ταὐτοπαθῆ ἀγαπήσας σε ἢ καὶ ὡς μισανθρωποτέρῳ ἢ ἐκεῖνος παραδεδομένον πειραστῇ; Εἰ γὰρ καὶ ἑκατέρους διάβολοι ἔπαισαν πονήροις ἕλκεσιν, ἀλλ' ὁ μὲν πλήκτης Ἰὼβ τῆς ἐκείνου ψυχῆς ἐφείσατο, ὁ δὲ σὸς τῆς σῆς καὶ αὐτῆς ἥψατο. Διὰ ταῦτα τοῖς ἑαυτοῦ παισὶν ὁλόκληρον ἔθετο. 37. Δοκεῖς μοι, τέκνον

3. *διασυρίζοντος*.— 4. *καμίνου*.— 7. *ἀσινὴς* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *ἀσιρῆς*. *παράπαν*. — 10. *ψυχὴ* ἐπὶ τοῦ τὸ πρῶτον γραφέντος *μαι*, ὅπερ οὕτω διεγράφη.— 16. *παραμυθῆσαι*.— 25. *ταυτοπαθῆ*. — 27. *ἔπεσαν*. — 29. *διαταῦτα*.

Digitized by Google

Μιχαὴλ, ἀμφήριστος εἶναι τοῖς πᾶσι καὶ περιμάχητος, πάντων οἰκειουμένων καὶ πρὸς ἑαυτοὺς ἑλκόντων σε· σὺ δὲ ἀλλὰ τοῖς πᾶσι χαριζόμενος ἀνὰ μέρος συναγάλλῃ πᾶσι καὶ συγχορεύεις περὶ θεὸν, πόνων ἐκείνων λαθόμενος καὶ τῆς ἐνταῦθα καταγελῶν ματαιότητος. 38. Ταῦτα καὶ σοῦ μηδέπω φθεγγομένου οὕτως ἔχειν ἐμαυτὸν πείθω, λογισμοῖς εὐσεβέσιν ἑπόμενον. Εἰ γὰρ ὁ πεπορνευκὼς ἐν Κορίνθῳ παραδέδοται τῷ Σατανᾷ κατὰ τὴν ἀποστολικὴν ψῆφον εἰς ὄλεθρον, φησὶ, τῆς σαρκὸς, ἵνα τὸ πνεῦμα σωθῇ, πῶς τοῦ ἀνυπευθύνου τὸ σῶμα καὶ ψυχὴν ἀγνοῦ παραδεδομένου τῷ Σατανᾷ τῆς καθ' ἡμᾶς δυσμόρφου γενεᾶς, οἷς λόγοις μόνος οἶδε θεὸς, οὐχὶ σέσωσται τὸ πνεῦμα σωτηρίαν αἰώνιον, συναθλῆσαν τηλικαῦτα καὶ συναλγῆσαν τῇ σαρκὶ, καθ' ἑκάστην ὀλεθρευομένῃ πάντα δὴ τρόπον τετραέτες καὶ ἑξαπολωλυίᾳ τὸ λοίσθιον; 39. Οὕτω δὴ τὸ μὲν ὀστράκινον σκεῦος, ἀποστολικῶς, εἴτ' οὖν ἡ ὑδρία, σολομωντείως εἰπεῖν, συντέτριπται κἀπὶ τὴν πηγὴν, τὰ πρῶτα καὶ ἁπλᾶ σώματα, ἐπανέδραμεν· ὁ δ' ἐν αὐτῇ πολύολβος καὶ ἀκήρατος θησαυρὸς εἰς χεῖρας θεοῦ ταμιεύεσθαι παρατέθειται, ‖ ἕως τῆς φύσεως ὁ κεραμεὺς ἀναπλάσῃ διὰ παλιγγενεσίας καὶ τὰ διακεκριμένα ἐξαῦθις ξυνδήσῃ ἀλύτῳ δεσμῷ συγκρίσεως.

40. Ὦ ἀριθμῷ μὲν ἐτῶν βραχύβιε, μέτρον δὲ τληπαθειῶν πλῆρες ἡμερῶν καὶ μακρόβιε, τῇ δὲ παρὰ τῷ θεῷ ζωῇ ἀγήραε καὶ ἀθάνατε· ὦ διὰ ταῦτα πάντα μακαρίζεσθαι, οὐ ταλανίζεσθαι ἄξιε, εἰ καὶ τὸ συγγενὲς καὶ οἰκεῖον πιέζον ἡμᾶς κατὰ Πίνδαρον πείθει σχετλιάζειν ἐπὶ τῷ σῷ χωρισμῷ καὶ οἰκτροτάτῳ θανάτῳ, χαῖρε ὅτι διήντλησας ὅσας ἔδειξέ σοι θεὸς θλίψεις πολλὰς καὶ κακὰς καὶ ἐπιστρέψας ἐζωοποίησέ σε, ὅτι, σὺν ὀλίγοις κομιδῇ τὴν στενὴν καὶ τεθλιμμένην στειλάμενος, τοῖς ἐν οὐρανῷ πρωτοτόκοις υἱοῖς τῆς βασιλείας συναπογέγραψαι· καὶ νῦν τοῦ χειμάρρου τῆς τρυφῆς ἐπαπολαύεις καὶ

14. *ἐξαπολωλυῖα*.— 15. *εἴτ'*.— 17. *ἁπλᾶ* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *ἁπλᾶ*.—19. ‖ Κώδ.116,6.*ἀναπλάσει*.— 20.*ξυνδήσει*.

Digitized by Google

κατεμφορῇ τῆς αὐτοζωῆς δι' αἰῶνος παντὸς, εἴτε καὶ τὰς ὑπερουρανίους Χριστοῦ περιπολεύων βασιλείους αὐλὰς, εἴτε τὸν ἀοίδιμον καὶ θεόφυτον τῆς πανευδαίμονος Ἐδὲμ κῆπον χωροβατῶν, ἐκ τῶν ἐκείνης ἀκηράτων λειμώνων πλεκτῷ κατεστεμμένος στεφάνῳ.

ρϐ'. Τῷ Τορνίκῃ κῦρ Εὐθυμίῳ.

1. Γράμμα μοι ἐγκεχείρισται, πανεντιμότατε καὶ λογιώτατε δέσποτα, οὐκ ἐπιγεγραμμένον ἔξωθεν τὸ τοῦ ἀπεσταλκότος ὄνομα, ἐντὸς δὲ τὴν αἰτίαν τῆς ἀνωνυμίας ὑπογρύζον οἷς παρελάλει πολλὴν ἑαυτοῦ δουλοπρέπειαν καὶ φόβον μέγαν καὶ κοινὸν, ἀπείργοντα ἐλευθεροστομῆσαι ὅσα καὶ βούλεται.

2. Τοῦτο ἐπελθὼν οὐ τὸν τυχόντα ὑπέστην ἀγῶνα, ζητῶν εὑρηκέναι τὸν γεγραφότα. Ὅτε μὲν γὰρ τὸ ἐπίχαρι τῶν νοημάτων καὶ τὴν ἀβρότητα τῶν ὀνομάτων κατεθεώμην, τὸν χαρακτῆρα τῆς σῆς λογιότητος ἀνέφερον, ἄλλως τε οἷς καὶ πρόσρησιν πρὸς ἡμᾶς περιεῖχεν ἐνίων συνήθων ἐν τῇ κατ' Εὔβοιαν Χαλκίδι διατριβόντων, καὶ, τὸ ἔτι πλέον ἁπάντων πεῖθόν με σὸν εἶναι τὸ ἐπιστόλιον, ἐμέμνητο καὶ τῶν καθωμιλημένων οὐκ ὀ|λίγοις χρησμῳδημάτων, ἐμοὶ δὲ δοκούντων παραληρημάτων, καὶ μετέωρος χρηστοτέραις διὰ τούτων ἐλπίσιν ἔλεγε φέρεσθαι ὅστις ποτ' ἦν ὁ ταῦτα ἐπεσταλκώς· ὁποίας ἐλπίδας ἐγὼ, παρὰ τῶν παλαιῶν ἐκδεξάμενος, ἐγρηγορότων ὀνομάζω ἐνύπνια, καί τοι εὐξαίμην εἴπερ τις ἀληθῆ

2. *ὑπὲρ οὐρανίους.*

ρϐ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 121,β - 122,β. Αἱ δὲ παράγραφοι 12 - 13 ἐδημοσιεύθησαν ὑπ' ἐμοῦ τὸ πρῶτον ἐν τῇ πραγματείᾳ μου *περὶ τῆς βιβλιοθήκης τοῦ μητροπολίτου Ἀθηνῶν Μιχαὴλ Ἀκομινάτου* ἐν τῷ ἕκτῳ τόμῳ τοῦ Ἀθηναίου, σ. 358 - 359.

9. *δολοπρέπειαν*, ἔπειτα διορθωθὲν εἰς *δουλοπρέπειαν*. — 16. *πεῖθον*. — 18. || Κώδ. 122,α. — 20. *ὅστις*. — 22. *εἴπερ*.

Digitized by Google

ἀποβῆναι ὅσα χρησμολογοῦνται εἰς ἀγαθὸν τῷ καθ' ἡμᾶς πολιτεύματι, ἀλλ' οὐ παρὰ τοῦτο εἶποιμ' ἂν προφητικῆς ἐπιπνοίας ἀποθεσπίσματα τὰ Σφιγγὸς κελαινῆς γῆρυν ἐκμιμούμενα φοιβάσματα. Οὔτε μὴν ἀληθείας ὀνομάσω σοφοὺς ἐξηγητὰς τοὺς ὀνειροκριτικῶς καταμαντευομένους αὐτῶν χρησμολύτας καὶ πρὸς ὃ βούλονται στρεβλοῦντας βιαιότερον καὶ οὐ λίθον ποτὶ σπάρταν φασὶν, ἀλλὰ σπάρταν ποτὶ λίθον ἕλκοντας, ὅτι μηδὲ τὸ πνεῦμα τοῦ Πύθωνος οἱ περὶ τὸν μέγαν Παῦλον εἶασαν κηρύττειν αὐτοὺς δούλους τοῦ θεοῦ τοῦ ὑψίστου καὶ σωτηρίας ὁδὸν καταγγέλλοντας, ἀλλὰ σιγὴν αὐτῶν κατεψηφίσαντο. 3. Ἃ μὲν οὖν ἐπήγετό με πιστεύειν σὸν εἶναι τὸ γράμμα ταῦτά εἰσιν. Ἡνίκα δὲ πάλιν ἀνελογιζόμην τὴν τοσήνδε δειλίαν καὶ ὅπως ἑαυτὸν ἐπικρυπτόμενος ἀνωνυμίᾳ οὐ τεθάρρηκε τὸ πρὸς ἡμᾶς ἐπιστέλλειν ὁ τοῦ γράμματος πατὴρ, ἆρα, ὑπεφώνουν κατ' ἐμαυτὸν, τοῦ γενναίου καὶ ἀκαταπλήκτου Εὐθυμίου τὸ ἐπιστόλιόν ἐστι, καὶ τί παθὼν ὁ ἐπὶ παρρησίᾳ ὀνομαστὸς, αἴφνης οὕτως ὑπὸ δειλίας νώνυμος γέγονεν; 4. Οὐχ οὗτος ὑπὲρ ἐκκλησιαστικῶν καὶ πατρίων θεσμῶν μὴ ὅτι γε ὁμοφύλους πατριάρχας καὶ βασιλεῖς ὑπέστη μεγαλοφρόνως, ἀλλὰ καὶ ἀλλογενέσιν ὁμόσε χωρῆσαι πρὸς μὲ πολλάκις ἀπισχυρίσατο; Καὶ νῦν πῶς τὴν πρὸς ἡμᾶς διαπόντιον πρόςρησιν πέφρικε; Μῶν εὐλαβεῖται μὴ καὶ γράψαιτό τις αὐτὸν ἀθηναϊσμοῦ, ὡς ἔνιοι τῶν πάλαι τινὰς μηδισμοῦ ἢ φιλιππισμοῦ; 5. Τοιοῦτοί με λογισμοὶ ἀνθεῖλκον ἑτέρωθεν καὶ πείθειν ἐπειρῶντο, μὴ ἂν τὸν γεννάδαν Εὐθύμιον ἀνασχέσθαι ὑπ' ἀνωνυμίας κρύπτεσθαι, κατὰ τοὺς δειλοὺς τῶν ὁπλιτῶν, οἳ ὑπαναχωροῦντες ἐκ τῶν προμαχούντων ἐς τὴν ξύγκλυδα πληθὺν καταδύοντες λανθάνουσιν. 6. Ὅμως πεφυκὼς ἀεὶ πρὸς τὸ ἐπιεικέστερον ῥέπειν καὶ συγγνωμονικὸν μᾶλλον ἢ ἀκριβοδίκαιον, ἀνθυπέφερον ἀΰθις, ὡς οὐδὲν καινὸν, εἰ καὶ ὁ ἁπτόμενος οὗτος ἀνὴρ εὐλαβεῖται νῦν καὶ ὑποπτήσσει τὴν βαρβαρι-

16. *ἐπιστόλιον ἐστὶ*. — 23. *μηδισμοῦ*. — 25. *τοιοῦτοι*.

www.libtool.com.cn

Digitized by Google

κὴν ὠμότητα, ὁπότε πᾶσιν ἡμῖν πνεῦμα δειλίας, γραφικῶς εἰπεῖν, ἐπιπέπτωκεν. 7. Εἶτα καὶ τῶν μακαρίων ἐκείνων ἀνδρῶν ἀπεμνημόνευον, τοῦ Ἀβραὰμ, τοῦ Ἰσαὰκ, τοῦ Δαυὶδ, τοῦ Ἠλία, τοῦ σκεύους τῆς ἐκλογῆς· ὧν οἱ μὲν ἀδελφὰς τὰς γυναῖκας ἑαυτῶν ὠνόμαζον, δεδιότες μὴ καὶ αὐτὰς ἀφαιρεθῶσι καὶ προσαπόλωνται. Ὁ θεσβίτης δὲ οὕτως ὑπὸ δέους κατέπτηχε, μόνον οὐ χρυσταλλωθεὶς, καίπερ πυρίπνους ὢν καὶ πῦρ ἐξ οὐρανοῦ κατάγων καὶ φλόγεον ἅρμα ἐλαύνων εὐθὺ τοῦ οὐρανοῦ ὥστε φεύγων γυναικαρίου ἀπειλὴν τεσσαράκοντα ἡμερῶν ὁδὸν ἀπέθρεξεν. Ὁ δὲ οὐ τὸ ὄνομα μετέβαλε μόνον, ἀλλ' ὅλον ἑαυτὸν εἰς ἐπίληπτον μετεσκεύασεν, ὥςπερ καὶ Παῦλος Φαρισσαῖον ἑαυτὸν καλεῖ ὁ πᾶσαν νομικὴν αἵρεσιν ἡγησάμενος σκύβαλα. 8. Οὔκουν θαυμαστὸν ἔφην, εἰ καὶ ὁ σοφὸς Εὐθύμιος, ὡς ἔν τινι σπηλαίῳ τῇ κατ' Εὔβοιαν Χαλκίδι συγκαθειργμένος πολλοῖς, οὐχ ἑνὶ ἀνθρωποφάγῳ Κύκλωπι, τὸν πολύτροπον καὶ πολύφρονα μεμίμηται ἥρωα, καὶ ὡς ἐκεῖνος ὑπὸ τὸν Οὖτιν τὸν Ὀδυσσέα ἔκρυψεν, οὕτω καὶ οὗτος ὑπὸ τὸν ἀνώνυμον τὸν Εὐθύμιον. Ταὐτὸν γὰρ δύναται τό τε Οὖτις καὶ τὸ ἀνώνυμον, καὶ ἀγαθὸν ἑκάτερον πρόβλημα εἰς ἀνθρωποφάγων ὀδόντων ἀπόφευξιν. Ὡς εἴθε καὶ τὰ ἑξῆς τοῦ Λαερτιάδου μηχανήματα ἠδυνήθη μιμήσασθαι ἐπὶ σωτηρίᾳ πολλῶν, ναὶ μέντοι καὶ ἑαυτοῦ, προκειμένων εἰς θοίνην ἀτεχνῶς ‖ κυκλώπειον.

9. Οὕτως ἐγὼ τοὺς ἑκατέρωθεν λογισμοὺς ταλαντεύσας καὶ διακωδωνίσας ἀπεφηνάμην οὐκ ἄλλου εἶναι, ἀλλὰ σοῦ αὐτοῦ τὴν ἐπιστολήν. Καὶ εἰ μὲν εὐεπηβόλως τῷ ἀμφιβόλῳ διήτησα, σὸν, οὐκ ἐμὸν τὸ κατόρθωμα. Σὺ γὰρ καὶ πατὴρ ἀγαθὸς λόγων καὶ γραφεὺς δεξιὸς, ἀμέλει καὶ γεννᾷς τέκνα σοφίας πατρῴζοντα καὶ οἷα καταμηνύειν τὸν γεγενηκότα καὶ μόνον βλεπόμενα· καὶ γράφεις δὲ παντοδαπῶν λόγων ἀγάλματα οὕτως ἀκριβῶς ὡς μὴ δεῖσθαι ἐπιγραμμάτων, ἀλλ' αὐτόθεν ἐπιγινώσκεσθαι πρὸς τίνα ἀρχέτυπα ἐξειργάσθησαν. Οὕτω

7. *χρυσταλλωθεὶς*.— 18. *ταυτὸν*.— 22. ‖ Κώδ. 122,6.

www.ibtool.com.cn

Digitized by Google

καὶ τοῖς παλαιοῖς ἐνομίζετο ζωγράφοις ἀρίστοις, ὡς τό γ' ἐπιγράφειν τεκμήριον ἦν τοῦ μὴ ἀκριβοῦσθαι τὰ γεγραμμένα.

www.libtool.com.cn

10. Εἰ δὲ ταληθοῦς διήμαρτον καί σοι ὀθνεῖον εἰσεποίησα γέννημα, τάχ' ἂν ὁ τὰ πάντα μέτριος καὶ φιλάνθρωπος αἰτιάσαιο δυοῖν θάτερον ἢ τὸ παρὰ τῆς κοινῆς συγχύσεως ἐπισκοτεῖσθαί μοι τὸ τῆς διανοίας ὄμμα καὶ παρὰ τοῦτο μὴ οἷόν τε εἰδέναι τό τε γνήσιον καὶ ἀλλότριον· αἱ ταραχαὶ γάρ φησι παρέπλαγξαν καὶ τὸν σοφὸν, πολλῷ γε μᾶλλον τὸν κατ' ἐμέ· ἢ τὸ οἴεσθαι φιλεῖσθαι παρὰ σοῦ μόνου σφόδρα καὶ ἀληθῶς καὶ σοὶ μόνῳ μέλειν ἡμῶν καὶ ἀξιοῦν προσρήσεως.

11. Ἀλλὰ τὰ μὲν περὶ τούτου ἀπόχρη· προσειρήσθω δὲ παρ' ἡμῶν ὁ περὶ σὲ φίλιος καὶ λόγιος ὅμιλος, πρὸς δὲ καὶ ὁ ἄριστος ἀρχιητρὸς, ὃν ἐπὶ βραχὺ γνωρίσας καὶ τῆς φιλολογίας θαυμάσας, εἶτα παρὰ χρῆμα διαστὰς, ἠνιάθην, καὶ νῦν δὲ ἀνιῶμαι, τῆς ἀναγνώσεως τῶν γαληνείων στερούμενος.

12. Διεκομίσθη γὰρ ἄλλα τε βιβλία τοῦ θαυμαστοῦ Γαληνοῦ καὶ τὸ Περὶ μεθόδων ἀνατομικῶν καὶ τὸ Περὶ τῶν καθ' Ἱπποκράτην καὶ Πλάτωνα δογμάτων, ἃ συναναγνόντες οὐ μικρὰ ἂν ἀλλήλοις συνεβαλόμεθα, ἐγὼ μὲν αὐτῷ εἰς τὴν περὶ τῶν δογμάτων πραγματείαν, αὐτὸς δ' ἐμοὶ πρὸς τὴν ἀνατομικὴν θεωρίαν. Καὶ ἐπεὶ σχασάμενος τὸ πολιτεύεσθαι οὐχ ἑκὼν πολλὴν ἄγω σχολὴν, κατώπτευσα ἂν ἔργα φύσεως θαυμαστὰ ἐναργέστερον καὶ διὰ τῆς φύσεως ἐπὶ τὸν δημιουργὸν αὐτῆς ἀνεπτερώθην θερμότερον. 13. Ἅμα δὲ οὐδὲ Ἀριστοτέλους ἂν εἴημεν ἀνήκοοι ἐς τέλος, ἐν πολλοῖς τῶν περὶ τῶν ζῴων μορίων γεγραμμένων αὐτῷ παραπέμποντος ἡμᾶς ἐς τὴν ἀνατομικὴν θεωρίαν, κἀκεῖθεν ἀξιοῦντος μανθάνειν αἰσθητῶς τὰ ἐν λόγοις φιλοσοφούμενα· καὶ μᾶλλον ἔτι οὐ σχολῆς μόνον ἡμῖν ἀφθονία, ἀλλὰ καὶ ζῴων τῶν ἀνατμηθησομένων, οὐ Σατύρων, λέγω, οὐ κυνοκεφάλων, οὐ πιθήκων, ἀλλ' οὐδὲ ἄρκτων. Καὶ αὐταὶ γὰρ σπάνιαι καὶ δυσθήρατοι, καὶ μάλιστα

5. *ἐπισκοτεῖσθαι*.— 6. *οἷον*. — 14. *παραχρῆμα*. — 17. *καὶ τῶν περὶ τῶν καθ'*. — 31. *σπάνιοι*.

Digitized by Google

νῦν, ὅτε, καὶ εἴ που θηραθεῖεν, ταῖς λατινικαῖς δωροφοροῦνται τραπέζαις ὡς ἥδιστον αὐτοῖς ὄψον καὶ εὐκταιότερον ἢ τοῖς Ἰουδαίοις ὁ παρ' αὐτῶν προσδοκώμενος Λευιαθάν· οἶδας δήπου τὸν ἐν τῷ Ἰὼβ διαγραφόμενον, ὃν οἱ κατάρατοι καὶ πάντα πρὸς αἴσθησιν ἔλκοντες αὐτοῖς ἐν τῇ θαλάσσῃ ταμιεύεσθαί φασι σιτευόμενον, κῆτος παμμέγεθες καὶ οἷον ἐξαρκέσαι [εἰς] αὐτῶν τε καὶ ἑτέρων πολλῶν ἐθνῶν τράπεζαν. Οὔκουν τοιούτων ζῴων εὐπορία ἡμῖν, ἀλλὰ ὑῶν, οὓς οἱ νησιῶται οὗτοι ὀσημέραι κατασφάττουσιν ὡς λυμαινομένους δῆθεν λήϊα, καὶ φέροντες ἐφ' ἡμᾶς προτίθενται διαμαρτυρόμενοι.

14. Ἀλλ' ἔλαθον τοὺς ὅρους τῶν ἐπιστολιμαίων νόμων ὑπεραλάμενος μικροῦ. Ὑπὸ γὰρ τοῦ σφόδρα ἐθέλειν ὁμιλεῖν σοι διὰ γραμμάτων ἐξέτεινα πέρα τοῦ συμμέτρου τὴν ἐπιστολήν· καὶ τὸ πάθος συγγνωστόν. Πότε γὰρ ἄλλοτε στελῶ γράμμα ἢ δέξομαι, τοσούτου χάσματος μέσον ἀμφοῖν διερρωγότος; Τὸ δὲ καὶ αὐτοπροσώπου θέας καὶ ὁμιλίας ἀξιωθῆναι, τοῦτο ἤδη καὶ ὑπὲρ εὐχὴν καὶ ἐλπίδα. Ἐρρωμένος διατηροῖο, λογιώτατε ἀνδρῶν καὶ φιλίας ἀληθοῦς ἔμψυχον ἄγαλμα.

ργ'. Τῷ αὐτῷ.

1. ‖ Ὡς εἰς καιρὸν ἡμῖν, λογιώτατε δέσποτα, γράμμα σὸν τοῦτο ἤδη τρίτον ἀπέσταλται. Ἅμα γὰρ ἀπελάβομεν καὶ νυκτομαχίας πολλῶν λογισμῶν ἀπηλλάγμεθα. Οἷα γὰρ καθ' ἑαυτοὺς ἀνετυπούμεθα, μὴ πλείω δεδεγμένοι γραμμάτων δυεῖν· ἀμέλει καὶ διαπορούμενοι καὶ οἷον καταμαντευόμενοι τὰς αἰτίας τούτου, τοιάδε ἀνεπλαττόμεθα. 2. Πότερον τολμήσας

5. *ταμιεύεσθαι φασι*.— 6. *εἰς* λείπει.— 8. *ἡμῶν*.— 13. *παρὰ* — 17. *ὑπερ*.

ργ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 122,6 - 124,α.

20. ‖ Κώδ. 123,α.

www.libtool.com.cn

Digitized by Google

δὶς ἐπιστεῖλαι, εἶτα ὡς ἂν παρακινδυνεύσας εἰς ἑαυτὸν ὑπεστάλη πάλιν καὶ σεσίγηκεν, ἢ, τῷ παροιμιακῷ νόμῳ πειθόμενος, δὶς τὰ καλὰ θεσπίζοντι, διττά μοι καὶ μόνα τὰ καλὰ ἐκεῖνα γράμματα ἐνεχάραξε, τοῦ λοιποῦ δὲ ἐκπεφρόντικεν, ἐπεὶ τὸ φιλικὸν καθῆκον ἤδη ἐξωσιώσατο; Ἀλλ' ἐκεῖνο μὲν θρασυδείλου ἂν εἴη πάθος καὶ γνώρισμα, καὶ τίς κοινωνία τῷ βεβηκότι ἐπὶ συμμέτρου μεσότητος πρὸς τὸν δι' ἔκπτωσιν ἀρετῆς εἰς τὰ παρ' ἑκάτερα κακίας μετολισθαίνοντα; Τοῦτο δὲ πῶς ἂν καὶ τὴν ἀρχὴν ἐπὶ νοῦν ἐβάλετο ἀνὴρ εἴπερ τις ἀγχίνους καὶ εἰδὼς, ὡς, εἴπερ ἐπισταλτέον ἐστὶν δὶς μόνον ἀποῦσι τοῖς φίλοις, καὶ προσρητέον ἂν εἴη τοσαυτάκις παρόντας. Ὃ γάρ ἐστι πρὸς ἐπιδημοῦντας πρόσρησις, τοῦτο πρὸς ἀποδήμους ἐπιστολή. 3. Καὶ τίς οὕτως ἀρχαῖος κατὰ τοὺς μυθευομένους προσελήνους, ὡς ἅπαξ ἢ δὶς ἀξιοῦν προσειπεῖν τοὺς συνήθεις, εἶτα σιγῇ παρατρέχειν μὴ προσεννέποντας, ὅπερ μισούντων νομίζεται τεκμήριον καὶ μὴ φρονούντων φίλα τε καὶ προσήγορα; Οὔκουν οὐδὲ τῇ παροιμίᾳ προσέσχε τὸν νοῦν, παραληρούσῃ, οἶμαι, ὑπ' ἀρχαιότητος. 4. Πῶς γὰρ δὶς τὰ καλὰ, ἀλλ' οὐ μᾶλλον τρὶς καὶ πολλάκις αὐτίκα, ἵνα μὴ λέγω τόδε ἢ τόδε τὸ καλὸν, τὰ τῆς περιοχῆς ἁπάντων τῆς εὐδαιμονίας φημὶ, εἶτ' οὖν καθ' ἡμᾶς μακαριότητος, οὐδὲ πολλάκις πρακτέον ἐστὶ, εἶτα παυστέον, εἴπερ ἐνέργειά ἐστι κατ' ἀρετὴν τελείαν· καὶ εἰ παύσεται, ἀποβαλεῖται καὶ τὸ μακάριον δήπου. Ὅθεν καὶ ἐν βίῳ τελείῳ τελειοῦσθαι ταύτην προστίθησιν ὁ Σταγειρόθεν φιλόσοφος. Ὁ δέ γε Σόλων καὶ ὁ Σιρὰχ οὐδὲ τὸν ἐν βίῳ τελείῳ εὐδαιμονοῦντα μακαριστὸν οἴονται, εἰ μὴ καὶ πέρατι βίου εὐδαίμονι, ὥςπερ τινὶ λιμένι ἀσφαλεῖ, ἐγκαθορμίσονται ὄλβιοι.

5. Ἐπιζυγώσας τοίνυν τὸ τῆς ἀκοῆς θύρετρον ὡς οὐκ ἀκριβεῖ τῷ παροδίῳ τούτῳ ῥήματι, ἐκεῖνο μᾶλλον ἀναπετάσαι κατὰ θύραν ὅ φασιν οὐ παρὰ θύραν ἥκοντι, ὅ φησιν ὡς πολλῶν φιλίας ἀπροσηγορία ἔλυσεν. Εἶδος δέ που προσηγορίας

1. *ὑπεστάλην.*— 7. *ἐπι.*— 9. *εἴπέρ.* — 27. *ὥσπέρ τινι.* — 30. *ἀναπετάσοι.*

www.ilibtool.com.cn

Digitized by Google

καὶ τὸ ἐπιστολιμαῖον πρόσφθεγμα. Οὐ γὰρ δὴ πάσῃ παροιμίᾳ πειστέον, εἰ καὶ παλαιᾶς φιλοσοφίας λέγονται λείψανα, διὰ βραχυλογίαν εὐμνημόνευτον τὴν ὁσημέραι πραγματειώδη ἀνανέωσιν ἀθανατιζόμενα, ἐπεὶ κἀκεῖνο ἐάλω μοι τὰ νῦν ψευδόμενον παροιμιακὸν ἀπόφθεγμα. 6. Ἀνεπίφθονον δέ σοι καὶ διηγήσασθαι· εἰ γὰρ καὶ νόμος ἐπιστολῆς ἐπικελεύεται μὴ τῶν κειμένων ὅρων βαίνειν μακρότερα μήτε μὴν τὰ ἐσκαμμένα ὑπεράλλεσθαι, ἀλλ' ἔγωγε ἥδιστα ἂν ὑποσταίην παρανομίας γραφήν, εἰ μόνον τὸ ἐπιθυμοῦν μοι ἁπλήστως τὴν ὁμιλίαν τῶν πρὸς σὲ γραμμάτων ὅτ' ἔξεστιν ἀποπλήσαιμι. 7. Τίς δὲ ἡ παροιμία; ἀλλ' ὅπως ἐπίσχες τὸν γέλωτα, εἶτ' οὖν τῆς διηγήσεως καταγέλωτα. Δίς φησι κράμβη θάνατος. Τοῦτο πάλαι σεβαζόμενος ὥσπερ τι δελφικὸν γράμμα, οἶδας δήπου τὸ γνῶθι σαυτὸν καὶ μηδὲν ἄγαν καὶ ἐγγύη πάρα δ' ἄτα καὶ εἴ τι τούτων ἀδελφὸν ἕτερον, μᾶλλον δὲ ὡς ὑγιεινόν τι παράγγελμα ἱπποκράτειον ἢ γαλήνειον διὰ μνήμης ἔχων, ἐφυλαττόμην πῶς εἴποις τὴν κράμβην παρατιθεμένην ἐπιτραπέζιον, καὶ τὰ πολλὰ μὲν ἀπειχόμην ὑφορώμενος ὡς τὴν ἐν τῷ λέβητι τολύπην ἣν ὅτε οἱ περὶ τὸν Ἐλισσαῖον υἱοὶ τῶν ‖ προφητῶν, ἐνίοτε δὲ καὶ προσηπτόμην ἐκ διαλειμμάτων μακροτέρων καὶ σφόδρα ἐγκρατῶς προνοῶν, ὡς εἰ καὶ βλάψει τυχὸν, ἀλλ' οὐχὶ καὶ ἐς κίνδυνον ἀποσκήψει διὰ τὴν βραχύτητα. Ὅτε καί τις γραῦς ἀττικὴ κωνείου κατὰ βραχὺ γευομένη ἔλαθε καὶ εἰς ἕξιν ἐλθοῦσα τοῦ πίμπλασθαι τῆς δηλητηριώδους πόας καὶ μὴ ἀπόλλυσθαι. 8. Ταῦτα μὲν πρότερον· νῦν δέ· πολλὰ γὰρ γηρῶν μανθάνω· ἔργοις διδάσκομαι ὡς εἰς ψεῦδος κεκόμψευται ἥδε ἡ παροιμία καὶ μάτην διαβέβληταί οἱ ἀγαθὸν φαγεῖν λάχανον. 9. Ἡμεῖς γάρ, καί τοι ἐν καρδίᾳ θαλάσσης παροικοῦντες, ὅμως οὐκ ἰχθυώμεθα, ὥσπερ πεποίηνται καὶ οἱ τὸ Ἴλιον πολιορκοῦντες Ἕλληνες, καὶ ταῦτα τὸν ναύσταθμον πεποιημένοι ἐν Ἑλλησπόντῳ ἐπὶ το-

2. *πιστέον*. — 11. *ἐπίσχε*. — 13. *ὥσπερ*. — 20. ‖ Κώδ. 123,6.

Digitized by Google

σούτοις ἔτεσιν, ὃν ἰχθυόεντα καλεῖ Ὅμηρος. Ἀλλ' εἴ ποτε τῶν ἐνταῦθα πυθοίμεθα εὐαγγελικῶς «παῖδες, μή τι προσφάγιον ἔχετε;» οἱ δὲ παρὰ χρῆμα τυρὸν προτείνουσι. Τοῦτο γὰρ καὶ μόνον νησιῶται οἴδε καλοῦσι προσφάγιον, τὸ κοινὸν κατηγόρημα εἰς εἰδικὸν κατάγοντες ὥςπερ καὶ τὰ θρέμματα κτήματα λέγουσιν, ὡς καί τις τῶν παλαιῶν τὸν μέροπα εἰς ὄνομα ἑαυτοῦ ἰδιώσατο. 10. Οὕτω δὲ αὐχμηρὰν καὶ ἄνοψον παρατιθέμενοι τράπεζαν, ἐπεί περ Ἀθήνηθεν ἡμῖν κράμβαι κομίζονται· ἐνταῦθα γὰρ οὐ μόνον ἀκροδρύων σπάνις πολλή, ἅτε τῶν ἐγχωρίων ὡς ἄλλοις Διὸς βαλάνοις μόνοις τοῖς καρποῖς τῆς φηγοῦ χρωμένων κατὰ τοὺς πάλαι βαλανηφαγοῦντας Ἀρκάδας, ἀλλὰ καὶ λαχανεία ἠγνόηται· κραμβοφαγοῦμεν συνεχῶς καὶ πολλάκις καὶ οὐ θνήσκομεν, ὅτι μὴ καὶ μᾶλλον ζῶμεν ἐσθίοντες οὐ μόνον ἐφθήν, ἀλλὰ καὶ ἁλμάδα ταμιευομένην ἐς νέωτα καὶ καταχρεμπτόμεθα γενναῖον τῆς λήρου παροιμίας καὶ, κατὰ τὸν εἰπόντα, ἁλμυρὸν προσπτύομεν ἀπὸ στόματος κραμβοφάγου, τρόπον ἄλλον ἢ περ ὁ κωμικὸς εἴρηκεν.

11. Ἀλλ', ὅπερ ἐλέγομεν, οὔτε παροιμίᾳ δουλεύων οὔτε δειλαινόμενος ἐπέσχεν ἂν τὸ γράφειν ὁ σοφὸς καὶ γενναῖος Εὐθύμιος. Ταῦτ' ἄρα καὶ τοῖς λογισμοῖς ἀδολεσχῶν ἔτι καὶ σκάλλων τῷ πνεύματι καὶ διερευνώμενος τῆς ὀλιγογραφίας τὸ αἴτιον, ἕτερα ἐξ ἑτέρων ἀνελογιζόμην καὶ, μή ποτε, ἔφασκον, σκήψαιτο τὸ ἀποκεκλεῖσθαι τὴν πρὸς ἡμᾶς φέρουσαν. 12. Πρὸς δ καὶ παρεσκευαζόμην, οὐ γάρ σε ἀποκρύψομαι τἀληθές, ἀντιπρότεινειν τὰς λύσεις, μᾶλλον δὲ ὡς πρὸς ὑποφορὰν ἐξαρτυομένην παρὰ σοῦ εἶχον ἐν ἑτοίμῳ ἀντεξάγειν εἰς ἀντίπρωρον ἀνθυποφορὰν τὰς αὐτόθεν δεῦρο πλεούσας ἄλλας ἐπ' ἄλλαις λέμβους οἷα συμμαχίδας χαλκεμβόλους τριήρεις τινὰς, δι' ὧν καὶ καταναυμαχῆσαι καὶ εἰς ἀχανὲς καταδῦσαι τὴν σκῆψιν ἤλπιζον, ὡς μηκέτι τὰς αἰτίας μεταφέρειν εἰς τὰ

3. *παραχρῆμα*.— 5. *ἰδικὸν*.— 17. *κραμβοφάτου*.— 21. *ἄρα*. — 25. *ἀποκρύψωμαι*.

Digitized by Google

μεταξὺ πολλὰ οὔρεά τε βησσήεντα θάλασσάν τε ἠχήεσσαν.
13. Ἀλλ' ἀνακρουστέον ἐπὶ πρύμναν τὰ ἐκ τῶν ἀρχεκάκων τριήρεων καὶ πρωτουργῶν ἡμῖν τῆς κοινῆς συμφορᾶς τροπολογούμενα, μὴ καὶ φορτικῶς σοι διαλέγωμαι. 14. Ἐδόκει μοι τὰ οὐκ ὄντα φανταζομένῳ ῥᾳδίως ἂν καὶ ἐκ πολλοῦ τοῦ περιόντος ἀποδεῖξαι μὴ διατετειχίσθαι τὴν πρὸς ἡμᾶς πάροδον, ἀλλ' ἀνεῳγέναι πολυσχιδῶς, πῇ μὲν ὡς ἐπὶ διαμέτρου κατ' εὐθυωρίαν Χαλκιδόθεν ἐς δεῦρο φέρουσαν διὰ τοῦ μεταξὺ καὶ Ἐρετριέων καὶ τοῦ καλοῦ Ἀρτεμισίου πελάγους, ἔνθα κατὰ Πίνδαρον φαεινὴν ἐλευθερίας κρηπῖδα ἔβάλοντο Ἕλληνες· αὐτοῦ γάρ που ταῖς περσικαῖς τριήρεσιν οἱ περὶ τὸν Θεμιστοκλέα πρῶτον προσήραξαν, ὅπερ ἐξῆς διὰ τῆς μαραθωνίου Κυνοσουρίδος ἀναχεόμενον ἐπὶ τὰς περὶ ἡμᾶς Κυκλάδας ταυταῖ νήσους ἐκδίδωσι· πῇ δὲ ὡς ἐπὶ δύο ἡμικυκλίων, τοῦ τε δεξιοῦ, τοῦ διὰ τῆς Ἀττικῆς, τοῦ δὲ ἀριστεροῦ, τοῦ διὰ τῶν Καρυστίων ἄκρων, εἰς ἡμέτερον περιάγουσαν ‖ καταγώγιον. 15. Ἀλλὰ τί ποτε εὐθυφορικὰς ὁδοὺς ἐπειςκυκλῶ, ἐξὸν εἰπεῖν ὡς Ἔρωτι πάντα βάσιμα, καὶ πῦρ καὶ ὄρος καὶ σκυθικὴ χιὼν καὶ πέλαγος Ἄτλαντος; Εἰ δὲ τηλικαῦτα τῷ περὶ τὰ αἰσθητὰ πτερυγιζομένῳ Ἔρωτι δέδοται, ἡλίκα τῷ κατὰ πνεῦμα καὶ οὐρανίῳ δοίημεν δύνασθαι; Οὗπερ τὰ πτερὰ καὶ τὸ πῦρ οὐχ οἷα μῦθος τῷ περὶ τὰ δεῦρο ἐπτονημένῳ περιτίθησιν, ἵν' ἐμφήνῃ τὸ διάπυρον καὶ πανταχοῦ φέρεσθαι ἄνετα καὶ τῶν ἀπειργόντων ἀνώτερον. 16. Ἀλλ' εἰ βουλομένῳ σοι ἔστι μαθεῖν ὁποῖα ταυτί, ἄκουε τῆς ἐν Ἄσμασιν ἐρώσης καὶ ἐρωμένης ψυχῆς, ὅπως τῇ κατὰ θεὸν ἀγάπῃ τὴν πτέρωσιν ὕμνησε. «Περίπτερά φησιν αὐτῇ φλόγες πυρός». Ποῦ γοῦν οὐ διαπτήσεται τῷ φλογερῷ πτερῷ, καὶ οὐκ αὐτὴ μόνη, ἀλλὰ καὶ τὰ αὐτῆς ἕπεα πτερόεντα; Οὐκ ἔστι τις ἐν τῷ παντὶ χῶρος εἰς ὃν οὐ ῥᾳδίως διαπτερύξεται, κἂν τὰ παρὰ

2. *ἀνακρουστέων ἀρχαικάκων.* — 9. *ἐρετρειέων. ἀρτεμίου.*— 10. *κρηπίδα.* — 12. *προσήρραξαν.* — 13. *ἀνεχεόμενον.* — 17. ‖ Κώδ. 124,α.— 27. *περίπτερα φησὶν.*

Digitized by Google

τῷ Δαυὶδ ἔσχατα τῆς θαλάσσης ἐρεῖς, μὴ ὅτι γε τὸ ξεναγὸν ἡμῖν τουτὶ νησύδριον τὸ τῆς κατὰ σὲ Εὐβοίας ἀντίπορθμον.

17. Τοιαῦτα, ὦ φίλη μοι κεφαλή, ἐν διακένοις ἀναπλαπλασμοῖς διανοίας φαντασιούμενος ὠνείρωττον. Ἐπεὶ δὲ τῷ τέως οὐκ ἐν ἐλπίσιν ἡμῖν σὸν γράμμα ἐπέλαμψεν, ἐκεῖνα μὲν ὡςεὶ ἐνύπνια ἐξεγειρομένου παρὰ χρῆμα φροῦδα πάντα· ἡμεῖς δὲ τῆς πολυπλανοῦς εἰκοτολογίας τῶν λογισμῶν ἀνεπαυσάμεθα. 18. Καὶ εἴης μοι, χαριέστατε ἀνδρῶν, ἄλλα ἐπ' ἄλλοις, μὴ τρὶς ἢ δεκάκις, ἀλλὰ πολλάκις ἐπιστέλλων μοι καὶ τὸν τῆς ἀκηδίας νυσταγμὸν διαλύοις, βεβαιῶν ἡμᾶς ἐν οἷς γράφεις πρὸς τὸ φέρειν εὐχαρίστως τὴν μετρίαν ταυτηνὶ παιδείαν Κυρίου, μᾶλλον δὲ δεσποτικὴν μαστίγωσιν. Δικαίων γὰρ καὶ υἱῶν ἀγαπωμένων αἱ παιδευτικαὶ τῶν θλίψεων ἐπαγωγαί· τῶν δὲ κατ' ἐμὲ πονηρῶν καὶ ὀκνηρῶν δούλων αἱ τιμωρητικαὶ μάστιγες. Προσειρήσθω μοι ὁ περὶ σὲ, κορυφαῖον καὶ χορολέκτην σοφὸν, κύκλος ὁ λόγιος καὶ μουσηγετῶν ταῖς ἐννέα ξυνῳδὰ καὶ ἀντίφθογγα.

ρϑ'. Τῷ αὐτῷ.

1. Οὔτε τοῦ ἐπιστέλλειν ἡμῖν, ἀνδρῶν λογιώτατε, οὔτε τοῦ δέχεσθαι τὰ παρ' ἡμῶν ἀντεπιστελλόμενα γένοιτο ἂν σοι ποτὲ κόρος, ὡς ἔοικε, δυεῖν αἰτίων κατ' ἐμὴν δόκησιν ἕνεκα, ἑνὸς μὲν καὶ πρώτου, ὅτι διαπύρως καὶ ἀνοθεύτως φιλεῖς, καὶ ταῦτα δὴ τὰ τῶν μανικῶν ἐραστῶν· ἐπεὶ τοῦ φιλουμένου ἀπόντος ὑπερεκκέκαυσαι, ὡς ἐξόν σοι παραπολαύεις τοῖς τῶν γραμμάτων ἐνδάλμασι, καὶ δοκῶν οὑτωςὶ συλλαλεῖν καὶ ὡς μὲν φωνεῖν, ὡς δὲ φωνῆς ἐν τῷ μέρει ἀκούειν, καὶ παραψυχήν τινα ταύτην ἔγνως σοφίζεσθαι. Ἥπου, ὦ φιλίας ἀκραι-

4. *τωτέως*. — 6. *παραχρῆμα*. — 10. *ἀκηδείας*.

ρϑ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 124,α - 124,β.

18. *ουτε*. — 25. *ἀκούων*.

Digitized by Google

φνοῦς γνῶμον, καὶ ἐν τοῖς μεθημερινοῖς φαντάσμασιν εἰδωλοποιεῖς ἀεὶ τὴν καινὴν ἡμῶν ἔντευξιν, καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ καθεύδων ὀνειροπολεῖς ταυτηνί, εἴπερ οὐ φαύλως ὁρίζονται τὰ ὀνείρατα τῶν μεθ' ἡμέραν ἀκουσμάτων καὶ φαντασμάτων ἀπηχήματα.

2. Ἓν μὲν δὴ τοῦτο αἴτιον λογίζομαι τῆς περὶ τὰ γράμματα ἁπλήστου ἐφέσεως, δεύτερον δὲ ἐκεῖνο τῶν ἐπὶ σοφίᾳ κλεινῶν ἀνδρῶν ἄλλου ἄλλο τι ἐζήλωσας. Τῶν δ' ἐξ ἀτυχημάτων εὐτυχησάντων εἰς ἄκρον βατῆρα φιλοσοφίας ἀφικέσθαι, ἐκείνους ὧν ὁ μὲν πειραταῖς περιπεσὼν καὶ καταπλεύσας Ἀθήναζε, εἶτα προσφοιτῶν τοῖς ἐκεῖσε μαθηματικοῖς οὕτω γεωμετρίαν ἠκριβώσατο, ὥστε καὶ τετραγωνίσαι τὸν κύκλον ἐπεβάλετο, ὁ δὲ ναυαγήσας «εὖ γε, εἶπεν, ὦ τύχη, ὅτι με εἰς τὸ τριδώνιον τοῦτο συνέστειλας» καὶ φιλοσοφήσας τὰ κράτιστα τῶν Στωϊκῶν ἀναπέφηνεν. 3. Οὔπερ καὶ τοῖς περὶ τοῦ μὴ εἶναι κίνησιν ἐπιχειρήμασιν ἐντυχὼν, ἔγνως δήπου ὡς οὐκ ἀκόμψως εἶπεν αὐτὸν ὁ εἰπὼν ἀμφίγλωττον καὶ οὗ τὸ σθένος οὐκ ἀλαπαδνὸν ‖ διὰ τὴν ἐφ' ἑκάτερα τῶν ἐναντίων ἐπιχειρηματικὴν τοῦ ἀνδρὸς δριμύτητα.

4. Κατὰ ζῆλον τοίνυν τούτων καὶ σὺ, δυσπραγοῦντι καιρῷ χρησάμενος, τὴν πᾶσαν σχολὴν ἐχαρίσω τοῖς τῶν παλαιῶν συγγράμμασι. Καὶ δὴ σοφαῖς βίβλοις συγγινόμενος τὸ τῆς ψυχῆς ἐπέρρωσας γόνιμον, ἡ δὲ, τὰς ὠδῖνας οὐκ ἔχουσα στέγειν, οὔτε μὴν λυθῆναι τούτων οἵα τε οὖσα καὶ τοὺς εὐγενεῖς τόκους ἐξάγειν εἰς φῶς διὰ τὴν ἰταλικὴν καὶ μισολόγον τυραννίδα, πρὸς ἡμᾶς ὑπεκτίθεται, ὅσα καὶ βραχυτάτοις σπαργάνοις ταῖς ἐπιστολικαῖς δέλτοις περιελίττουσα καὶ συμπτύσσουσα· ἢ καὶ, ὡς τὸν μέγαν Μωσῆν οἱ τεκόντες λαρνακιδίῳ ἐγκλεισάμενοι καθῆκαν εἰς ποταμὸν, οὕτω καὶ σὺ διὰ πορθμίδων στέλλεις τὰ σὰ τέκνα πελάγια. 5. Καὶ τοιαῦτα μὲν ἡμεῖς καταμαντευόμεθα ἴσως παρὰ θύραν καὶ οὐδ' ἴχταρ, τὸ

7. *ἀφέσεως*. — 8. *ἄλλό*. — 11. *προσφοιτῶντας*. *ἐκεῖσε*. — 18. ‖ Κώδ. 124,6.— 23. *ὠδίνας*. — 24. *οἷά*.

Digitized by Google

τοῦ λόγου, βάλλοντες. Σὺ δ' ἂν εἰδείης τὸ ὄντως ὄν. Πλὴν ὅπως ἂν ἔχοι τὰ τοῦ πράγματος, ἔντεινε καὶ κατευοδοῦ καὶ συνεχῶς ἐπίστελλε, οὕτω γονίμως ἔχων περὶ τὸ πρᾶγμα, κἂν ἡμεῖς ἀφιλοτίμως ἔχωμεν πρὸς τὸ τὰ ἴσα σοι ἀντιφθέγγεσθαι.

ρε'. Τῷ Εὐρέπου κῦρ Θεοδώρῳ.

1. Ἔοικε μηδὲν εἶναι τοῖς ἀνθρώποις ἡδὺ ᾧ μὴ καὶ λυποῦν τι παρέζευκται. Αὐτίκα, ἵνα μὴ ἐπάγω ἑτέρωθεν, τὸ γράμμα τὸ σὸν, ἱερώτατε ἀδελφὲ, ἥδυνέ τε ὁμοῦ καὶ λελύπηκε, τὸ μὲν ἀπαγγέλλον ὅπως, θεοῦ διδόντος τὸ δύνασθαι, μακροθύμως τὸν ἐπικείμενον πειρασμὸν διαφέρετε, τὸ δὲ ἀποδυρόμενον τὸν κίνδυνον τοῦ θαυμασίου Σταύρακος. 2. Ὥστε οὐκ ἔφθημεν περιχαρῆναι τῇ ἱλαρᾷ ἀγγελίᾳ, καὶ τῷ σκυθρωπῷ ἐπεστυγνάσαμεν διηγήματι, ἀνεμνήσθημεν δὲ ἐν καιρῷ τῆς δημοσθενικῆς γνώμης, ἀποφαινομένης ὡς ἄπιστόν τι χρῆμα ταῖς πολιτείαις ἡ τυραννίς· προσεθέμην δὲ καὶ αὐτὸς «εἰ δὲ καὶ βαρβαρικὸν, τυραννικώτατόν τι χρῆμα καὶ ἀπιστότατον». 2. Ταῦτ' ἄρα καὶ ἀντίκειται νόμοις πολιτικοῖς καὶ τοῖς περὶ νόμους ἔχουσιν, ὡς τὰ ἀφεστηκότα κατὰ διάμετρον. Οὔκουν ἀνακόλουθον τῷ καιρῷ εἴπερ καὶ ὁ νομομαθέστατος ἀνὴρ τῆς πολεμιωτάτης τῶν νόμων φορᾶς παραπήλαυσεν ἀδίκως. Πλὴν τὸ περὶ αὐτὸν συμπεπτωκὸς προσθήκην ὧν ἔχομεν ἀνιαρῶς ἐδεξάμεθα καὶ ἠὐξάμεθα θᾶττον εὐαγγελισθῆναι τὴν λύσιν τῆς συμφορᾶς. Ναὶ καὶ γένοιτο τοῦτο, ἐρρωμένης διαφυλαττομένης καὶ τῆς σῆς ἱερότητος.

---

4. ἴσα.

ρε'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 124,6.

Τίτλος. *εὐριππου.* — 5. *εοικε.*

Digitized by Google

ρϛ'. Τῷ Θηβῶν γραμματικῷ.

www.libtool.com.cn

1. Οἷα ἐπιστέλλειν καὶ γράφειν οἷός τε ὢν ἐλάνθανες, ὦ θαυμάσιε! Ἀλλὰ χάρις τοῖς νούμμοις μὲν κατ' Ἰταλοὺς, κατ' ἀττικοὺς δὲ ὀβολοῖς, οἵ σε καὶ οὐκ ἐθέλοντα τὸν τῆς γλώττης θησαυρὸν θεατρίσαι παρεβιάσαντο. 2. Φεῦ, ὅσον δύναται ὀβολὸς, τοῦτο δὴ τὸ τοῦ κωμικοῦ· εἴπερ οἱ μὲν ἐλπίδι τοῦ κερδᾶναι τοῦτον πράγματα ἔχουσι καὶ ἄλλοις παρέχουσιν, ὅτε καὶ τῆς δικαστικῆς ἐργωδίας οἱ πάλαι ἠνείχοντο διὰ τὸν νενομισμένον αὐτοῖς μισθὸν, τὸ τριώβολον· οἱ δὲ δέει τοῦ μὴ στερηθῆναι τούτου πάντα λέγουσί τε καὶ πράττουσιν. 3. Ὥσπερ ἄρα καὶ αὐτὸς, ἐπιδοὺς ἐπὶ διαμείψει κέρμα χαλκοῦν, εἶτα μὴ ἀπολαβὼν, τὴν πάλαι ἐχεμυθοῦσαν λέλυκας γλῶτταν καὶ παρέστησας ὡς οὐ μόνον τὸ χρῆμα τῶν ὀβολῶν τὸ στόμ' ἐπιβύει κέρμασι τῶν ῥητόρων, ὡς ἡ κωμῳδία φησὶ, καθ' ὃ καὶ τὸ βοῦν ἐπὶ γλώττης παροιμιακῶς εἴρηται καὶ Δημοσθένης εἰς ἀργυράγχην κεκωμῴδηται· ἀλλὰ καὶ ἄλλως ἐπιβεβυσμένον στόμα ῥητορικὸν διανοίγει εἰς χαλκεόφωνον. 4. Ὄντως γὰρ ὅλον τὸ ἐπιστόλιον χαλκόκροτον ἦν· ἅτε γὰρ ὕλην ὑποβαλλόμενον τὸ χάλκεον κόμμα, πάγχαλκον ‖ ἐξήχει καὶ παρήχει καὶ τὴν ἀκοὴν κατεβόμβει, ὥςπερ ἵππων χαλκοπόδων ἀμφὶ κτύπος οὔατα ἔβαλλεν. Οὐ γὰρ μόνον τὸ δωδωναῖον χαλκεῖον καὶ τὸν χαλκόστομον κώδωνα παρεκρότει, ἀλλὰ, τὸ παράδοξον, καὶ τὰ ἀργύρεα, εἴτ' οὖν χρύσεα χαλκουργεῖν ἐτόλμα, ὥςπερ ὁ Μίδας δι' εὐχῆς εἰς χρυσὸν τὰ πάντα μετέβαλλε. Τὸν γὰρ δελφικὸν τρίποδα, ἀργύρεον ὄντα κατ' ἐνίους ἢ χρύσεον κατὰ τὸν Ἀριστοφάνην, λέγοντα περὶ τοῦ Ἀπόλλωνος ὃς θεσπιῳδοῦ τρίποδος ἐκ χρυ-

ρϛ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 124,6 - 125,α.

1. *οἷος τε.* — 6. *κερδάναι.* — 7. *καὶ τοῖς.* — 10. *ἐπιδιαμείψει.* — 14. *καθὸ.* — 19. ‖ Κώδ. 125,α. — 20. *ἀμφι.* — 22. *εἴτ'.* — 24. *μετέβαλε.*

Digitized by Google

σηλάτου ἡ χαλκομανὴς σοφιστικὴ χάλκεον ὠνόμασε.

5. Καὶ ἵνα συνέλω, ὥςπερ Ἡσίοδος τοὺς ἐπὶ τοῦ χαλκοῦ γένους πάντα φησὶ κεκτῆσθαι χάλκεα, καὶ οἴκους καὶ ὅπλα, χαλκῷ δ' ἐργάζεσθαι, μήπω παρόντος μέλανος σιδήρου, οὕτω καὶ σοῦ τὸ γράμμα, οὐκέτι χρυσὸν ἔχοντος, τὰ πάντα χαλκολόγον ἦν. 6. Οὐ γὰρ μέρος μέν τι χαλκοῦν, μέρος δέ τι ἕτερον παρεφθέγγετο, ὥςπερ καὶ χαλκοβατές τι δῶμα ἠκούσαμεν καὶ χαλκάσπιδάς τινας ἥρωας καὶ τριήρεις χαλκεμβόλους καὶ παρὰ Λάκωσιν Ἥραν Χαλκίοικον, ἀλλὰ τὸ ὅλον καὶ πᾶν χαλκοῦν ἦν, ὥςπερ καὶ χαλκῆ Ἀθηνᾶ.

7. Καὶ τί δεῖ τὰ τοῦ γράμματος ἐκείνου παρειςκυκλεῖν, ὑπότε κἀμὲ συνήρπασε πρὸς τὸ ἀντηχῆσαι κατάχαλκα καὶ ὅμοια ἀνταμείψασθαι καὶ μὴ ἀντιδοῦναι κατὰ τὸν ὁμηρικὸν Γλαῦκον χρύσεα χαλκείων, ἑκατόμβοι' ἐννεαβοίων; Τὸ δὲ γελοιότατον ὅτι διὰ κενῆς καὶ ἄμφω ἀνεκυμβαλίσαμεν. Ὁ γὰρ Λατῖνος τοὺς νούμμους ἀντιστρέψας τῷ μοναχῷ Πέτρῳ, παρ' αὐτὰ πάλιν ἀναδοῦναί οἱ ἀπήτησεν. Ἐδεῖτο γὰρ αὐτῶν καταπεττευόμενος, ὡς ὕστερον ἔγνωστο, καὶ ἐξ ἐκείνου μέχρι καὶ ἐς δεῦρο κατέχων οὐκ ἀποδίδωσι, χρόνῳ καὶ μόλις διαπεραιούμενος καὶ μικρόν τι φαινόμενος, αὖθις Ἀθήναζε ἀφιπτάμενος. 8. Ὥςτε οὐχ ὅπως κακοζήλως τὸν τρίποδα ἐξεχάλκωσας, ἀλλὰ καὶ τὸ περὶ τῆς ἀπολήψεως τῶν ὀβολῶν ἀποφοίβασμα ὡς ψευδὲς ὑπόχαλκον ἄλλως ἐθεσπιῴδησας. Ἀλλὰ πολλά σοι γένοιτο τἀγαθὰ, χαριέστατε ἀνδρῶν, δι' ὧν ἐπέστειλας ὑποκινήσαντι πρὸς τὸ ἐπιμειδιάσαι καὶ διαχυθῆναι μετρίως τοῖς γράμμασιν.

---

1. ἡ. *σοφιστικῆς.* — 14. *ἐνεαβοίων.* — 15. *διακενῆς.* — 17. *γὰρ αὐτὸν.*

Digitized by Google

ρξ΄. Τῷ ἀρχιατρῷ κῦρ Γεωργίῳ τῷ Καλλίστῳ.

www.libtool.com.cn

1. Οὐκ ἄρα σωμάτων μόνον ἰατὴρ σὺ δεξιὸς, ὦ θαυμασιώτατε καὶ φερωνύμως ἀνδρῶν κάλλιστε, τοῦτο δὴ τὸ κοινὸν τῆς κατὰ σὲ φιλανθρώπου τέχνης ἐπάγγελμα, ἀλλά γε πολλῷ πλέον καὶ ψυχὰς πονήρως ἐχούσας οἶδας ἰᾶσθαι καὶ τῶν ἐνοχλούντων ἀπαλλάττειν παθῶν· ὥστε ὅσῳ κρείττους τῶν παρὰ τὸν Μαχάονα μόνους ἰοὺς ἐκτεμνόντων καὶ ἐπιπαττόντων ἤπια φάρμακα οἱ χρόνῳ ὕστερον τὰ τῆς τέχνης σὺν ἐπιστήμῃ ἀκριβωσάμενοι, τοσούτῳ σὺ τῶν σῶν ἀντιτέχνων τελεώτερος. 2. Καθότι σὺ μὲν τὸν ἐξ ἀμφοῖν συγκείμενον θεραπεύεις ἄνθρωπον ὅλον, ἐκεῖνοι δὲ περὶ τὸν ἥμισυν καὶ πήλινον χρῶνται τῇ τέχνῃ, οὗπερ οὔτε ἡ ὑγίεια καθ' αὐτὸ ἀγαθὸν, ὅτι μηδ' ἀγαθύνει δήπου τὸν ἔχοντα, οὔθ' ἡ νόσος ἁπλῶς κακόν· οὐ γὰρ κακύνειν οἶδεν, ὅτι μὴ καὶ κολούειν ἐνίοτε κακίαν καὶ φιλοσοφίας ὕλην ἐνδίδωσι. Ψυχῆς δὲ ῥῶσις ὄντως ἀγαθὸν καὶ κακὸν ὁμοίως ἀσθένεια, ἣν μετὰ τοῦ ὑπουργικοῦ σώματος θεραπεύειν ἐκμεμελέτηκας. 3. Καὶ μάρτυρες ἡμεῖς, οἳ, τὰς ψυχὰς κεκακωμένοι καὶ ἀλγεινῶς ἔχοντες, ἐπεὶ γράμμα σὸν δεδέγμεθα καὶ ὑπανέγνωμεν, παρὰ χρῆμα ὡς ἀλεξιτήριόν τι ἀντίδοτον πεπωκότες, ῥᾳόνως ‖ καὶ εὐφόρως ἔχομεν. Ἐκ παντοδαπῶν γὰρ δυνάμεων θαυμασίως ἐκέκρατο· ἀμέλει τοι οὐδὲν ἦν τῶν ταῖς ἡμετέραις ψυχαῖς ἐνιζανόντων παθῶν ὅπερ οὐκ ἀνεμόχλευε. 4. Καὶ γὰρ ἐξεκένου μὲν τὴν ἐπὶ τοῖς πειρασμοῖς ἐνδομυχοῦσαν ἀθυμίαν, τὸ δὲ ἄλγος ἐκοίμιζεν, ὅπερ] ἔχομεν ἐκ τοῦ δήγματος τῶν ἐπιπτάντων ἡμῖν κατὰ θεομηνίαν ὄφεων· οὐκ ἀγνοεῖς ὁ σοφὸς τοὺς ὄφεις τοὺς πτερωτούς. Τὸν δ' αὖ κάρον τῆς ἀκηδίας, ὃν καὶ νυσταγμὸν

ρξ΄. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 125,α - 125,β.

6. *μαχάωνα. ἐπιταττόντων.* — 7. *ἤπια.* — 11. *ὑγεία.* — 15. *κακῶς.*— 18. *παραχρῆμα.* — 19. *τινα.* ‖ Κώδ. 125,β. — 22. *ἐξ ἐκείνου.*— 24. *ἐπὶ πάντων.*

Digitized by Google

ὁ θεῖος Δαυὶδ ὀνομάζει, διέλυε, καὶ μαρασμώδει μὲν παρειμένους ἀπογνώσει ἀνεζωπύρει καὶ ἀνερρώννυε, τὸν δὲ καινὸν ἐξιᾶτο ἦπιλαον ὃν νοσοῦμεν οἱ τλήμονες, ἅμα μὲν θαλπόμενοι ζήλῳ τῷ ἐπὶ τοῖς ἀνόμοις καὶ λύπῃ σφοδρᾷ ἐφ' οἷς κακῶς πεπόνθαμεν, ἅμα δὲ καὶ κρυερῷ περιψυχόμενοι φρίσσοντες φόβῳ ἐφ' οἷς προσδοκῶμεν καὶ εἰσέτι τυχὸν πείσεσθαι. 5. Πόσας εἶχον καὶ ἄλλας ψυχικὰς κῆρας ἀπαριθμεῖσθαί σοι, ὑφ' ὧν κεκμηκότες ἤδη ῥᾴους γεγόναμεν αἴφνης καὶ ἅμα τῷ τῆς σῆς ἐπιστολῆς ἀκροάσασθαι ὥσπερ τινὸς ἀκεσωδύνου καὶ παιωνείας ἐπῳδῆς.

6. Οὕτως ὑπὲρ πᾶσαν ἀκεστικὴν μέθοδον τὸ σὸν γράμμα πάσης δυσχερείας τῇ ψυχῇ ἐνοχλούσης ἀπήλλαττε· πεποίκιλτο γὰρ ἄλλοις τε καλοῖς πολυμαθείας ὡραΐσμασι, καὶ μὲν δὴ τοῖς ἀπὸ τῶν γραφικῶν λειμώνων ἄνθεσιν ἐστεφάνωτο. 7. Καὶ οὐ μετρίως μὲν ἐψυχαγώγει καὶ διὰ ταῦτα καὶ οἷον κατεγοήτευε, μάλιστα δὲ ἔθελγεν οἷς κατὰ ζῆλον τοῦ γαληνείου χαρακτῆρος πρὸς τὸ λογοειδέστερον καὶ λαλίστερον ἐστωμύλλετο. Καθ' ἓν μέντοι καὶ μόνον τὴν αἴσθησιν ἡμῖν δριμύσσον ὑπέκνιζεν, ὅτι με τοῖς μακαρίοις ἀνδράσι προσεικάζειν, ἐφ' ᾧ οὐχ οἷός τέ εἰμι δηλῶσαι ὅσα δέδηγμαι τὴν ἐμαυτοῦ καρδίαν. Οὐδὲν γὰρ τοῦτο ἀλλ' ἢ ἀτεχνῶς ἀνάμνησις ἦν τῆς ἡμῶν ἀθλιότητος.

8. Ὡς γὰρ εἴ τις τὸν ἐπίνοσον εὐεκτικὸν ἐρεῖ ἢ ποδάρκην τὸν χωλὸν ἢ Λυγκέα τὸν τυφλὸν ἢ Κροῖσον τὸν ἐνδεῆ, μόνον οὐκ ὀνειδίζει τὰ ἀτυχήματα καὶ τὴν ἐπ' αὐτοῖς λύπην ἀναξαίνει δι' ἀναμνήσεως· οὕτω καὶ αὐτὸς ἀναμνησθεὶς οἷς τὰ ἡμέτερα παραβάλλειν οὐκ ὤκνησας, ἠσθόμην τῆς ἐμαυτοῦ ταλαιπωρίας [ταῖς] πρὸς τοὺς ἀγχισπόρους θεοῦ ἄνδρας παραθέσεσι, καὶ ἤγημαι ἐμαυτὸν γῆν καὶ σποδόν. 9. Καὶ σοὶ μὲν

2. *ἀνερώννυε*.— 6. *πεῖθεσθαι*.— 7. *ἀπαριθμεῖσθαι*.— 9. *σῆς ἐν τῇ ὥᾳ, γεγραμμένον καθαρώτερον τοῦ ἐν τῷ ἐδάφει συνεπτυγμένως ἐπιγεγραμμένου*. — 14. *γραφικῶν ἐκ τοῦ τὸ πρῶτον γραφέντος γραφῶν*.— 17. *λαλιέστερον*.—18. *μέν τι*.— 19. *οἷος*. — 22. *ἐπὶ τόσον*. — 24. *εὐτυχήματα*. — 25. *διαμνήσεως*. — 27. *ταῖς* λείπει.

www.lifatool.com.cn

Digitized by Google

καὶ συγγνοίη τις ἄν, εἰ οὕτως φιλῶν οὐκ ὀξυδορκεῖς περὶ τὸ φιλούμενον· ἐγὼ δὲ πόθεν ἂν παραμύθιον εὕροιμι, οὐδὲν μὲν ἔνδον φέρων ὑγιές, ἀλλὰ πάντα πόνηρα καὶ σαπρά, εἶτα τοῖς ὁρῶσι πρὸς τὸ τοῦ ἠρίου κονίαμα ἄριστα ἔχειν δοκῶν;

10. Οὐκοῦν εἴπερ καὶ αὖθις βουλομένῳ σοι ἐστὶν ἀκεσώδυνα καὶ παυσίλυπα στέλλειν ἡμῖν γράμματα, φείδου τῶν ἡμετέρων ἐπαίνων. Ἔχε δὲ ἐν παρασκευῇ καὶ τῶν γαληνείων συγγραμμάτων τὰ ἡμῖν ἁρμοδιώτερα καὶ λυσιτελέστερα, ὥστε διαπέμψαι ταῦτα πρὸς ἡμᾶς, εἴπερ καὶ τὸ προσιὸν θέρος παραχωρηθῶμεν ἐνταῦθα διάγειν· δέος γὰρ ἐπικρέμαται, μὴ τὸ ἀμφωλεῦσαν τῇ Κρήτῃ κακὸν, ὡς ἐξ ὑπερδεξίου ὁρμητηρίου ἐξερπύσαν ἐκεῖθεν, ἐπιλάβηται τοῦ Αἰγαίου καὶ τὰς ἐν αὐτῷ νήσους δουλώσηται. Ἐρρωμένη διαφυλάττοιτο ψυχῇ τε καὶ σώματι ἡ ἐν Χριστῷ ἀγάπη σου. Ἄξιος γὰρ εἶ ὢν ἄλλοις ἀγαθῶν μεταδίδως ἀφθόνως, τούτων ἀπολαύειν πρῶτος αὐτός.

ρη΄. Τῷ Τορνίκῃ κῦρ Εὐθυμίῳ.

1. Οὐκ ἀναμενῶ καὶ αὖθις τὸ σὸν πρόσφθεγμα, σοφὴ καὶ φίλη μοι κεφαλὴ, ἵν' οὕτως ἀντιπροσφθέγξωμαι δεύτερος, ἀλλ' ὑπάρξω καὶ αὐτὸς περιόδου τινὸς ἀποδήμων προσρήσεων, δυοῖν ἕνεκα, ἑνὸς μὲν καὶ πρώτου τοῦ μὴ δοκεῖν ἑτεροκινήτως ἔχειν ἀεὶ καὶ ἡ κατὰ τὰς ἠχοῦς ὑστεροφωνεῖν ἢ ὑπηχεῖν ὡς τὰ ‖ ἐντατὰ τῶν ὀργάνων καὶ ἐμπνευστὰ, ἃ οὐκ ἄλλως λαλεῖ ἢ παρὰ τῶν τεχνιτῶν κρουόμενά τε καὶ ἐμπνεόμενα, ἀλλά γε καὶ ἐν τῷ μέρει κἀμὲ ἐνδιδόναι προσφωνήσεων σύνθημα. Δεύτερον δὲ τοῦ ὑπομνῆσαι τὴν σὴν λογιότητα, ὡς οὐκ ἀποχρώντως ἔχομεν τῶν προσηγόρων γραμμάτων, ὥστε καὶ σιωπᾶν

4. *δοκῶ*.— 11. *ἐξυπερδεξίου*.

ρη΄. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 125,6 - 126,α.

21. *ἠχοὺς*. ‖ Κώδ. 126,α.

Digitized by Google

τοῦ λοιποῦ. 2. Σὺ μὲν γὰρ δὶς ἤδη καὶ τρὶς ἐπιστείλας τὸ πᾶν ἐξειργάσθαι σοι καὶ τέλος ἔχειν ἴσως νομίζεις, καθότι καὶ τοῖς παλαιοῖς ἐδόκει τὰ τρία πάντα εἶναι καὶ τὸ τρὶς πάντη καὶ τοῖς τρισὶν ὡρίσθαι τόποις καὶ τὰ πάντα, ἀρχὴ δὲ καὶ μέσον καὶ τελευτὴ τὸν τοῦ παντὸς ἀριθμὸν ἔχειν, οἳ καὶ πρὸς τὰς ἁγιστείας τῷ ἀριθμῷ τούτῳ ἐχρῶντο καὶ πάντας τοὺς τρεῖς προσαγορεύουσι καὶ τὰ τρία πάντα, τοὺς δύο δὲ οὐ πάντας, ἀλλ' ἀμφοτέρους καὶ τὰ δύο ἀμφότερα, φύσεως νόμοις καὶ μαθηματικοῖς ὅροις ἑπόμενοι, καθ' οὓς τὸ μὲν ἐφ' ἓν διεστηκὸς μέγεθος γραμμή ἐστι, τὸ δ' ἐπὶ δύο ἐπίπεδον, τὸ δ' ἐπὶ τρία σῶμα· καὶ παρὰ ταῦτα οὐδέν ἐστιν ἕτερον μέγεθος, ὥστε τὰ πάντα καὶ τὸ πᾶν καὶ τὸ τέλειον εἶναι τὰ τρία.

3. Σὺ μὲν οὖν, ὅπερ ἔφην, ταῦτ' εἰδὼς, τριάδα ἐπιστολῶν πεπομφὼς τὸ πᾶν καὶ τὸ τέλειον τοῦ φιλικοῦ καθήκοντος ἀποῖσαι ἴσως δοκεῖς καὶ παρὰ τοῦτο τὴν γραφίδα ἐπέσχες τοῦ λοιποῦ καὶ σεσίγηκας. 4. Ἐγὼ δὲ καὶ αὐτὸς φύσεως μὲν ἀδιαστρόφου καὶ μαθήσεως ἀληθοῦς θεσμοῖς οἶδα πείθεσθαι, οὐ μὴν διὰ ταῦτα τὸ τρὶς μόνον προσειπεῖν διὰ γραμμάτων πάντη καὶ τελείως προσειπεῖν εἴποιμι, οὐδὲ τρισσὴν πρόσρησιν πᾶσαν καὶ τελείαν καὶ οὐκ ἐνδέουσαν. Εἰ γὰρ τοῖς ἀποδήμοις τὸ τρὶς προσερεῖν ἀπόχρη, ἀπόχρη πολὺ πρότερον ὁρῶσί τε καὶ ὁρωμένοις τὸ τοσόνδε πρόσφθεγμα, ὅπερ οὔτε τῷ πολιτικῷ ἀνθρώπῳ καὶ ἡμέρῳ φύσει ζῴῳ νενόμισται, οὔτε μὴν τῇ ἀποστολικῇ νομοθεσίᾳ δοκεῖ, ἢ μηδὲν ὄφλειν ἀλλήλοις διορίζεται εἰ μὴ τὸ ἀγαπᾶν μόνον. Τούτου δέ ἐστι δήπου καὶ τὸ ἀσπάζεσθαι, ὥσπερ τοὐναντίον τὸ μηδὲ προσεννέπειν. 5. Αἰώνιον ἄρα καὶ ἀδιάλυτον χρέος οὐ μόνον τὸ ἀγαπᾶν, ἀλλὰ καὶ τὸ προσφθέγγεσθαι φιλικῶς· μὴ γοῦν τοῦ ἀπεράντου τούτου χρέους κατόκνει τὴν ἀεὶ ὀφειλομένην ἀπότισιν, ἀλλὰ βραχείαις συλλαβαῖς ἀφοσιοῦσθαι προθυμοῦ, ἡνίκα ἂν αἴσθοιο πλοιαρίου χαλκιδικοῦ, εὐθὺ τῆς καθ' ἡμᾶς ξεναγοῦ ταύτης νή-

1. *ἀποστείλας*.— 5. *ἔχει*. — 19. *πρόσρησιν*. — 21. *ὁρῶσί τε*.— 23. *ἀνθρώπων*.

Digitized by Google

σου πλέοντος. Οὐ μικρῶς γὰρ ἐντεῦθεν ψυχαγωγούμεθα. Ὁ θεὸς τῆς ἀγάπης καὶ ἡ αὐτοαγάπη διατηροίη σε πειρασμοῦ παντὸς ὑψηλότερον. Προσειρήσθωσαν ὁ περὶ σὲ λόγιος χορός.

www.libtool.com.cy

ρθ'. Τῷ Καρύστου κῦρ Δημητρίῳ.

1. Εἰ καὶ μὴ συχνότερον ἐπιστέλλεις ἡμῖν δι' ἃ δεδήλωκας τοῦ σοῦ λάχους ἀνιαρά, ἔπερ οὐδὲ ἡμῖν ἠγνόηται, ἀλλ' οὖν καὶ ἄνευ τῆς διὰ γραμμάτων ὑπομνήσεως πάλαι σαφῶς ἐπεδείξω οἵαν περὶ ἡμᾶς ἐν σεαυτῷ θάλπεις ἀεὶ τὴν κατὰ Χριστὸν διάθεσιν καὶ ὅπως τῇ βίβλῳ τῆς σῆς μνημοσύνης τὴν ἡμετέραν μνείαν εἰς ἀνεπίληστον ἐνεκόλαψας. Ἀμέλει τοι οὐδὲ ὑπερεύχεσθαι ἡμῶν καὶ εἴ τι χρηστὸν ἐξαιτεῖσθαι πέπαυσαι, ὃ δὴ καὶ εἰς ἔπειτα ποιεῖν ἀξιοῦμεν. Γράμματα δὲ δεχόμενοί ποτε παραμυθησόμεθα, οὐ δεχόμενοι δὲ συγγνωσόμεθα διὰ [τὸ] τῶν κυκλούντων πειρασμῶν ἄσχολον. 2. Τὸν σταλέντα κηρὸν τὰς ὀκτὼ καὶ δέκα μνᾶς ἐπὶ ἀναγνώσει, ὡς ἔγραψας, ἀπελάβομεν καὶ ἐξελάβομεν αὐτόν τε καὶ τὸν σταθμὸν αὐτοῦ καὶ τὴν χρείαν εἰς σύμβολον ἀδελφικῆς πρὸς ἐγρήγορσιν παρακλήσεως. Ἀτεχνῶς γὰρ ἐδόξαμεν ἀκούειν δι' αὐτοῦ ὑπηχοῦντός σοὺ «ἔκκαυσον ἐν τῇ μελέτῃ σου πῦρ, ἀδελφὲ, καὶ νῆφε ἐν πᾶσι, φυλασσόμενος μὴ νυστάξῃ σου ἀπὸ ἀκηδίας ἡ ψυχὴ καὶ ὑπνώσῃς εἰς θάνατον, καὶ ὁ νυμφίος ἐξαπίνης ἐπιστῇ καὶ ἡ λαμπὰς ὡς ἄτροφος ἄρξηται σβέννυσθαι. Τὰς δέκα παρθένους καὶ τὴν ὀγδόην ἡμέραν ἐκείνην ‖ τὴν μίαν καὶ νυκτὶ ἀδιάκοπον ἔχε ἀεὶ κατὰ νοῦν· καὶ τὸ μὲν ἐλεεινὸν πάθος τῶν μωρῶν περιίστασο, ζήλου δὲ τὴν τῶν φρονίμων προμήθειαν».

3. Ταῦτα διὰ τοῦ κηροῦ καὶ τῆς ποσότητος τῶν δέκα καὶ

ρθ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 126,α - 126,β.

4. *Εἰ.*— 11. *εἰσέπειτα.*— 12. *τὸ* λείπει.— 15. *αὐτὸν τὲ.*— 17. *ὑπηχοῦντ* .— 22. ‖ Κώδ. 126,β.

Digitized by Google

ὀκτὼ μνῶν ἐδόκεις μοι συμβολικῶς οἷον ὑποτίθεσθαι, ταύτῃ τοι καὶ διπλᾶς ὀφείλομέν σοι χάριτας, ὦ ἱερὰ κεφαλή, τοῦ τε συμβόλου αὐτοῦ καὶ τῆς δι' αὐτοῦ ὑποθήκης ἀγαθῶν, ὅ ἐστι χορηγίας διπλοῦ φωτισμοῦ, τοῦ πρὸς αἴσθησίν τε ἅμα καὶ νόησιν, ὥςπερ καὶ τῷ κυρῷ Γεωργίῳ, τοῦ τε μεταγράψαι τὸν Νίκανδρον καὶ τοῦ ἐκ τοιούτου ἀντιγράφου, ὅπερ ἔοικεν εἶναι βιβλίον ἐσφραγισμένον πρὸς ἀνάγνωσιν, οἶμαι, πᾶσι πλὴν αὐτοῦ· οὕτω ἀρχαιοτάτοις καὶ οἷον ἑτερογλώσσοις καὶ τούτοις ἐξαληλιμμένοις στοιχείοις εἰς ἀμυδρὸν ὑποκεχάρακτο, ὥςτε θᾶττον ἄν τις ὁδὸν ὄφεως ἐπὶ πέτραν γνοίη, τὸ καὶ Σολομῶντι ἄγνωστον, ἢ τὰ ἐν αὐτῷ περὶ ὄφεων ἐποποιὰ διηγήματα.

4. Αὐτὸς δ' ὅμως, τὴν παρ' ἡμῶν ἐπιταγὴν ὡς ἄλλην ἐντολὴν Κυρίου δεξάμενος, φωτίζουσαν ὀφθαλμούς, διώπτευσεν ἀκριβῶς τὰ οὐκ ἐπίοπτα καὶ τὰ οὐχ ἁλωτὰ τυχοῦσιν ὀφθαλμοῖς νικάνδρεια θηριακὰ ἀνελέξατο καὶ μετεγράψατο θηρώμενος ὡς οὐδ' ἔλαφος αὐτὴ τὰ ἑρπυστικὰ ἢ ὁ τῶν ὀρνίθων ὀξυδερκέστατος. Σώζοισθε ἐρρωμένοι ψυχῇ τε καὶ σώματι.

ρι'. Τῷ υἱῷ αὐτοῦ κῦρ Γεωργίῳ.

1. Ἐξ οὗπερ ἐνθένδε μεθωρμίσω ἐς τὴν τῶν Καρυστίων κωμόπολιν, οὐδέπω καὶ νῦν δεδήλωκας τὰ κατὰ σαυτὸν ὅπως ἔχεις καὶ πότερον ὅλος τοῦ ὑποδρηστεύειν ἐπισκόπῳ πατρὶ γεγονὼς τῶν ἐντεῦθεν μεριμνῶν καὶ τυρβασμῶν ἀναπίμπλασαι συνεχῶς ἀεί, ἢ καὶ λόγοις δίδως ἔσθ' ὅτε σχολήν τινα καὶ ῥητορικῶν γοῦν μεθόδων ἐμμελετᾷς παντοίαις γυμνάσμασι. Πρὸς φιλοσόφους γὰρ ἐπιστήμας ὅπως διάκεισαι ἤδη φθάσας δεδήλωκας οἷς ἔδρασας. 2. Τῆς γὰρ λογικῆς πραγματείας

6. *τούτου*. — 8. *ἑτερογλώσσοις* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *ἑτερογλώσσης*. — 9. *ἐξαληλειμμένοις*. *στοιχεῖον*. — 16. *ἑρπηστικά*.

ρι'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 126,δ - 127,α.

Digitized by Google

ἀμηγέπῃ ἀκροασάμενος, εἶτ' ἐντεῦθεν ἀναχωρῶν κατενωτίσω δεῦρο ῥίψας τὴν Ὀργανικὴν δέλτον, εἶτ' οὖν Ἀναλυτικήν, ὥςπερ εἰ στρυφνὸν πόμα ἐμημεκὼς, εἶτα καὶ αὐτὴν καταβεβλήκεις τὴν κύλικα, κακῶς ἀναλύων τὰ καταποθέντα καὶ ῥᾷον, ὅπερ ἡ ὁμηρικὴ Πηνελόπη τὸν μέγαν ἱστὸν καὶ περίμετρον.

3. Τοιαύτην λαβὴν δεδωκὼς, μᾶλλον δὲ ἔλεγχον μισοσοφίας πολὺ ἐναργέστερον ἢ τυραννίδος ἐπιθέσεως τὰς χιλίας πανοπλίας ὁ ἐν πλάσματι Περικλῆς, πῶς ἂν φεύξαιο, γενναῖε, ἢ τίνα εὑρήσεις ἀπόλογον εἴ τις τῶν φιλολόγων γράψαιτό σε λειποταξίου, ἀποβαλόντα τὴν φιλόσοφον πυκτίδα ὡς Δημοσθένης τὴν ἀσπίδα ἥτις ἐπεγέγραπτο χρυσέοις γράμμασιν ἀγαθὴ τύχη πόλεως; πάντως οὐδένα, ὥςπερ οὐδ' ἐκεῖνος ὁ δεινὸς περὶ λόγους ὡς οὐδεὶς τῶν ἁπάντων· ἢ τολμήσεις ἐρεῖν ὡς εἶχες ἑτέραν τοιάνδε δέλτον ἀπόθετον ἐν τῇ τῆς Καρύστου ἀκτῇ ἢ προβαλῇ μηκέτι δεῖσθαι πυξίου ὡς ἅπαξ ἀναγνοὺς καὶ μνήμονι φρενὸς δέλτῳ ἐναπογραψάμενος; 4. Εἰ γὰρ οὕτως εὐάλωτα ἦν τὰ τοῦ Σταγειρίτου συγγράμματα ὡς ἐκ πρώτης ἐντεύξεως ἀναλέγεσθαί τε τὸν ἐπιόντα καὶ εἰς μνήμην ἀνεπίληστον ἀποτίθεσθαι, οὐδὲν ἂν ἦν εὐχερέστερον τοῦ συγκαταλέγεσθαι κύκλῳ περιπατητικῷ. 5. Νῦν δὲ ὅσης σχολῆς καὶ φιλοπονίας δεῖται τὰ ὑπὸ παραπετάσματι ἀσαφείας παρ' ἐκείνου κεχρυμμένα πρὸς τὸ θεαθῆναι καὶ φιληθῆναι ἴσασιν οἱ μεμυημένοι. Ἔγνως δὲ ἴσως ἐκ μέρους καὶ αὐτὸς, καὶ παρὰ τοῦτο, οἶμαι, ἀποκναίσας πρὶν καὶ διασχεῖν καὶ εἴσω παρακύψαι, παλίνορσος ἔστραψαι, τοῦτο δὴ ὅπερ ἐκεῖνος πραγματευόμενος ὁ δεινὸς ἀνὴρ τὴν ἀσάφειαν ἐπίτηδες προίσχετο ἔλεγχον ἀκριβῆ τῶν τε γνησίων καὶ τῶν νόθων ‖ τῆς ἐκείνου σοφίας ἐραστῶν. Θερμῷ γὰρ ἔρωτι ληπτὰ καὶ τὰ ἄλλως δυςέφικτα, ψυχρῷ δὲ οὐδὲ τὰ ἐφικτὰ διωκτά.

6. Ἀλλ' ἐγὼ ἐν εὐχῆς μέρει ποιοῦμαι μὴ παντελῶς ἔξω πεσεῖν σε τοῦ τῶν φιλολόγων καταλόγου, ἀλλ' εἰ καὶ τὴν

3. *ἐμεμηκὼς*. — 16. *ἐναπογραψάμενος*. — 18. *ἀναλέγεσθαι*. — 27. ‖ Κώδ. 127,*a*.

Digitized by Google

ἀσπίδα φιλοσοφίας ἀπεβάλου· θριγγὸς γὰρ φιλοσοφίας καὶ παρὰ τοῖς παλαιοῖς ἡ λογικὴ πραγματεία ὠνόμαστο· ἀλλὰ ῥητορικὴν γοῦν ὡς ἄλλο ξίφος κατέχειν, οἵαν τε οὖσαν ἄνδρ' ἀπαμύνασθαι ὅτε τις πρότερον χαλεπήνῃ· οὕτω γὰρ καὶ ὡρίσαντο ἔνιοι· ἵνα μὴ παντὸς ψιλωθείης λογικοῦ προβλήματος.

7. Τέλειος μὲν γὰρ λόγιος ὁ τὴν γνώμην μὲν καταπυκνώσας ἐπιστημονικοῖς θεωρήμασι, τὴν δὲ γλῶτταν εὖ ἀσκήσας ἐξαγγελίᾳ λιγύφωνον. Εἰ δέ τις ἀποπίπτειν τοῦ τελείου κινδυνεύει, μὴ τὴν γλῶτταν γοῦν ἔστω τὸ παρ' ἅπαν ἀπαίδευτος, ἀγαπάτω δὲ καὶ εἴδωλον μορίου πολιτικοῦ κατέχων, καὶ μάλιστα νῦν ὅτε τῶν καθ' ἡμᾶς ἄρχει πόλεων ἡ πάλαι θρυλουμένη ἀποβαρβάρωσις, καὶ οὐδ' ἐν εἰδώλοις ἀμυδροῖς τὰ τῶν Χριστιανῶν ἀληθῆ πολιτεύματα φαντάζονται, οἴχονται δὲ ὡς ἐξεγειρομένου ἐνύπνιον.

8. Φεῦ τῆς κοινῆς διαφθορᾶς, φεῦ τῆς δευτέρας τοῦ παντὸς κατακλύσεως. Πῶς ἐγένοντο εἰς ἐρήμωσιν ἐξάπινα πόλεις φιλόχριστοι, πόλεις ἐν αἷς χάριτες σοφίας παντοδαπῆς ἐχωροβάτουν καὶ Μοῦσαι καὶ Θέμιδες, πῶς εἰς οἰκητήρια λεόντων μετεσκευάσθησαν, μᾶλλον δὲ ἐχίνων καὶ ὀνοκενταύρων, κατὰ τοὺς προφήτας εἰπεῖν οἰκειότερον. Εἰ γὰρ καὶ ἱπποκένταυρος ἦν ὁ πρῶτος οἰκιστὴς τοῦ σοῦ λάχους· σὸν γὰρ ἤδη τὸ πατρικόν· εἴπερ ὁ Κάρυστος παῖς τοῦ Χείρωνος, ἀλλ' ὅσον εὐγενέστερος ἵππος ὄνου τοσοῦτον κἀκεῖνος τῶν κρατούντων νῦν, καθότι καὶ γλώττῃ ἐκοσμεῖτο Ἕλληνι καὶ οὐχ ὡς οὗτοι ἀξύνετα ἡμῖν βατταρίζουσιν οἷα κανθήλιοι ἐννεάκυκλοι ὀγκώμενοι καὶ βρωμώμενοι. 9. Ἀλλ' οὐ χρὴ παρὰ τοῦτο ὥςπερ ἀπ' ὄνου πεσόντας μόνον θρηνεῖν καὶ τοῦ λόγου καταμελεῖν παρασυμβαλλομένους τοῖς κτήνεσι, μήτε μὴν σοφίας ἐπιλαθέσθαι, κἂν οἱ δοκοῦντες ἄρχειν ἡμῶν οὕτως αἰσθάνωνται λόγων ἁρμονίας ὥςπερ καὶ λύρας ὄνοι, τὸ παροιμιαζόμενον· ἀλλὰ μᾶλλον ἀρετῇ καὶ λόγῳ ἐπικοσμεῖσθαι τοῖς οἰκείοις τοῦ κατ' εἰκόνα χαρακτῆρσιν. Οὕτω γὰρ ἂν παρ'

9. *παράπαν*. — 11. *θρυλλουμένη*.

Digitized by Google

ἀληθείᾳ δικαζούσῃ ὄντως ἡμεῖς μᾶλλον ἄρχειν τῶν κατεξουσιαζόντων ὡς καὶ τῶν θηρίων κριθείημεν. 10. Εἰ γὰρ καὶ φρούρια κατειληφότες καὶ ἐρυμνὰ οἴονται ἄρχειν οἷς ἀδικοῦσιν ἁρπάζοντες χρήματα, βρώματα, ἀλλ' οὐ κυρίως ἄρχοντες παρὰ τοῦτο ὡς οὔτε φυσικῶς οὔτε χειροτονητῶς προεδρεύοντες, ὅτι μηδὲ λέοντες ἢ παρδάλεις ἢ λύκοι ταῦτα δρῶντες ὀνύχων καὶ ὀδόντων ἀκμῇ ἄρχειν ἀνθρώπων δικαίως ἂν νομίζοιντο. 11. Ὅσον οὖν αὐτοὶ ἐς τὴν παρὰ φύσιν θηριωδίαν φυσιοῦνται, τοσοῦτον ἡμεῖς ἐς τὴν κατ' εἰκόνα φυσικὴν ἀρχὴν ἐξευγενιζώμεθα. Καὶ οὐκ ἂν ἡμῶν ὄντως ἄρξωσι, κἂν τὰ ἡμῶν πανθ' ὁμοῦ χρήματα ἐξιδιωσάμενοι γυμνοτέρους ὑπέρου καταλίπωσιν ἢ καὶ τῆς δορᾶς αὐτῆς τῶν σαρκῶν ἡμῶν ἅψωνται. Ἐπεὶ καὶ ὁ πρῶτος ἄνθρωπος γυμνὸς ὢν ἦρχε κυρίως, τὰ ἀληθῆ τοῦ κατ' εἰκόνα παράσημα περικείμενος, ὕστερον δὲ, καίτοι τὰ τῶν ὑπὸ χεῖρα ζῴων δέρματα ὡς χιτῶνας ἐπαμπισχόμενος, ὅμως τῆς ἀρχῆς διὰ τὴν ἁμαρτίαν παραλέλυτο. Ἔρρωσο καὶ φιλολόγει ὡς οἷόν τε. Ἀσπάζομαι τὸν ἀγαπητὸν ἐν Κυρίῳ ἀδελφόν μου, τὸν ἱερώτατον Καρύστου.

ρεα'. Τῷ αὐτῷ.

1. Ἔοικας ἀγνοεῖν, ὦ καλὲ Γεώργιε, ὡς ἡ καθ' ἡμᾶς πιθάκνη τοῦ ἀλεύρου παντελῶς ἐξέλιπε, καθότι μὴ τὴν αὐτὴν τῇ τῆς σιδωνίας χήρας ὑδρίᾳ εὐλογίαν προφητικὴν πεπλούτηκε. Καὶ ‖ μάλα εἰκότως. Ἐκείνη γὰρ, ὡς μεγάλῃ ξεναγῷ τηλικούτου προφήτου, δικαίως τὸ κεραμεοῦν ἄγγος ἐπήγαζεν ἀληλεσμένα, οὐχ ὅπως ἄσπαρτα καὶ ἀνήροτα, τῶν μύλων

7. *νομίζοιτο.*— 17. *οἷον.*

ρεα'. Ἡ ἐπιστολὴ αὕτη εὑρηται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 126,6 - 130,6. Αἱ δὲ παράγραφοι 37 - 39 ἐδημοσιεύθησαν παρ' ἐμοῦ τὸ πρῶτον ἐν Ἀθηναίου τόμ. Ϛ', σ. 362.

23. ‖ Κώδ. 127,6.— 25. *ἀλελεσμένα.*

Digitized by Google

τῆς ἀνωτάτω προνοίας ὀξύτατα ἀληθόντων καὶ λεπτότερα, ὡς πρὶν ἐξηντλῆσθαί τι ἐκεῖθεν φθάνειν ἐπεισρέειν ἕτερα. Ἡμῖν δὲ ἡ μὲν πιθάκνη Δαναΐδων πίθος ἐστὶν ἀτεχνῶς, μύλοι δὲ θεῖοι σχολαῖα καὶ ἄλλως λεπτά, ὅ ἐστι γλίσχρα ἀλήθουσιν, ἅτε ἀξίοις μὴ μόνον ἐσθίειν ἄρτον ὀδύνης καὶ τοῦτον ἐν πτωχείᾳ, ἀλλὰ καὶ βυθῷ ἐπιρριφθῆναι θαλάσσης, ὀνικοῦ μύλου κρεμασθέντος ἐπὶ τὸν ἄκαμπτον ἡμῶν τράχηλον.

2. Ταῦτα δοκεῖς μοι ἀγνοεῖν καὶ παρὰ τοῦτο τὰ μὲν ὧν εἴχομεν ἀλφίτων ἐν Καρύστῳ ἐταμιεύσω τῷ κῦρ Νικήτᾳ, τὰ δὲ ἀποδόσθαι ἐφῆκας τῷ ἄφρονι, ἢ οἰκειότερον φάναι ἀλιτηρίῳ. Εἰ γὰρ ἀνέγνως πλουτάρχεια, οἶδας δήπου ὅπως ὁ Χαιρωνεὺς οὗτος ἰδιοτρόπως καὶ ἱστορικώτερον ἐτυμολογεῖ τὸν ἀλιτήριον, φάσκων οὕτω κληθῆναι τὰ πρῶτα τοὺς ἐν τῇ Ἀττικῇ ἁρπάζοντας τὰ ἄλευρα ἀπὸ τῶν τηρούντων αὐτά, λιμοῦ κατακρατοῦντος σφοδροῦ. 3. Οὕτω γοῦν τὰ μὲν ἀποθέμενος, τὰ δὲ κατακρούμενος τῇ ξυνωρίδι τῶν σῶν ἑταίρων, σὺ μὲν ὡς κερδαλεόφρων ἀλφιταμοιβὸς ἐνεπορεύσω τὴν παρ' αὐτῶν φιλικὴν εὔνοιαν, ἡμῖν δὲ οὐδὲ τεταρτημόριον ἀπέσταλκας. Ἆρ' οὐ δίκαιος διανομεὺς σὺ καὶ κατὰ τὴν γεωμετρικὴν ἀναλογίαν σιτομετρῶν; Φεῦ τῆς ἀδοκήτου καὶ ἀλλοκότου ταύτης ἀνεμοφθορίας τῶν συλλεγέντων ἡμῖν ὀλιγίστων γῆς ἐκφορίων. Σὺ μὲν γὰρ πολλάκις μοι τὸν ἐτησίαν βορρᾶν ἐξετραγῴδησας, προσαράσσοντα ἐξαπίνης καὶ καταγλῶντα νευστάζοντας ἤδη πρὸς θερισμὸν τῶν Καρυστίων τοὺς στάχυας, εἶτα καὶ ἀλοῶντα δυστυχῶς καὶ λικμῶντα πολλῷ δυστυχέστερον ὡς μηδ' ἀχυρμιὰν τῆς χθιζῆς εὐετηρίας ὑπολείπεσθαι γνώρισμα. 5. Ἐγὼ δὲ, τλημονέστερόν τι παθὼν, πόθεν τῆς κατὰ σὲ σοφιστικῆς ὑψηγορίας εὑρήσω τινὰ καὶ φθέγξομαί τι τοῦ πάθους ἄξιον; Πῶς τὸ καινὸν δυσπράγημα ἐκτραγῳδήσω καινότερον; 6. Πότερον, ὦ καλὲ παῖ, ὡς τοῖς Καρυστίοις ὁ βορέας ἐπηρεάζει, οὕτω καὶ ἡμῖν Βορεάδαι

9. *ἐμιεύσω*. — 10. *φᾶναι*. — 16. *ξινωρῖδι*. — 19. *ἄρ'*. — 23. *προσαρράσοντα*.

www.libtool.com.cn

Digitized by Google

τινὲς βασκαίνουσι, καὶ ὡς ἂν νεώτεροι καὶ κουφότεροι· ἀεὶ γὰρ ὁπλοτέρων φρένες ἠερέθονται· οὐκ ἀξιοῦσιν ἐν ἀρούραις ἔτ' οὖσαν τὴν τροφὴν διαφθείρειν, καὶ τοῦτό γε πατρῴζειν ἀλλὰ, τὴν πατρικὴν τῶν ληΐων ἀνεροφθορίαν ὑπερπνέοντες, νεανικώτερον καὶ ἀπ' αὐτῶν τῶν ταμειουλκούντων σιρῶν ἁρπάζουσιν· ἢ καὶ αὐτοῦ που ἐπεχωρίασαν αἱ μυθευόμεναι Ἅρπυιαι αἱ τοῦ πάλαι Φινέως τὴν τράπεζαν ἀπ' αὐτοῦ τοῦ στόματος ἁφαρπάζουσαι, αἳ τυχὸν καὶ τὴν ἡμετέραν ἐδωδὴν ἀνηρείψαντο; 7. Ἢ τούτων μὲν οὐδέτερον, ἄσθμα δὲ ἄλλο τι θειότερον καὶ πνεύματος ὀργῆς ἔμπνευσις ταυτηνὶ διεφόρησεν; ὅπερ καὶ μᾶλλον οἶομαι. Ἀκούω γάρ τι καὶ τοιοῦτον ἐν τοῖς προφητικοῖς θεσπίσμασιν· «ἐπεβλέψατε εἰς πολλὰ καὶ ἐγένετο ὀλίγα καὶ εἰσηνέχθη εἰς τοὺς οἴκους ὑμῶν καὶ ἐξεφύσησα αὐτά». 8. Ἀλλ', ὡς λογίζομαι, καὶ τῆς τειαύτης θεομηνίας σχετλιώτερα τὰ ἡμέτερα. Ἄκουε γὰρ τῶν αὐτῶν χρησμῳδούντων οὕτως· «τίνες ἦτε ὅτε ἐνεβάλλετο εἰς κυψέλην εἴκοσι σάτα καὶ ἐγίνετο δέκα σάτα κριθῆς;» Εἰς δὲ τὴν καθ' ἡμᾶς κυψέλην, ὑπὲρ τοὺς τεσσαράκοντα μεδίμνων κριθῆς ἐμβεβλημένων, ὡς ὁ ἐμβαλὼν δεδήλωκε, καὶ σίτου ἔνδεκα, οὐδὲ τὸ δυοστὸν γοῦν γεγόνασιν, ἀλλὰ δώδεκα. Ἐπὶ τούτοις τίνες ἐσμὲν, ὁρῶντες ὅτι καὶ τῶν πάλαι θεηλάτων τἀπιτίμια ἐς τοσοῦτον ἡμῖν ἐπιτείνεται;

9. Σταλήτωσαν τοίνυν ἡμῖν διὰ τοῦ παρόντος καὶ τὰ ὑπολελειμμένα, πλὴν ἀληλεσμένα ὡς ἔτι σώζεται ‖ καὶ πρὶν καὶ ταῦτα ἐριώλη τις ὑφελοῦσα οἰχήσεται. Ὁ γὰρ κῦρ Νικήτας, ὡς οἶμαι, τηνικαῦτα ἐλεύσεται ὅτε καὶ τὰ νέα, Πλειάδων ἐπιτελλομένων, ἄρξονται ἀμᾶσθαι, τῆς θείας χρηστότητος εὐλογούσης τὸν τοῦ ἐνιαυτοῦ τελεσφόρον στέφανον, καὶ μᾶλλον εἴπερ ὁ ἐτησίας, ὁ κατὰ Σολομῶντα σκληρὸς ἄνεμος, οὐ σκληρότερος [ἢ] αὐτόθι εἴωθε τὰ πολλὰ καταβήσεται, οὐδὲ

5. *σιρρῶν*. — 8. *ἀνηρρείψαντο*. — 9. *ἀλλά*. — 16. *κυψέλλην*. — 16. *εἴκοσι σάτα*. — 18. *κυψέλλην*. — 20. *δύοστον*. *τινὲς*. — 24. ‖ Κώδ. 1128, α. — 30. *ἢ* λείπει.

μέτρ *τρίτ'*

www.libtool.com.cn

Digitized by Google

βαρβαρικώτερον τὰ θέρη τῶν Καρυστίων λῃΐσεται, ἐκμειλιχθεὶς ἢ ἀποδιασθεὶς παρὰ σοῦ. 10. Ἀλλ' ὅπως ἑνί γέ τῳ τρόπῳ τῆς ἀκολάστου στήσεις ὕβρεως, ἄκουσον. Οὐκ ἀξύνετος τῶν δεομένων ἐστὶν ὁ βορρᾶς, καὶ τοῦτο πολλαχόθεν μαθὼν ἔχεις· ὅ τε γὰρ Ἀχιλλεὺς ἐπὶ τὴν Πατρόκλου πυρὰν τοῦτόν τε καὶ τὸν σύμπνουν χορὸν καλέσας ἐδυσώπησε καὶ παρὰ τῷ θαυμασίῳ Ξενοφῶντι οἱ μύριοι, σφαγιασάμενοι ἀποκαίοντι καὶ πηγνύντι τοὺς ἀνθρώπους, διεπράϋναν καὶ ἡ ἐν Ἄσμασι καλὴ νύμφη ὡς ἐπαίοντι δήπου «ἐξεγέρθητι, φησὶ, βορρᾶ». Ἔστι δὲ καὶ ἄλλως ἀττικιστὴς, οὐ μόνον ὡς κηδεστὴς Ἐρεχθέως· ἐκεῖθεν γὰρ Ὠρείθυιαν ἥρπασεν, ἐξ ἧς αὐτῷ Ζήτης καὶ Κάλαΐς οἱ Βορεάδαι· ἀλλὰ καὶ ὡς φιλῳδὸς καὶ φιλόμουσος. Ἀμέλει τις καὶ παρὰ τῷ σκοπέλῳ τῶν Σειρήνων καὶ τῷ τῆς Καλλιόπης Ὀρφεῖ καλὸν ᾄδοντι κοιμίζεται καὶ ἀτρέμας ἔχων ἀκροᾶται τῶν μελῶν ὡς καὶ παρ' Ὁμήρῳ οἱ δαιτυμόνες σιγῇ τῶν κιθαρῳδούντων ἀκούουσι.

11. Ποῦ τοίνυν καὶ τὰ σά, ὦ φίλος, θέλγητρα; ποῦ τὰ τῆς φίλης σοφιστικῆς γοητεύματα καὶ φίλτρα, ἵμερον στάζοντα, ποῦ δὲ τῆς ῥητορικῆς αἱ ἴυγγες; Ταῦτα νῦν ἀναλαβοῦ ὡς κίθαριν ὀρφικὴν, ὡς Σειρήνων ᾄσματα· μετὰ τούτων ἀντιπνεύσας ἤχησον, ῥητορικώτερον ἢ πολιτικώτερον τὸ τῶν Σειρήνων προοίμιον ἀνακρουσάμενος. 12. «Ἄγε, ὦ πολύαινε ἄναξ μεγαλοπτερύγων ἀνέμων, λόγων ἐμῶν ξύνες, πρὸς βραχὺ τὸ σαλπίζειν σχασάμενος. Ἵνα τί τὴν ὑφήλιον εὖ ποιῶν, μόνην τὴν καθ' ἡμᾶς ταύτην τῆς Εὐβοίας ἄκραν ἑῴαν ἔγνως ἀδικεῖν; Οὐ σὺ παρὰ Σολομῶντι ἐπιδέξιος ὀνόματι κέκλησαι, οὐ παρ' Ὁμήρῳ αἰθρηγενέτης καὶ ζωγρῶν στρατιώτας τραυματίας ὀλιγοδρανέοντας, οὐ παρὰ τῷ μύθῳ κόρης ἀττικῆς ἐραστὴς ἦ, ἵνα σοι τὰ μείζω ἐξυμνήσω, οὐ παρὰ πᾶσι πυροτρόφος σὺ καὶ τῆς ἀνθρωπίνης τροφῆς τελεσφόρος τροφεύς; Ταύτῃ τοι καὶ βοραν τὴν βρῶσιν ἀπὸ σοῦ παρονομάζουσιν ἄνθρωποι, ὡς μὴ μόνον ἐν ἀρούραις ἐρριζω-

6. τοῦτον τὲ. — 8. διεπράϋνεν. — 11. ἐξῆς. — 26. ἑώαν.

Digitized by Google

μένους τοὺς στάχυας ἐκτρέφοντος, ἀλλὰ καὶ τετμημένους ἤδη· ὅπερ καὶ οἱ τρίδωνες εἰδότες ἁμαλλοδέται τῶν δραγμάτων τὰς τομὰς πρὸς σὲ τετραμμένας ταῖς θημωνίαις ἐπιτιθέασιν, ἵνα δι' αὐτῶν ἐμπνέων καὶ τεθνηκότα τὸν σῖτον οἷον ζωγρῇς, ὥςπερ καὶ τοῖς σιτῶσιν ἐντεθαμμένον ἄσηπτον καὶ κακῶν διατηρεῖς ἀπαθῆ διὰ τῶν φωταγωγῶν εἰςχεόμενος. Τὸ δὲ θαυμασιώτερον, καὶ ἡ νομικὴ πέτρα ἐν τῷ πρὸς βορρᾶν μέρει τῆς σκηνῆς ἵστατο, ἵνα διδάσκωνται ἄνθρωποι, ὡς διὰ σοῦ τελεσφορεῖσθαι θεὸς εὐδόκησε τὰ τὴν καρδίαν ἀνθρώπου στηρίζοντα. 13. Εἶτα πῶς, ὦ κοινὸν ἀγαθὸν, ὁ πάσαις χώραις καὶ πόλεσι δεξιὸς, ὁ ζωγρῶν, ὁ τρέφων, ὁ ῥωννύων, ὁ ἁδρύνων τὰ τρέφοντα λέληθας παρ' ἡμῖν πάντα τἀναντία γινόμενος, ἐπαρίστερος, ὠλεσίκαρπος, φθόρος ληίων, ἀσταχύων καταρακτήρ; Ἦ, ἵνα τἀληθὲς ἐρῶ, καὶ τὰ ἐν ἡμῖν σπέρματα ἐκτρέφειν φιλεῖς, ἕως καὶ εἰς γῆρας λευκὸν καὶ κυπτάζον εἰς δρέπανον· ἀλλὰ πρὶν ἥξωσιν οἱ τλήμονες γηπόνοι ἐς νέωτα θέρους γευσόμενοι, ἔφθης αὐτὸς προσαράξας καὶ συμμάρψας καὶ ὡς ἐν ὅλμῳ αὐτῇ ‖ καλάμῃ τρίψας εἰς κονιορτὸν ὡς ἀπὸ ἅλωνος θερινῆς διασκιδνάμενον, ταὐτόν τι ποιῶν ὡς εἴ τις πανδαισίαν φιλότιμον παραθέμενος καὶ τῶν δαιτυμόνων ἐπιβαλλόντων ἤδη τὰς χεῖρας, εἶθ' οὕτως, πρὶν αὐτοὺς ἅψασθαί τινος, ἀνατρέψαι πάντα λάψας τράπεζαν κἀνακυπώσας μέθυ καὶ τοὺς κεκλημένους ἐάσαι κεχηνότας μάτην αἰσχύνης ἐμπίπλασθαι, ὥςπερ καὶ τὰς ἀθλίους φορτίδας διὰ τοῦ Αἰγαίου κατεπείγων, εἶτα τοῖς κρημνοῖς τῆς καθ' ἡμᾶς Καφηρίδος συνηλόησας. 14. Ὥςτε οὔθ' ἡμῖν τοῖς αὐτόχθοσιν ἵλεως ἐπιπνεῖς καὶ τοῖς παραπλέουσι φοβερὸς ἐμπίπτεις καταποντιστής· καὶ γέγονε τό τε σπειρόμενον τό τε περιπλεόμενον τῆς ἡμεδαπῆς ἄκρας ταῖς παρὰ σοῦ σχεδιαζομέναις συμφοραῖς διαβόητα. Οἵους γὰρ ἀμφοτέροις ἐπικυλίνδεις κινδύ-

2. *ἁμαλοδέται.*— 13. *ἐπ' ἀρίστερος.* — 14. *καταρρακτὴρ.*— 16. *ἤξουσιν.* — 17. *προσαρράξας.* — 18. Κώδ. ‖ 128,6. — 19. *ταυτὸν.*— 22. *ἀνατρέψοι. λάξας.* — 23. *ἐάσοι.*— 25. *τῆς κρημνῆς.*

Digitized by Google

νους, ὁλκάδας μὲν ἐπιχειλεῖς ἀγαθῶν κρημνώδεσιν ἀκταῖς προσκρατῶν καὶ εἰς ἁλὸς ἄχνη λεπτύνων, λῃΐοις δὲ πελαγίζουσι καὶ ὑποκυμαινομένοις ὥρια τραχὺς καὶ ζαμενὴς ἐμπίπτων καὶ νεοχμῶν χερσαῖα ναυάγια. 15. Ἔνθεν τοι τὰ μὲν περὶ ἡμᾶς κοῖλα τῆς Εὐβοίας κοιλὰς ἄλλη κλαυθμῶνος ᾄδεται, αἱ δὲ πυροφόροι πεδιάδες πεδίον ἀφανισμοῦ. Ἀλλ' εἰ καὶ ἐς δεῦρο τοιοῦτος ἡμῖν ἐπεφέρου, μηδενὸς ὑπάρξασιν ἀδικήματος, καταιγιδώδης καὶ τυφωνικὸς καὶ ὡς ἀπὸ χαρωνείων βαράθρων ὀλέθριος, ἀλλὰ νῦν γε ἴλαθι, κράτιστε πάντων ἀνέμων, φεῖσαι τῶν ἀθλίων διὰ σὲ ὀψὲ γοῦν, μηκέτι ὡς ἀπὸ Σκυθίας κινούμενος βαρβαρικώτερον σάλπιζε, αὔραις δὲ εἰρηνικαῖς περιβόμβει καὶ τὰ καθ' ἡμᾶς. 16. Ναὶ λῦσον τὸ σφοδρὸν τοῦτο καὶ σκυθρωπὸν, ναὶ μέθες τὸ λίαν καὶ πνέον θυμοῦ, εἰς δὲ πνεῦμα στῆθι πραότατον, καὶ κοπασάτω θραῦσις ἡ χρόνιος. Οὕτως ὄναιο τῶν φιλτάτων».

17. Τοιαῦτα μὲν οὖν οὕτως ἐν πρώτοις ὑποθωπεύων ῥητορεύσεις, καὶ εἰ μὲν μαλθακοῖς τούτοις καὶ λογοχαρέσι τερετίσμασι θέλξας διαπραύνοις, ἀπήλλαξας τὸ πατρικὸν λάχος δαιμονῶντος πνεύματος, καὶ οὐκέτι λυρικὸς σὺ, ὀρφικὸν νόμον εἴτε σειρήνειον ᾄδων, ἀλλ' ἤδη καὶ ψάλτης δαυϊτικὸς, πονηρῶν πνευμάτων κατεπᾴδων καὶ πνιγηρῶν. Τί γὰρ βουλιμίας πνιγωδέστερον αὐτοῦ, ἐπιλαμβανομένης λαιμοῦ εἰς πνίγμα θανάσιμον; 18. Εἰ δ' εἰς κενὸν νευρᾶς κτύπον ψαλάξεις ταυτὶ, ἐπέστραπται δὲ ὅσα καὶ ὄνος λύρας τῶν κρουμάτων ὁ σκληρὸς ἄνεμος καὶ μᾶλλον σκληρύνεται καί σου τὰ ἐπᾴσματα ἐλέγχει ὡς οὐδὲν ἀλλ' ἢ μόνον ἀνεμώλια τερετίσματα, σὺ δ' ἀλλὰ μηδ' οὕτως ἀποκναίσας σιγήσῃς τοῦ λοιποῦ, ἀλλὰ μετάβηθι καὶ ἄλλον κόσμον ἄεισον, ἐκ τοῦ λυδίου εἰς τὸ δώριον τὴν χέλυν μεθαρμοσάμενος καὶ δὴ πρὸς τὸ συντονώτερον καὶ ὀξύτερον τὸ μέλος μεταρρυθμίσας ὧδέ πως ἀναβαλοῦ.

19. «Ὦ σκληρὲ ὄντως ἄνεμε, οὐ ῥεῦμα σὺ ἀέρος καὶ

4. *ἔνθεν*. — 10. *πεῖσαι τοῖς ἀθλίοις*. — 24. *ἐπέστραπτε*. — 32. *ῥεύμασιν ἀέρος*.

Digitized by Google

χεῦμα φερέσβιον, ἀλλὰ χείμαρρος ἀγρίας λαίλαπος. Τί μηδὲν ἄχαρι πεπονθὼς πρὸς' τῶν Καρυστίων τηλικαῦτα ἀδικεῖς, πόνους πολυμόχθων ἀροτρέων παρασύρων καὶ διαφθείρων ὡς ὁ παρ' Ὁμήρῳ πλήθων ποταμὸς γεφύρας καὶ ἀνδρῶν ἔργα πίονα; Τί παρ' ἄλλοις μὲν ὡς ἐτησίας βορρᾶς τὴν ἀνθρωπίνην τελεσφορεῖς βοράν, τὴν δ' ἡμετέραν ὡς θηρίον βοράν λαφύσσεις καὶ καταβαίνεις ἡμῖν θερινὸς πολλῷ δριμύτερος ἢ χειμέριος, ἅτε θερίζων καὶ λικμῶν ὀλεθρίως ἅπερ οὐκ ἔσπειρας ἢ, καὶ ἀντιστρόφως εἰπεῖν, διασπείρων εἰς ἀέλλας θέρος ἀλλότριον; 20. Ὄντως χιόνος σκυθικῆς ἀποφορὰ σὺ καὶ ξενοκτόνου Ταυροσκυθίας ἄσθμα ταρτάριον. Καὶ τί γὰρ τῶν ἀλγεινῶν καὶ πολεμίων τῇ ἀνθρωπίνῃ ζωῇ οὐ σχεδιάζεις αὐτός; Οὐ μάλκας καὶ χείμετλα; ‖ Οὐ παγετῶν καὶ κρυστάλλων πατὴρ σύ; Τί δὲ τῶν καλῶν καὶ βιωφελῶν οὐ διαλυμαίνεται παρὰ σοῦ καόμενον; Οὐ κτηνοκτόνος σὺ καὶ παρὰ ποιηταῖς βουδόρος; οὐ φυτὰ τὰ μὲν πρυμνόθεν ἐκβοθρεύων ἀνασπᾷς, τὰ δὲ μαραίνων ἀπονεκροῖς, τὸν ἐν αὐτοῖς ὀπὸν πηγνύς; 21. Τί λέγω ὀπὸν δένδρων, ὁπότε καὶ ποταμῶν ναυσιπόρων ἀπολιθοῖς ῥεύματα καὶ καλῶς ἡ ἐν Ἄσμασι νύμφη σοὶ μὲν ὡς λυμαντῆρι μοσχευμάτων καὶ κηπευμάτων ἐπικελεύεται ἀπανίστασθαι, τὸν δὲ νότον προσκαλεῖται ὡς ἀλεεινὸν πνεῦμα καὶ ζωογόνον φυτοῖς τε καὶ θρέμμασι, λέγουσα «ἐξεγέρθητι, βορρᾶ, καὶ ἔρχου, νότε, καὶ διάπνευσον κῆπόν μου καὶ ῥανάτωσαν ἀρώματά μου»; 22. Ἀλλὰ τὰ μὲν κατ' ἤπειρον ἀλγεινά σου ὡς μυρίων βραχέα εἰπεῖν τοσάδε· ὅσας δὲ διασκευάζεις κατὰ πόντον τραγῳδίας, πόσαι Ἰλιάδες ἂν ῥαψῳδήσαιεν; Οὐκοῦν συνελὼν τὰ πάντα ὡς ἔν τινι συναθροίσω περιγραφῇ τῷ προφητικῷ ἐκείνῳ λέβητι, ὃν Ἱερεμίας ἑώρα ὡς ἀπὸ προσώπου τοῦ βορρᾶ ὑποκαιόμενον. Ὁ δὲ θεὸς σαφηνίζων τὴν ὅρασιν ἀπὸ προσώπου τοῦ βορρᾶ,

1. *χείμαρος*.— 6. *βορρᾶν*.— 13. *μάλχας. χίμετλα*. ‖ Κώδ. 129,α. — 14. *κρυστάλλων*. — 16. *βούδορος*. — 23. *βορρᾶ*. — 24. *κῆπον*.

Digitized by Google

φησὶν, ἐκκαυθήσεται τὰ κακὰ ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν γῆν. 23. Ἀλλὰ τῶν μὲν κοινῶν πᾶσι κακῶν παραπολαύειν καὶ ἡμᾶς καινὸν οὐδὲν, τὸ δὲ πρὸς τοῖς κοινοῖς καὶ ἴδιόν τι ἐτησίως καὶ πολλῷ δεινότερον καρποῦσθαι, ἡλίκον δυςπράγημα. Εἰ δὲ καὶ οἷς εὖ ποιεῖν δοκεῖς, τούτοις ἡμᾶς ζημιοῖς, ἀντὶ καρποτρόφου φαινόμενος ὠλεσίκαρπος, πῶς οὐκ ἂν ἐν δίκῃ γε εἴης ἁπάντων ἀνέμων ἔχθιστος, ἐρυσίβης ὀλεθριώτερος, παρ' ὅσον ἐκείνη μὲν ἔτι γαλακτοτροφούμενα τὰ ἐκφόρια τῆς γῆς βρεφοκτονεῖ μαραίνουσα, σὺ δὲ ἀπογεγαλακτισμένα καὶ ηὐξημένα εἰς ἀκμαστικὴν ἡλικίωσιν ἀφαρπάζων τῶν ἐκπονησαμένων χειρῶν, μείζω τὴν ἀλγηδόνα ἐπιτρίβεις καὶ τοσούτῳ ὅσῳ καὶ βρέφους ἀνὴρ τελεώτερος. 24. Σὺ καὶ στρατοπέδων ἀκρίδων πολεμιώτερος. Ἐκείνων μὲν γὰρ τὸ πτερὸν ἔστιν ἃ τῶν λῃΐων διαπεφεύγασι, τὰς σὰς [δ'] οὐδὲν ἐκπέφευγε πτέρυγας, ὥςπερ καὶ τὰς τῶν χαλαζῶν σφενδόνας ἐκκλίνουσί τινες στάχυες. Σὲ δὲ οὐδεὶς ἁπλῆξ διέδρα καταρρηγνύμενον».

25. Τούτοις κἀκεῖνα ἐπισυνείρας συγκριτικῶς, ὦ θρέμμα καὶ μόσχευμα σοφιστικῆς, ἀντιπαρεξέτασον πρὸς ἑνίους τῶν ἀνέμων τὸν βορρᾶν. Μᾶλλον γὰρ οὕτως ἂν ὑποκνίζων ἐρεθίσειας. Καὶ λέγε οὕτως· «Τί γὰρ τοιοῦτον ἠδίκησέ ποτε νότος ἢ ζέφυρος; Ὧν τὸν μὲν ἀντέθηκέ σοι κατὰ διάμετρον ἡ φύσις εὖ ποιοῦσα ὡς ἐνστάτην γενναῖον τῆς σῆς κακότητος, ἀναζωπυροῦντα μὲν ἀλεεινῇ θαλπωρῇ τὰ παρὰ σοῦ καταψυχόμενα καὶ νεκρούμενα ζῷά τε καὶ φυτὰ, ἀντιπνοίᾳ δὲ σφοδροτέρᾳ τὴν σὴν ὑφιστάμενον καὶ ἀποβιαζόμενον βαγδαίαν θρασύτητα. 26. Εἰ μὴ γὰρ οὗτος ἀντίπνους ἀνθίστατό σοι, κἂν εἰς σκυθικὴν ἐρημίαν τὴν περὶ τὴν Θούλην καὶ ὑπερβόρεον ἢ καθ' ἡμᾶς οἰκουμένη, πάλαι σοι ἀπετελέσθη καὶ σοὶ μόνῳ ἐκκείμενον ἐνδιαίτημα, κἂν καὶ ἡ ὑγρὰ φύσις εἰς κρυσταλλίνην μετέβαλεν. Ἧπου καὶ τὰ περὶ ἡμᾶς πελάγη εἰς τὴν

8. *παρόσον*. — 14. δ' λείπει.— 19. *μό χευμα*. — 22. *κατα-διάμετρον*.— 25. *ζῶα τὲ*. — 30. *κρυσταλίνην*.

Digitized by Google

Λίβυσσαν θάλασσαν μεγάλοις κύμασι κυλίνδων συνώθησας, εἴ γε μὴ ὁ φίλτατος νότος ἀντανωθῶν ἀντίπρωρα κύματα ἐκεῖθεν ἀντεπερρόθει σοι. 27. Κάλλιστα τοίνυν καὶ σοφός τις χρησμὸς παρέδειξε τῆς ἑκατέρου φύσεως τὸ διάφορον, σὲ μὲν προσειπὼν θρᾴκιον σαλπιγκτὴν, || τὸν δὲ νότον λιβυκὸν αὐλητὴν, παρὰ τοσοῦτον ὑποφαίνων βορέου τὸν νότον εἰρηνικώτερον καὶ προσηνέστερον παρ' ὅσον μελιχρότερος καὶ σάλπιγγος αὐλός. 28. Καὶ νότος μὲν, ὡς ἔπος φάναι, τοιοῦτος, ζεφύρου δὲ τίς ἀνέμων χαριέστερος καὶ μουσικώτερος, οὐ πολεμικὸν σαλπίζων καὶ ἄγριον, οὔτε μὴν ἐμπνέων αὐλοῖς, καινότερον δὲ τρόπον τοῖς κύκνοις συνυφαίνων τὰ κρούματα; Τοῖς γὰρ ἐκείνων ἐμπίπτων πτεροῖς καὶ οἷα χορδὰς ἀνατινάσσων, κιθαρῳδικῶς καὶ κατὰ λόγους ἁρμονικοὺς ἀναψηλαφώμενος σχεδιάζει, κατὰ τὸν εἰπόντα, μέλος τὸ σύριγμα· οὗ καὶ ταῖς αὔραις τὰς τῶν Μακάρων νήσους περιπνεῖσθαι λόγος ἐντρέχει πολὺς, ὥστ' εἴπερ καὶ παρ' ἡμῖν διαρκέστερον ἐπέπνει αὔρα ζεφύριος, Μάκαρες ἂν ἦμεν ἕτεροι, ὡς νῦν γε, πρὸς τοῦ βορρᾶ καταπνεόμενοι, κακοδαίμονες. 29. Οὕτως οὐκ ἔστι τις τῶν ἀνέμων τοῦ βορρᾶ ὁλοώτερος ἄλλος, εἰ δέ τις καὶ τὸν ἐκ Θρᾴκης ἐρεῖ ὠλεσίκαρπον, πάλιν τὸν βορρᾶν λέγει· ὁ αὐτὸς γὰρ εἶ, διαφόρους μὲν κλήσεις ἐκ τῶν τόπων μεταμπισχόμενος, Θρᾴκιος καὶ Ἀπαρκτίας καὶ Ἑλλησποντίας καὶ Μέσης ὀνομαζόμενος, οὐ μέντοι καὶ ταῖς τόπων διαφοραῖς συμμεταβάλλων, ἀλλὰ πανταχόθεν ἐφελκόμενος τὴν αὐτὴν κακοποιὸν ἰδιότητα».

30. Τοιαύτη σοι ἔσται, ὦ οὗτος, καὶ ἡ πρὸς τὸ βραχύτερον ἢ σφοδρότερον εἶδος τοῦ λόγου ὑπάλλαξις· οἶμαι δὲ ὅτι ὥςπερ τοῖς θωπευτικοῖς οὐ μαλάξεις τὸν σκληρὸν τουτονί, οὕτως οὐδὲ τοῖς τραχυτέροις ἐκπλήξεις. Οὐκοῦν λοιπόν ἐστιν οὐ σοὶ μέντοι μόνῳ, ἀλλὰ πᾶσι τοῖς ἐπηρεαζομένοις καὶ πρὸ πάντων τῷ πατρὶ αὐτῶν καὶ ποιμένι τῶν ῥεόντων τουτωνὶ

1. *Λίβυσαν.* — 5. *σαλπικτὴν.* || Ἀώδ. 129,6.— 8. *φάναι.*— 17. *αὖρα.* — 28. *ἐστι.*

www.libpool.com.cn

Digitized by Google

λόγων καὶ εἰς ἀέρα χεσμένων, ἀφεμένοις τὸν ἐν ἀρχῇ ὄντα λόγον καὶ πρὸς τὸν θεὸν, καὶ θεὸν ἱκετηριάσασθαι, καὶ κατὰ τοὺς ποτὲ χειμαζομένους μαθητὰς θεοκλυτῆσαι «Κύριε, σῶσον ἡμᾶς· ἀπολλύμεθα». 31. Αὐτὸς γάρ ἐστιν ὁ τὸν βορρᾶν καὶ τὴν θάλασσαν πλάσας, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων, ὁ ἀφορίζων τὸν ἑαυτοῦ θρόνον ἐπ' ἀνέμων, ὁ ἐκτείνων βορέαν ἐπ' οὐδενί· αὐτῷ γὰρ οἱ ἄνεμοι καὶ ἡ θάλασσα ὑπακούουσιν. Αὐτὸς ἐπιτάξει τῇ καταιγίδι καὶ στήσεται εἰς αὔραν καὶ οὐκέτι λαῖλαψ βορεία τοὺς ὑμῶν ὑφέλοι καρποὺς, οὐδὲ σπερεῖτε τοῦ λοιποῦ ἀνεμώλια.

32. Ταῦτά σοι προσαθύρω, φίλη κεφαλὴ, οὔτε συμμέτρως ἐπιστολιμαίῳ χαρακτῆρι· ἀόριστοι γὰρ αἱ κινήσεις τῶν παιζόντων· οὔτ' ἀποχρώντως τῷ σῷ περὶ τὰ σοφιστικὰ ἔρωτι. Οὐδὲ γὰρ ὅλαι βίβλοι σοφιστῶν τὸ τῆς σῆς ψυχῆς ἐπιθυμοῦν ἀποπλήσουσι. Πλὴν εἰ καὶ τὸ μὲν ὑπερήλατο, τοῦ δ' αὖ οὐκ ἐξίκετο, μὴ ὡς πικρὸς διαιτητὴς λόγων εὔθυνε, μήτε πρὸς τοὺς ἀρχιτεκτονικοὺς νόμους τοὺς ἀπὸ τῶν ἀξόνων τῆς σῆς σοφιστικῆς, ἀλλὰ καὶ τῆς ἀποπτώσεως τοῦ συμμέτρου σύγγνωθι καὶ, εἴ τι κινδυνῶδες τετόλμηται, ὡς οὐκ ἀκουσίως ἐρραθυμημένον ἐπιεικέστερον ἄκουε. 33. Τὰς μέντοι ὑποψύχρους κουφολογίας καὶ μᾶλλον ἐν ταῖς πρὸς τὸν βορέαν ὁμιλίαις τῇ αὐτοῦ, οἶμαι, φύσει δικαίως ἂν προσλογίσαιο. Φιλεῖ γάρ πως ὁ λόγος τοῖς ἀπαγγελλομένοις συμμορφάζεσθαι· ἡ δ' εὐλογωτέρα παραίτησις, τοὺς ἀλείπτας τῶν ἀθλητῶν ἡδουλήθημεν μιμήσασθαι, καὶ ὡς ἐκεῖνοι δι' ἑαυτῶν τοῖς γυμναζομένοις τοὺς ἄθλους ὑποδεικνύοντες ἀθλοῦσι διάκενα πηδῶντες ‖ καὶ θέοντες οὐκ ἔννομα ἢ ἀκροχειριζόμενοι καὶ εἰς ἀέρα εἰκῇ πνέοντες, οὕτω καὶ ἡμεῖς, προσγυμνάζομένοι σοι τὰ σοφιστικὰ ἕνεκά γε ψιλῆς ὑποδείξεως, οὐκ ὠκνήσαμεν ἀνεμιαῖα πυκτεῦσαι, ἀέρα, κατὰ τὸν πάνσοφον Ἀπόστολον, δαίροντες.

34. Εἰ μὲν οὖν ὄναιό τι τοῦ τοιοῦδε λογικοῦ ἀθύρματος, τῷ

6. *ἐπαρέμων.*— 8. *καταιγῖδι.*— 9. *αὔραν. λαίλαψ.*— 17. *ἀξόντων.* — 21. *βορρέαν.*— 27. ‖ Κώδ. 130,α.

Digitized by Google

γήρᾳ χάριν ὀφλήσεις, οὐ μειρακιώδη πάντη, ἀλλὰ καὶ ὑπόσεμνά τινα παίζοντι. Εἰ δὲ ἀκερδὲς ὅλως καὶ ἄκαρπον φανεῖταί σοι, αὖρα ποντιὰς βορέου φερέτω. Οἴσομεν γὰρ καὶ ἡμεῖς τὴν ἀνεμοφθορίαν τῆς ἐπιστολῆς, ὡς τὴν τῶν ληΐων οἱ Καρύστιοι καὶ δίκην τίσομεν ταύτην, ὅτι ὅλως ἀντιστῆναι τετολμήκαμεν πνεύματι ὅπου θέλει καὶ ὡς θέλει πνέοντι, καὶ ταῦτα προφήτου λέγοντος ἀκούοντες· «κατὰ πρόσωπον ψύχους αὐτοῦ τίς ὑποστήσεται;»

35. Ἔρρωσο καὶ ὅσα καὶ ἄερα τοὺς λόγους ἀνάπνεε. Ὁ ἱερώτατος Καρύστου προχειρήσθω παρ' ἡμῶν. 36. Οὓς ἐδήλωσας λόγους οὐκ ἐπεσκέμμεθα οὔτε ἠκριβωσάμεθα διὰ τὸ ἀνθέλκειν ἡμᾶς τὸν ἰατρὸν κῦρ Νικόλαον εἰς συναναγνώσεις ποτὲ μὲν γαληνείων συγγραμμάτων, ποτὲ δὲ ἀριστοτελικῶν τῶν ὅσα λυσιτελοῦσιν εἰς κατάληψιν τῶν ἐπιστημονικῶν ἀποδείξεων Γαληνοῦ. Κἂν τούτῳ γὰρ οὐκ ἠθέλησεν ὁ κῦρ Νικόλαος ἀπειθῆσαι τῷ καθηγεμόνι τῆς αὐτοῦ τέχνης, τῷ Γαληνῷ, πολλὰ ἐπισκήπτοντι μὴ ἀγυμνάστους πάντη μεθόδων ἀποδεικτικῶν ἥκειν ἐπὶ τὴν ἀκρόασιν τῶν αὐτοῦ συγγραμμάτων. 37. Ὅμηρον ἀπέσταλκέ μοι ὁ κῦρ Βασίλειος ὁ Κυνηγὸς καὶ ἐπελθὼν αὐτὸν εὗρον λείποντά τινα κατά τινα διαστήματα, καὶ μετὰ ταῦτα ἐζήτει τίμημα δικαίῳ τοῦ Λαπαρδᾶ· ἐκείνῳ γὰρ ἀπεχαρίσθη τὸ τοιοῦτον βιβλίον· νομίσματα ὑπέρπυρα δύο, ἃ μὴ ἔχοντες καταθεῖναι ἀντεστρέψαμεν. 38. Εἰ γοῦν ἀπέρχῃ εἰς Ἀθήνας καὶ βούλει ὠνήσασθαι τοῦτον, ἔχε κατὰ νοῦν τὴν εἴδησιν ταύτην· δυνήσῃ γὰρ καὶ τὰ λείποντα ἀναπληρῶσαι καὶ ἔχειν τέλειον Ὅμηρον, οὗ ἅπαντες οἱ ῥέοντες τοῖς λόγοις ἀρύονται. 39. Μᾶλλον δὲ ὡς ἐξ Ὠκεανοῦ πάντας ποταμοὺς καὶ ῥέατα πάντα φησὶν αὐτὸς Ὅμηρος, οὕτω καὶ ἀπ' αὐτοῦ Ὁμήρου παντοδαποὶ λόγοι πη-

2. *φαρεῖται*.—3. *αὖρα*.— 6. Ἐν τῷ *καὶ* ὡς τὸ *κ* ἐγράφη ἐπὶ τῶν γραμμάτων *πτ*, ἀρκτικῶν τῆς λέξεως *πτέοντι*, ἣν ἤρξατο γράφων τὸ πρῶτον ὁ βιβλιογράφος. — 16 *αὐτοῦ*. — 18. *αὐτοῦ*. — 20. *λείποντα τινὰ*.— 22. *βιβλίον* [illegible] *δύο*.— 26. *οὗ οἱ πάντες*.

www.libtool.com.cn

Digitized by Google

γάζουσιν· ὃν καὶ ἀπὸ στήθους ἄδειν ὤφειλες. Σὺ δὲ οὐδὲ ἀνὰ χεῖρας ἔχων τὸ βιβλίον ὁμιλεῖς τῷ ποιητῇ. Καὶ σκόπει πόσῳ δεύτερος ἥκεις τοῦ Ἀλεξάνδρου κατὰ τὸ φιλόμηρον, ἀνδρὸς περὶ μάχας ἀνδροκτασίας τε καταγινομένου καὶ μόνον κατὰ νοῦν τρέφοντος ὅπως δεσπόσει τῆς ὑφ' ἥλιον. Ὅμως καὶ οὕτως ἔχων λέγεται ὁ Μακεδὼν οὗτος ἐπικαθεύδειν Ὁμήρῳ ὑπὸ κεφαλὴν κειμένῳ ἑκάστοτε. Οὕτως οὐδὲ ὑπνώττων ἀφίστατο τοῦ ποιητοῦ. 40. Σὺ δέ, καὶ ταῦτα νεωτέρας ῥητορικῆς ἐπιθυμητὴς σφοδρὸς ὤν, τῆς οὐκ ἐμμέτρου μέν, ὅσον δ' ἐπὶ τῷ αὐτῷ νόμῳ καὶ αὐθάδει κροτάλῳ τῆς φράσεως ποιητικῆς ἄντικρυς, ἅπαξ καὶ ὡς ὄναρ ἐντυχὼν, οἶμαι, τῆς ἑαυτοῦ διανοίας, ὡς ὁ Πλάτων τῆς ἰδίας πόλεως, ἐρίῳ στέψας ἀπήλασας τοῦ λοιποῦ. 41. Ταῦτα οὐκ ἀπᾴδοντα οἷς πολλάκις καὶ παρόντι σοι ἐπέπληξα, ὀλιγωροῦντι τοῦ ποιητοῦ, οἶμαι δὲ καὶ τῶν λοιπῶν. Εἰ γὰρ τοῦ κορυφαίου καὶ πατρὸς κωμῳδίας τε καὶ τραγῳδίας, τῶν ἄλλων καὶ μάλιστα. Ἤκουσας, οἶμαι, τὸν Πολέμωνα τὸν σοφιστὴν καὶ τὸν ἐκείνου θρυλούμενον ῥοῖζον· περὶ οὗ τις ἐρωτηθεὶς «ἵππων μ' ὠκυπόδων ἀμφὶ κτύπος οὔατα βάλλει» ἀπεκρίνατο, «τὸ ἐπίκροτον καὶ ὑψηχὲς τοῦ ῥήτορος, ὡς φησιν ὁ Φιλό‖στρατος, παραδηλῶν. Οὗτος τοίνυν ὁ Πολέμων δεῖ φησιν ἐκφέρειν ὤμοις μὲν [τὰ] τῶν λογογραφούντων, ἀμάξαις δὲ [τὰ] τῶν ποιητῶν. Ἀλλὰ στήτω μοι ἡ γραφὶς, ἵνα μὴ καὶ ἑτέρου χάρτου συγκολλήσεως δεησόμεθα. Τοὺς μεγαλοδοξοτάτους ἄρχοντας προσφθεγγόμεθα.

---

1. *ἀποστήθους.*— 4. *καταγινούμενου.*— 5. *ὑφήλιον.* — 10. *ἀφθάδει.*—17. *θρυλλούμενον.*—18. *τίς. ἀμφικτύπου.*—20. ‖ Κῶδ. 130,6.— 21. 22. *τὰ λείπει.*

www.libpol.com.cy

Digitized by Google

ρεϐ'. Τῷ Τορνίκῃ κῦρ Εὐθυμίῳ καὶ τοῖς λοιποῖς Ἁγιοσοφίταις

ἤγουν τῷ Πιστοφίλῳ κῦρ Νικολάῳ καὶ τῷ Βεριδόῃ κῦρ Μανουήλ.

1. Ἐγὼ τὸ μὲν ἐπιστέλλειν ὑμῖν, ὦ σοφαὶ καὶ φίλαι μοι κεφαλαί, καὶ παρ' ὑμῶν αὖθις ἀμοιβαῖα δέχεσθαι τοῦ παντὸς ἂν ἀλλαξαίμην, πολλῶν τε ἕνεκα, μάλιστα δ' ὅτι παρ' ὅσον ἂν χρόνον ἢ τὰ παρ' ὑμῶν ἐπιὼν ἢ τὰ πρὸς ὑμᾶς γράφων τύχοιμι δοκῶ συνεῖναι πως ὑμῖν καὶ οἷον ἐναδολεσχεῖν οὐ γράμμασιν, ἀλλ' ὑμῖν αὐτοῖς ἀφ' ὧν καὶ πρὸς οὓς τὰ λεγόμενα. 2. Ὀνειρώττω γὰρ ἐγρηγορότων ὁμιλίαν τινὰ καὶ φαντασιοῦμαι εἰδωλοποιίαν ἐντεύξεως καὶ ὕπαρ ἀτεχνῶς, οὐκ ὄναρ τὴν κοινολογίαν ποιεῖσθαι δοκῶ, ὡς ἂν ἢ προσδιαλεγομένων καταφανῶς ἀκροώμενος ἢ προσδιαλεγόμενος ἐναργῶς ἐπαΐουσιν, ὑπὸ τοῦ ἄγαν ἐθέλειν, ὡς οἶμαι, καὶ γλίχεσθαι τὴν ἐντυχίαν, παρακλέπτομαι τὸ ἀπόδημον καὶ γίνομαι ὑμῶν καὶ μεθ' ὑμῶν ὅλως. 3. Ὅσην οὖν καὶ οἵαν ψυχαγωγίαν οἴεσθέ με καρπεῦσθαι καὶ ἡλίκην παραμυθίαν δρέπεσθαι ἐφ' ὅσον χρόνον κοινοῖς ἐνευκαιρῶ γράμμασι καὶ τῆς μὲν κατ' αἴσθησιν ζωῆς ἁρπαζόμενος, τῆς δὲ φανταστικῆς ἐπιβαίνων, δοκῶ μοι συνεῖναι τοῖς φιλτάτοις ὑμῖν; Καὶ γὰρ ὡς παλαιοὶ τὰς θείας ἐπαγγελίας, οὕτω καὶ αὐτὸς τὰς ἱερὰς καὶ ποθεινὰς ὑμῶν ὄψεις τε καὶ φωνὰς πόρρωθεν ὁρῶν καὶ ἀκούων ἀσπάζομαι, ἀλλ' ὡς ἄγχιστα παρὼν καὶ οἷον αὐτόπτης γινόμενος καὶ αὐτήκοος. 4. Οὕτως καὶ ἀπὼν ἀποῦσι κατὰ σῶμα συνάπτομαι πνεύματι καὶ ὡς παρόντων κατεμφοροῦμαι κατ' ἐξου-

ρεϐ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν τῷ λαυρεντιακῷ κώδικι (Λ), φ. 130 α-131,ϛ καὶ τῷ βαροκκικῷ (Β), φ. 154,ϛ-155,α.

Τίτλος. *τῷ τορνίκῃ κῦρ εὐθυμίῳ καὶ τοῖς ὑπ' αὐτὸν ἁγιοσοφίταις* Λ. — 1. ‖ Κώδ. 130,ϛ. — 2. *ὑμῖν* ΛΒ. *ἀμοιβαῖα* Β. — 3. *γε* Λ. — 4. *παρ' ὑμῖν* Β. — 10. *πρὸς διαλεγόμενος* Β. *ἐπαΐουσι* Β. — 13. *μεθ' ὑμῶν* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *ἡμῶν* Β. — 15. *κοινῆς* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *κοινῆς* Β. *τοῖς* Β.

Digitized by Google

σίαν πολλὴν καὶ τῆς ὑπερορίου διαστάσεως ἀπαλλάττομαι, ἕως τὴν ἐν γράμμασιν ὁμιλίαν σχασάμενος καὶ τῆς ἐντεῦθεν ἐκστάσεως ἐπανιὼν ἐν ἐμαυτῷ γένωμαι καὶ τῆς ὀνειρώδους προσλαλιᾶς καὶ φαντασιώδους ἁρπαγῆς αἰσθήσομαι καὶ γνώσομαι ὡς οὐκ ἐν Χαλκίδι καὶ τοῖς ἐκεῖ που φιλτάτοις σύνειμι ἀληθῶς, ὀνειροπολῶν δὲ ἄλλως ἔτι που κατερύκομαι εὐρεῖ πόντῳ, καί μέ τις τῶν κατ' Αἰγαῖον Κυκλάδων νήσων ὑγραῖς, τὸ ποιητικὸν, ἀγκάλαις ὀχμάσασα πολλῷ τῷ μεταξὺ τῶν φιλτάτων διίστησι.

5. Τούτου μὲν δὴ ἕνεκα, ὡς εἶπον ἀρχόμενος, πολλοῦ μοι τὰ ἐπισταλτικὰ γράμματα κρίνεται ἄξια καὶ ηὐξάμην ἂν ἐνδελεχῶς ἑκάστῳ ὑμῶν ἀνὰ μέρος καὶ ἰδίᾳ γράφειν οἷός τε εἶναι καὶ αὖ παρ' ἑκάστου ὑμῶν ἀμοιβαδὸν τὰ ἴσα δέχεσθαι. Οὕτω γὰρ ἂν, ἑκατέρωθεν πληθυνομένης τῆς ὁμιλίας καὶ αὐξομένης, καὶ ἡ ἀπ' αὐτῆς μοι ψυχαγωγία ἐς ἀνάλογον μέγεθος προὔβαινεν. Ἀλλ' ὤ, τί πάθω; οὐδὲ τὸ χρηστὸν ῥᾷστον ἐμοὶ καὶ ἄλλως εὐπόριστον. 6. Ἵνα γὰρ τὰς ἄλλας τῷ τέως ἐργωδίας ἐάσω ὑμῖν, ὦ θαυμάσιοι, περιλαλοῦντες ὑπερφωνεῖτε ἕνα με πολλοὶ καὶ γέροντα νεανίαι καὶ πάλαι σχασάμενον τὸ φιλότιμον ἐπακμάζοντες τῷ τοιούτῳ καὶ θερμότερον ἐλλαμπόμενοι. Καὶ χαίρω μὲν ταῖς πολλαῖς ὑμῶν φωναῖς καταυλούμενος, οὐκ ἔχων δὲ ἀντᾴδειν πρὸς ἕκαστον μιᾷ φωνῇ, λειπόμενος ἄχθομαι καί ποτε χειροπληθὲς φορτίον γραμμάτων ὑμετέρων ὡς τὰ πολλὰ δεχόμενος, πρῶτα μὲν τῷ εὐόγκῳ τούτου ἐπεντρανίζων ἀναψύχω, πῶς εἴποιτε, καὶ πλέον ἢ οἱ δ.ψῶντες ταῖς μεγαλειότησι τῶν προσφερομένων ἐκπωμάτων ἐπιγαννύμενος καὶ τοῖς ὀφθαλμοῖς οἷον προσπίνουσι ψυχαγωγούμενος. Εἶτ' ἀνα‖πτύξας, ἐπέρχομαι ἀνὰ μέρος ἕκαστον καὶ δοκῶ καθῆσθαί που ἐν ἀλσώδει μουσικῶν ὀρνίθων

1. *ἀπαλλάτομαι* B.— 3. *ἐμαυτοῦ*.— 7. *με τίς*.— 8. *ἐχμάσασα* B. *τὸ μεταξὺ* B. — 12. *ὑμῶν ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἡμῶν* B. *οἷος* Λ.— 13. *ἴσα* ΛB. — 17. *τωτέως* ΛB. — 21. *ἐλλαμπόμενος* B. *ἡμῶν* B. — 22. *ἔχων* B.— 27. *ἐπιγαννύμενοι* B. *οἱ* Λ. — 28. ‖ Κώδ. 131,α.

www.libtool.com.cn

Digitized by Google

καταγωγῇ καὶ νῦν μὲν κύκνων, νῦν δ' ἀηδόνων εἶτ' ἄλλων καλῶς ἀειδόντων ἐπακροᾶσθαι, ὅτε καὶ τὸ τοῦ κωμικοῦ ὡς ἥδομαι καὶ τέρπομαι καὶ μόνον οὐ χορεῦσαι βούλομαι, ὥσπερ ἄρα καὶ τὸν Ἀλέξανδρον ἀνέπειθον πυρριχίζειν οἱ Τιμοθέου αὐλοί. Οὕτως καὶ ὦτα γοητεύομαι καὶ ψυχὴν κατεπάδομαι καὶ ὅλως, ὅπερ ἔφην, πρὸς ὑμᾶς ὡς ἀμέσως ὁμιλοῦντας ἐπέστραμμαι, καὶ, τῶν παρόντων ἐκπίπτων, τοῖς ἀποῦσι φανταστικῶς προσίπταμαι. 7. Καὶ παρὰ μὲν τῶν ὑμετέρων φωνῶν οὕτως ἀγαθυνόμενος διατίθεμαι. Δεῆσαν δὲ κἀμοῖς τοῖς ἴσοις ἀντιχαρίσασθαι, ἡ μὲν ἄγαν προθυμία καὶ ἡ τοῦ ἐντυγχάνειν ὑμῖν διὰ γραμμάτων γοῦν ἔφεσις θερμή τις καὶ νεανικὴ, τὸ δὲ ναρκῶδες τοῦ γήρως, ἄλλως τε καὶ οὕτω δυσπραγοῦντος, θᾶττον ἐλέγχεται καὶ τὸ τῆς ψυχῆς ἐξαλλόμενον σβέννυσιν ἐμποδοστατοῦσα ἡ φύσει παρεπομένη ὀλιγοδράνεια. Εἶτα τὸν παρ' Ὁμήρῳ μὲν γέροντα Νέστορα νέοι τρύχουσι μαχηταὶ, πρὸς δὲ τοὺς ἐν παροιμίᾳ δύο οὐδ' Ἡρακλῆς ὁ καλλίνικος. 8. Καὶ πῶς ἐγὼ βραχὺ μὲν ἐμπνέων, βραχὺ δ' ἀναστένων πρὸς οὕτω σφριγῶντας ἐν λόγοις καὶ τοσούσδε ἀτρύτως ἀρκέσαιμι; ἢ πῶς τοιῷδε συστήματι συμπαρεκτεινόμενος πλουσίῳ περὶ λόγους αὐτὸς καὶ βιβλίων ἐψιλωμένος αὐτῶν οὐκ ὀφλήσαιμι γέλωτα, ἀντιταλαντευόντων ὑμῶν τὴν ὁλκὴν τῆς σοφίας καὶ μειαγωγούντων κατὰ πολὺ τὰ ἡμέτερα; Ταῦθ' ὁ πρεσβυτικὸς ὄκνος ὑπαγορεύων σιωπᾶν ὑποτίθεται. Πάλιν δ' αὖ φοβεῖ με τὸ προσέρπον ἑτέρωθεν καὶ πρὸς βίαν ἕλκον ἐπὶ τὸ γράφειν διανίστησι. Κίνδυνος γὰρ ἐπικρέμαται σιωπῶντι καὶ τὴν ἀπὸ τῶν ὑμετέρων γραμμάτων ψυχαγωγίαν ἐπιλιπεῖν με. Οὐ γὰρ δικαιώσετε δήπου προσφθέγγεσθαι τοῦ λοιποῦ τὸν μηκέτι τοῖς αὐτοῖς δεξιούμενον.

9. Τοιᾷδε γοῦν ἀμφικρήμνῳ δυσχερείᾳ στενούμενος, σκέ-

2. *καλῶν* ΛΒ. *ἀηδόντων* Β. *κομικοῦ*. — 3. *ὥσπερ ἄλλον* Β. — 4. *πυρριχίζειν* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *πυρισχίζειν* Β.— 13. *ἐξαλώμενον* Β. — 16. *δύο* Β. — 20. *περιλόγους ταυτὸ καὶ* Β.— 23. *σιωπῆς* Β. — 24. *φοβῇ* Β. *προσέρπων* Λ.— 25. *ἕλκων* Λ.— 29. *σκέψασθαι* Β.

Digitized by Google

ψασθε, ὦ μακάριοι, ὅτι ποτὲ μεμηχάνημαι· εὑρετικὸν γάρ τι χρῆμα τὴν ἀνάγκην φασί. Πολλοὺς ἀνελίξας λογισμοὺς, ἔγνων τελευτῶν μέσην τινὰ τῆς πολυγραφίας καὶ τῆς ἀνεπιστάλτου σιωπῆς τεμεῖν ἀτραπόν· ὅ ἐστι μὴ τὸν καθ' ἕνα ὑμῶν ἀνὰ μέρος τῷ τέως ἐπιστεῖλαι, ὡς τὸ παλαιὸν Ἀθηναῖοι τὸ θεωρικὸν κατ' ἄνδρα διένεμον, ἀλλὰ τὰ πολλὰ συνελεῖν εἰς ἓν γράμμα πᾶσι ξυνὸν, δι' οὗ καὶ πάντας ὁμοῦ προσφθέγξομαι καὶ τὸ καθῆκον ἑκάστῳ ἐν μέρει ἐξοσιώσομαι, αὐτός τε οὐ πράγματα παρέξω ἐμαυτῷ, ἰδίᾳ ἑκάστῳ ἐπιστέλλειν ἐκβιαζόμενος. 10. Οὕτω μὲν οὖν ἐγὼ καὶ διὰ ταῦτα τὸ γράμμα τοῦτο ἓν κοινὸν πᾶσιν ὑμῖν ἐνεχάραξα. Ὑμεῖς δ' ἄξια τῆς ἐπιεικίας ὑμῶν πράττοιτ' ἂν μὴ παρὰ τοῦτο μικρολόγους ἡμᾶς ἢ καινοτόμους νομίσαντες, εἴπερ ἑκάστου ὑμῶν ἐπιστέλλοντος ἰδίᾳ ἡμεῖς κοινῶς ἅμα πᾶσιν ἐπεστάλκαμεν. Πάντας γὰρ ὑμᾶς ἕνα χορὸν ἐν Χριστῷ ἡνωμένον λογίζομαι καὶ μίαν παρεμβολὴν ἱερὰν καὶ ἄλλον ἑρμαϊκὸν κατάλογον καὶ τάγμα μουσόληπτρον, οἷς ἓν ἀπέχρησεν ὡς τὰ πολλὰ ξύνθημα, ὅπερ ἐνδίδωσί τις χοροδιδάσκαλος εἴτε πολέμαρχος, εἰ καὶ ταῖς ἐννέα Μούσαις μίαν Ἀπόλλων ἀντιψάλλει φόρμιγγα. 11. Παρίημι τἄλλα. Ἡ σάλπιγξ τοῦ εὐαγγελικοῦ κηρύγματος ἐνηχεῖ μὲν τὰ ἐπιστολιμαῖα καὶ κατ' ἄνδρα Τίτῳ Τιμοθέῳ τε καὶ Φιλήμονι, τὰ πλεῖστα δὲ κατὰ πόλεις καὶ ἐκκλησίας καὶ ἔθνη πολυανδρούμενα. Οὔκουν καινοτόμος ἐγὼ οἷς ἰδίᾳ καὶ ἀνὰ μέρος ‖ ἔγραφον πρώην νῦν ἐπιστέλλων κοινῶς ὡς ἑνὶ μουσοπόλῳ χορῷ, ὡς ἐκκλησίᾳ μιᾷ Χριστοῦ, ὡς πλειάδι σοφῶν, εἰ καὶ μὴ ἰσαρίθμῳ τῇ τῶν θρυλουμένων,

1. *ὅ τί ποτε* ΛΒ. — 4. *καθένα* Β. — 5. *ἀνὰμέρος* Β. *τωτέως* ΛΒ.— 6. *θεωρητικὸν* Λ. — 7. *προσφθέγγομαι* Β.— 8. *αὐτὸς τὲ* ΛΒ.— 12. *παρατοῦτὸ* Β. — 13. *ὑμῶν* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *ἡμῶν* Β.— 14. *ὑμᾶς* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *ἡμᾶς* Β.— 17. *μουσίληπτον* Λ. *ἐνἀπέχρησεν* ΛΒ. — 20. *τοῦ εὐαγγελικοῦ τοῦ εὐαγγελικοῦ* Β. — 21. *ἄνδρα τί τῶν* Β. — 22. *τε* λείπει Β. *φιλήμωνι* Β. — 23. *πολυάνδρούμενα* Β. — 24. *ἴδια* Λ. ‖ Κώδ. 131,6.— 25. *μουσιπόλω* Λ. *μία* Β. — 26. *θρυλλουμένων* ΛΒ.

Digitized by Google

ἀλλὰ πολλῷ ἐκείνης πυρσευούσῃ πολυαυγέστερον, καὶ, ὡς ἔπος εἰπεῖν, οἷα ἐν κόσμῳ ἐμῷ διὰ φιλίας σφαιρουμένῳ τοῦ ἐμπεδοκλείου πολὺ μονιμώτερον, παρ' ὅσον οὐχ ὑπὸ τοῦ νείκους εἰς πολλὰ μεταβάλλον ἀναλύεται. 12. Οὕτως οὖν ἐνιζομένων ὑμῶν καὶ ὀτῳοῦν ἀναπληρούντων τὸν κύκλον ἢ τὸν σφαῖρον γράφων ὅλῳ καὶ παντὶ γράφοιμ' ἄν. Καὶ νῦν τὸ ἐπεσταλμένον ὑμῖν κοινὸν πᾶσιν ἐν μέρει οὐχ ἕκαστος ἀνὰ μέρος ἰδιώσασθε· ξυμφήσετε δήπου. Χαῖρε τοίνυν τὸ σύνταγμα τὸ ἱερὸν, τὸ μελιχρὸν σμῆνος καὶ ἄκεντρον, ἡ ἑρμαϊκὴ χέλυς, ἡ φιλίας ἀρίστη ἁρμονία καὶ τοῖς ἐμοῖς ὡσὶν εὔηχος. Ναὶ, χαῖρε καὶ μὴ λήγοις προσᾴδουσα καὶ κατεπᾴδουσα τῆς ἀλγυνομένης μου ψυχῆς.

ρεγ'. Τοῖς αὐτοῖς.

1. Ἠπάτησάς με, Κύριε, καὶ ἠπατήθην, ὁ θεῖος Ἱερεμίας φησί που πρὸς τὸν θεὸν, οὐ καθ' ὁμοιότητα δή τινα ἔπεισί μοι καὶ αὐτῷ πρὸς ὑμᾶς εἰπεῖν· «ἠπατήσατέ με, φίλοι, καὶ ἠπατήθην». Ἀλλὰ τὴν μὲν προφητικὴν ἥν τινα δὴ ὑποληπτέον ἀπάτην εἰδεῖεν ἂν καὶ λέγοιεν ὅσοι τοὺς χρησμοὺς διερευνῶνται τοῦ πνεύματος, ἐγὼ δ' ὅπως παρ' ὑμῶν ἐξηπάτημαι, αὐτόθεν ἐπιτροχάζων ὡς οἷόν τε διηγήσομαι. 2. Ὤμην ὑμᾶς, ἀδελφοὶ, ὁμοπάτριδας εἰδὼς, διὰ τῆς αὐτῆς ἐληλυθότας παιδεύσεως, τῷ αὐτῷ συγκεκληρωμένους μεγίστῳ βήματι, ἵνα μὴ τἄλλα καταριθμῶμαι πάντα, ἐν τῷ αὐτῷ νοὶ καὶ τῇ αὐτῇ γνώμῃ κατηρτῖσθαι κατὰ τὸ ἀποστολικὸν παράγγελμα, καί

4. *ἀναλῦ* B.— 10. *εὔηχος* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *εὔηχον* A. — 11. *λήγης* B.

ρεγ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν τῷ λαυρεντιακῷ κώδικι (A), φ. 131,δ - 133,α καὶ τῷ βαροκκικῷ (B), φ. 164,α - 165,α.

Τίτλος. *τῷ τορνίκη κῦρ εὐθυμίῳ καὶ τοῖς λοιποῖς ἁγιοσοφίταις* B. — 17. *διερευνοῦσι* B. — 19. *οἷον* AB. — 23. *κατηρτίσθαι* B.

Digitized by Google

που καὶ ἐμακάριζον ὡς ἐν κακοῖς ἄμεινον ἔχοντας, οἷς, ἐκ τῆς βασιλίδος τῶν πόλεων ἁλούσης κατ' ἄκρας ἀπαναστάντες, οὐκ ἐπ' ἀλλοδαπὴν ἄλλος ἄλλην σποράδες πεπλάνησθε, ἀλλ' ἐπὶ τὴν ἐνεγκαμένην κατιόντες ἀνεκάμψατε καὶ ὡς εἰς ἓν σμῆνος κατὰ Χριστὸν συνεστραμμένοι τὴν τοῦ τυραννικοῦ καιροῦ χαλεπότητα συνδιαφέρετε ἀλλήλοις καὶ διάγετε εὐθυμότερον καὶ ξυμπονεῖτε κοινῶς ἑαυτοῖς μελιχρὰν βιοτήν.

3. Οὕτω μακαρίους ἡγούμην ὡς διὰ ποικίλης μὲν κοινωνίας περιπτώσεων εἰς ἄκρον μυελὸν ψυχῆς συντακέντας, εἰς εἰς ἕνα δὲ κραθέντας κατὰ Χριστὸν ἄνθρωπον. Ἔνθεν τοι καὶ τὸ κατ' ἄνδρα καὶ ἀνὰ μέρος ἐπιστέλλειν ὑμῖν οὕτως ἐνιζομένοις σχασάμενος ὡς περίεργον καὶ ἄλλως ἐμοὶ ἐργωδέστερον, ναρκωδέστερον διακειμένῳ περὶ τὸ λέγειν καὶ γράφειν διὰ τὸν πρεσβυτικὸν μαρασμὸν καὶ τὸν συνεπιθέμενον ἀβουλήτων [δεινῶν] ἐσμόν, ἅπερ συμπάσχειν τε ἅμα καὶ ἰδιοπαθεῖν ἐκβιάζονται, ἔγνων εἰς ἓν γράμμα τὰ πολλὰ συναλείφειν καὶ δι' αὐτοῦ προσλαλεῖν ἅμα τὴν ὑμόπνουν, ὡς ἐδόκουν, φιλότητα.

4. Ἀλλ' ἀπατηλόν τι χρῆμα ἄγνοια καὶ μέθης οὐδὲν ἧττον καὶ ζόφου τοῖς λογισμοῖς ἐπισκοτεῖ. Ἀμέλει τοι καὶ ἡμεῖς, ἀγνοοῦντες ὡς ἐν τῇ αὐτῇ μὲν πόλει, τάχα δὲ καὶ ἐν τῇ αὐτῇ ῥυμοτομίᾳ τῶν στενωπῶν συνῴκισθε, ἑκαστάτω δὲ καὶ πορρώτερον ὑμεῖς ταῖς γνωμικαῖς διαθέσεσιν ἀφεστηκότες ἀλλήλων ἢ ταῖς τοπικαῖς διαστάσεσιν Ἰνδοί τε καὶ Βρεττανοί, Ὑπερβόρεοί τε καὶ οἱ τῆς Διακεκαυμένης γείτονες, φεῦ τῆς ἀπάτης!, ἑνὶ μὲν σώματι κατὰ Χριστὸν ἡρμοσμένῳ γράφειν ἐδόξαμεν, ἐλάθομεν δὲ ἀπ' ἀλλήλων διεσπασμένοις ‖ καὶ νεκροῖς μέλεσιν ἐγκεκραγότες διὰ κενῆς. 5. Ὅθεν οὐδὲ τοῦ

2. *κατάκρας* ΛΒ. *ἐπαναστάντες* Λ. — 8. *διαποικίλης* Β. — 10. *ἔνθέν* ΛΒ.— 12. *ἐργοδέστερον* Β.— 13. *διακείμενος ἐπὶ* Β. — 15. *δεινῶν* λείπει Λ. *ἀβουλήτων δέσμὸν* Β. — 17. *πρὸσλαλεῖν* Β.— 22. *συνώκησθε* ΛΒ.—23. *πορρωτάτω* Β. *ἀφεστήκασε ἀλλήλων καὶ ταῖς* Β.—24. *βρεταροὶ* Β.— 25. *διακαιομένης* Β. — 27. *ἐπ'*ΛΒ. *διεσπαρμένοις* Λ. ‖ Κώδ. 132,α.— 28. *διακενῆς* ΛΒ.

Digitized by Google

ποινοῦ γράμματος κοινῶς ἠκροάσασθε, ὡς αὐτὸς ἐπέσταλκας, ἀλλ' ἄλλος ἐπ' ἄλλῳ ῥιπτάζοντες, ἀνομοίως τοῖς λεγομένοις τῆς Πλειάδος σοφοῖς ὡμοιώθητε. Ἐκεῖνοι μὲν γὰρ, ἐπεὶ χρησμὸς ἐξέπεσε τῷ σοφωτάτῳ δοθῆναι τὸν περιμάχητον τρίποδα, ἕκαστος ἑαυτοῦ σοφωτέρους τοὺς ἄλλους κρίνων διὰ φιλόσοφον ἐπιείκειαν ἐς ἀλλήλους διὰ πάντων ἀνακυκλούμενον περιοδικῶς παρέπεμπον. Ὑμεῖς δὲ, ὡς ἰαμβισμόν τινα παλαιὸν ἢ σίλλον ἄλλον ἢ ἰταλικὸν φάμουσον ἀποτριβόμενοι ἀλλήλοις οἷον ἐνεπλάσσετε, καὶ τὸ καλοῦν ὑμᾶς γράμμα, μέγαν ἐμὸν κόσμον δν ἐτορνεύσατο φιλία, πλατωνικῶς φάναι, τοῦ ἐμπεδοκλείου σφαίρου καινότερον, εἰς ἀλλήλους ἀκόσμως διαστάντες κατὰ νεῖκος σφαιρηδὸν ἠκοντίζετε, ὡς εἴθε γε καὶ προσαθύροντες. Ἐνοποιὸν γὰρ τὸ οὕτως σφαιρίζειν εἴτε μηλοβολεῖν ἢ καὶ παιδιῶδες ἄλλως· νῦν δὲ, ἀλλ' οὐ βούλομαι σφόδρα λυπεῖν, δέος μέντοι οὐ μικρὸν μὴ καὶ τῇ καθ' ἡμᾶς γενεᾷ τὸ προφητικὸν πνεῦμα κατὰ καιρὸν ἐγκελεύσεται «πάλιν συνάχθητε καὶ συνδέθητε τὸ ἔθνος τὸ ἀπαίδευτον».

6. Τοιοῦτον, ὦ σοφὴ καὶ φίλη μοι κεφαλὴ, τὸ ἐμὸν ἀπατηλὸν ἀγνόημα εἴτε ἀτύχημα, ὑμῶν δὲ κοινὸν ἁμάρτημα. Οὐ γὰρ ἂν ὑποστείλωμαι τὸ μὴ οὐκ ἐλέγχειν τοὺς φίλους, τοῦ δέοντος ἀποπίπτοντας· κολάκων γὰρ τὸ πάντ' ἐπαινεῖν φιλίας προσχήματι. Οὐκ ἀπέχρη δὲ ἄρα τὸ κοινῶς ὑμᾶς δυσαρεστῆσαι πάντας τῷ γράμματι, ἀλλὰ καὶ ἰδίαν αὐτὸς μέμψιν προσεπετρίψω, δριμύτερον τὴν ἐπιγραφὴν γραψάμενος· ἥπερ εἶχε μὲν ἐπὶ λέξεως οὕτως τοῖς περὶ τὸν λογιώτατον κῦρ Εὐθύμιον τὸν Τορνίκην λογιωτάτοις διακόνοις. Σὺ δ' ὁ γενναῖος ὑπὸ βαρείας εὐθύνης ἤγαγες, ὡς Ἰω-

1. *ἠκροάσασθε* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *ἠκροάσασθαι* Λ. — 2. *ἄλλος* Λ. — 3. *ὁμοιώθητε* Β. — 5. *σοφωτάτους* Β. — 6. *παροδικῶς* Λ. — 7. *ἰαβισμὸν* Β. *σῖλον* ΛΒ. — 10. *ἐτορνώσατο* Λ. *συ ου ἐμπεδόκ λ έ* Β. — 12. *εἴθέ* Β. — 16. *κατακαιρὸν* Β. *ἐγκελεύεται* Β. *εἰσελεύσεται* Λ. — 21. *γὰρ τοὺς πάντ'* Β. — 22. *δυσαρεσθῆναι* Λ. — 24. *προσεπιτρίψω* Β.

Digitized by Google

νές ποτε τὸ ἐπιβώμιον ἐπίγραμμα, τὸ ΗΡΑΚΛΕΙΤΩ ΕΦΕ-
ΣΙΩ. 7. Ἀλλ' ἐκεῖ μὲν παρὰ τὴν προςῳδίαν τὸ ἀμφίβολον
εἴτε τῷ φιλοσόφῳ Ἡρακλείτῳ ἀνατεθείη ὁ βωμὸς εἴτε τῷ
Ἡρακλεῖ· ἐνταῦθα δὲ, ὡς αὐτὸς ἔφης, εἰς διττὰς ἐννοίας, ἤδη
δὲ καὶ ἐναντίας τὰ ῥητὰ μερίζων καὶ μεριζόμενος ἀμφιβόλως
μὲν εἶχες, οὐδετέραν δὲ καθ' ἡδονὴν προίεσο, παρ' ὅσον καὶ
ἀμφοτέρας θυμοδακεῖς ἐνέμιζες. Δυεῖν γὰρ θάτερον ἔλεγες
τοὐπίγραμμα βούλεσθαι, ἤτοι τὸ καὶ σὲ τοῖς περὶ σὲ περιφέ-
ρεσθαι· οὕτω γὰρ ὠνόμαζες τὸ συνάπτεσθαι καὶ ὡς μηδὲν ὂν
σοί τε κἀκείνοις ξυνὸν ἤλγεις τὴν καρδίαν, ὡς ἂν ἐθνικοῖς ἢ
τελώναις συγκαταλεγόμενος ἢ μόνοις ἐκείνοις ἐγκεχαράχθαι
τὸ γράμμα, οὐ μὴν καὶ αὐτῷ σοὶ, ὥςτ' οὐδ' ἀναπτύσσειν
ἠξίους τὸ μηδέν σοι προςῆκον, ἀλλ' εἰς ἐκείνους παραπέμπειν
οἷς καὶ ἀπέσταλται· ὃ καὶ τεκμήριον τίθεμαι τοῦ μὴ ἐρωτι-
κῶς ἔχειν περὶ αὐτό. 8. Εἰ γὰρ ἤρας, καὶ ἄλλων παρανομούν-
των τοὐπίγραμμα καὶ τοῦ γράμματος ἀλλοτριούντων σε, οὐδ'
οὕτως ἂν αὐτὸς ἀπέσχου τοῦ ἀντιποιεῖσθαι καὶ σοὶ μᾶλλον
προςήκειν αὐτὸ διισχυρίζεσθαι, ὥςπερ καὶ τὸ μῆλον τῆς μυ-
θικῆς Ἔριδος ἑκάστη τῶν ἐπ' αὐτῷ κρινομένων ἐξιδιοῦτο αὐτῷ
ἐπιγράμματι καὶ πρὸς ἑαυτὴν εἵλκεν ὡς τῶν λοιπῶν καλλι-
στεύουσα. Σὺ δὲ ἀλλὰ, καθ' ἑαυτοῦ παρεξηγούμενος τὸ ἐπί-
γραμμα, ἑκὼν ἐξέπιπτες τοῦ κοινοῦ γράμματος καὶ ἤλγεις,
ὡς φῄς, ὑπεροφθεὶς ἀπροςαύδητος, ὀδύνας αὐτὸς σαυτῷ προς-
τιθεὶς, μᾶλλον δὲ δίκας ἐμοὶ διδοὺς τῆς ἀδίκου τῶν γεγραμ-
μένων ἐκδοχῆς. 9. Ἡμεῖς γὰρ, ὡς τὰ πλείω γράμματα, ‖
καθὼς εἴρηται, εἰς ἓν συνείλομεν, ἀκολούθως καὶ τοὐπίγραμμα
συνάγοντες πάντας μὲν πρὸς ὄνομα καταλέγειν παρήκαμεν,
σχήματι δὲ λόγου γοργότητος συλληπτικῶς καὶ κατ' ἄθροι-
σιν ἀνώνυμον, ὡς εἴ τινα κορυφαῖον διαφανῆ καὶ ἔξοχον ὄντα
σε, τοὺς ἄνδρας περιεγράψαμεν, σοὶ τιμὴν ἐντεῦθεν ἀρνύμε-

2.περὶ B.— 6.οὐδ' ἑτέραν Λ. παρόσον ΛB. — 9.ὀνόμαζες B.— 10. σὺ B. — 15. ἦρας B. παρανοούντων B. — 19.ἐκείνη B. ἐπ' αὐτὸ B. ἐξιδιοῦτο αὐτῇ Λ.— 20.καλλιστεύσασα B.—21.παρεξ'ηγούμενος Λ.—23.φῄς B.— 25. ‖ Κώδ.132,6.—30.ἀρνύμενος B.

Digitized by Google

νοι, ὦ θαυμάσιε, ὡς ἂν καθ' ὑπεροχὴν ὠνομασμένῳ καὶ διὰ τοῦ γενεῆθεν ἐπωνύμου κλεΐζομένῳ ἐπισημότερον, παρὰ τῶν παλαιῶν μεμυημένοι καὶ ταῦτα. 10. Σὺ δὲ ἀλλὰ δεινὸς ὢν περὶ λόγους ἀνὴρ κατ' ἐκεῖνον ὃς τάχα κεν καὶ ἀναίτιον αἰτιόωτο, τὸ ἐξαῖρον τὰ κατὰ σὲ σέμνωμα σοφιστικώτερον στρεβλώσας εἰς ἐννοίας ἀτόπους καὶ ἀλγεινάς σοι περιηγκώνισας, δι' ἃς οὐκέτι ἔτλης, ὡς δεληλωκας, ἄντην εἰσιδέειν τοὐπίγραμμα ὡς ἔχθιστόν σοι μᾶλλον ἢ τοῖς σταυρωταῖς ὁ τίτλος τοῦ σωτηρίου σταυροῦ, πολλοῦ γε ἔδει ἀναπτύξαι κἀπὶ τὰ ἔνδον παρακύψαι ὡς εἰς ἄλλο χάσμα χαρώνειον, οὕτω ῥιγίστης ἀποφορᾶς ἐν προθύροις εὐθὺς ὀσφραινόμενον καὶ οἷον ἀποπνιγόμενον. Ὅτε μὲν γὰρ ὡς συνάπτον σε τοῖς σοῖς πολίταις καὶ συνδιακόνοις ἱεροῖς ὑποβλέπων τοὐπίγραμμα, ἄλλην συμφορὰν οὐκ ἀνασχετὴν τὴν περιφορὰν ἐνόμιζες, ὅτε δ' αὖ οὐχὶ καὶ σοί, ἀλλὰ τοῖς περὶ σὲ μόνοις γεγράφθαι τὸ γράμμα δῆλον ἐφαντάζου, ἅτε παρὰ θύρας ἥκον ἀπερρίπτεις θύραζε καὶ οὐ χειρὶ κατὰ τὸν εἰπόντα διπάλτῳ, ἀλλὰ διπλόῃ πεπανουργευμένης ἐκδοχῆς αὐτὸς σαυτὸν κεντῶν ἐβασάνιζες.

11. Ἀλλ' ἵνα γνοίης ὅτι μάτην τετάραξαι, λογισμῶν οὐκ ἀγαθῶν ἀναβεβηκότων ἐν τῇ καρδίᾳ σου καὶ ὡς οὐδέν ἐστιν ὑγιὲς ὧν δοκεῖς σάφ' εἰδέναι, ἄλλους μὲν λόγους τέκτονας ἀγαθοὺς χρωμένους τῷ τοιῷδε σχήματι οὐχὶ κατὰ τὴν διπλόην τῆς σῆς ἐκδοχῆς, ἀλλὰ κατὰ τὴν ἐμὴν τὴν ἁπλῆν τε καὶ ἀληθῆ παρήσω τῷ τέως, μὴ καὶ [εἰς] ἄπειρον μῆκος ἐπεκταθῇ μοι τὸ γράμμα. Τὸν ποιητὴν δὲ παραστήσομαι πρῶτον, ὃς πολλαχοῦ μὲν τὰ ἔπη κοσμεῖ τῷ τοιούτῳ σχήματι,

3. *μεμυημένοι* B.— 4. *τάχα* A.— 5. *τὸ κατὰ* B. — 6. *περιηγκώνισας* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *περιηγκώνησας* A. — 7. *εἰσιδέειν* B.— 9. *ἀναπτῦξαι* B.— 12. *γὰρ ὁ συνάπτον* A.— 13. *ὑπεβλέπω* A. *ὡς βλέπω* B.— 14. *ἀνασχετὸν* A. — 15. *γέγραφθαι* A. — 16. *δηλῶν* AB. *παρὰ θύροις ἥκειν* B.— 20. *ἐστιν ὡς δοκεῖς* A.— 22. *τὴν* λείπει B. — 23. *ἐμὴν διπλῆν τε*, τῆς λέξεως *διπλῆν* γεγραμμένης ἐπὶ διεξεσμένων γραμμάτων, τὰ νῦν ἀδιαγνώστων A. — 24. *ἀληθῶς* B. *τωτέως* AB. *εἰς* λείπει AB. *ἐπεκταθῆ* B.

Digitized by Google

μᾶλλον δὲ τοὺς διαφανεστέρους τῶν ἡρώων σεμνύνει διὰ τῶν οὕτω σχηματιζομένων ἐπῶν, οὐ μὴν δὲ ἀλλὰ καὶ ἐν τῇ πρώτῃ παρατάξει τῆς συμβολῆς οὕτω γράφων·

www.kooksoon.cn

οἱ μὲν ἐκήρυσσον, οἱ δ' ἠγερέθοντο μάλ' ὦκα,
οἱ δ' ἀμφ' Ἀτρείωνα διοτρεφέες βασιλῆες
θοῦνον κρίναντες.

Καὶ αὖθις·

Οἱ μὲν ἄρ' ἀμφ' Αἴαντε καὶ Ἰδομενῆ' ἄνακτα,
Τεῦκρον, Μηριόνην τε Μέγην τ' ἀτάλαντον Ἄρηϊ
δυσμίνην ἤρτυον.

12. Τί πρὸς ταῦτα ἐρεῖς; Πότερον Ὅμηρος Ἀγαμέμνονα Αἴαντάς τε καὶ τοὺς ἄλλους τῶν Ἑλλήνων ἡγεμόνας τῇ περιλήψει τῶν ἀμφ' αὐτοὺς κοινώσας εἰς τὴν σὴν δακνηρὰν συμπεριφορὰν κατήνεγκεν, ἢ τοὺς μὲν περὶ αὐτοὺς ὁρμᾶν καὶ ἀρτύειν τὴν μάχην φησὶν, αὐτοὺς δ' ἀπομάχους ποιεῖ, σχολὴν ἄγοντας κατ' ἴσον τῷ Ἀχιλλεῖ; Ὁρᾷς ὅπως τὰ τῆς ἐκδοχῆς ἑκατέρωθεν ἄτοπα. 13. Τάχα δ' ἂν Ὅμηρον παραγράψαιο, ἀφέτῳ γλώττῃ καὶ αὐτονόμῳ τὰ πολλὰ τερθρευόμενον κατ' ἐξουσίαν ἀνεύθυνον καὶ μουσόληπτον, ἀλλ' οὐκ ἐκεῖνο τὸ θεολογικὸν, ὅτι καὶ φατρία τις περὶ ἡμᾶς οὐκ ἀγεννὴς ἦν ὑπ' ἐκείνῳ καθηγεμόνι παιδευομένη. Μῶν καὶ ὁ πάνσοφος οὗτος πατὴρ περὶ ἑαυτὸν καὶ τὸν ἑταῖρον Βασίλειον φήσας φατρίαν τινὰ Ἑλληνίδα τάχα καὶ πολύθεον ἢ τῇ συμπεριφορᾷ ἤσχυνεν ἄμφω ἢ τῆς ὑπὸ καθηγεμόνα τῷ θείῳ Βασιλείῳ φατρίας ἠλλοτρίωσεν; Ἄπαγε.

14. Παραγέσθω καὶ τρίτος μάρτυς, ὁ τῶν θείων Εὐαγγελιστῶν ἑλληνικώτερος τὴν γλῶτταν ‖ καὶ ῥητορικώτερος, ἵνα

1. *μάλ'* B.— 5. *ἀμφατρείωνα* Λ.— 6. *θόυνον* ΛB.— 8. *μὲ'ν* Λ. — 8. *αἴαν τε* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *αἴαν τε* B. *ἰδομενῆ* Λ.— 9. *ἀτάλαντος* Λ. — 13. *περιλήει* Λ.— 16. *κατίσον* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *κατῖσον* Λ. *κατῖσον* B.— 18. *κατερθρευόμενον* Λ.— 19. *κατεξουσίαν* B. — 20. *τίς* Λ. *τις* λείπει B. *οὐκ* λείπει B. — 23. *βασιλεῖον* B.— 26. *ὁ τρίτος* Λ. — 27. *ἑλληνικώτατος* B. ‖ Κώδ. 133,α. *ῥητορικώτατος* B.

Digitized by Google

σταθῇ τὸ παρ' ἡμῶν λεγόμενον ῥῆμα. Γράφει γὰρ καὶ οὗτος ἐν ταῖς Ἀποστολικαῖς πράξεσιν ὧδε· «ἀναχθέντες δὲ ἀπὸ τῆς Πάφου οἱ περὶ τὸν Παῦλον ἦλθον εἰς Πέργην τῆς Παμφυλίας καὶ διελθόντες ἀπὸ τῆς Πέργης ἦλθον εἰς Ἀντιόχειαν τῆς Πισιδίας». Ὅρα κἀνταῦθα τὸν σοφὸν τοῦτον Ἀπόστολον, οὗ τὰ χείλη, κατὰ τὸ Ἄσμα τῶν Ἀσμάτων, σπαρτίον κόκκινον, καὶ εἴ σοι βουλομένῳ ἐστὶν ἐπενέγκωμεν ποτὶ σπάρταν ταύτην τοὺς τῆς ἐπιγραφῆς λίθους, τὸν τ' ἐμὸν τὸν ἀποδοκιμασθέντα παρὰ σοῦ καὶ τὸν σὸν τὸν τοῦ σκανδάλου, τὸν τοῦ προσκόμματος. 15. Πρὸς τοῦτον γὰρ ἀπευθύναντες ὀψόμεθα πότερον αὐτῶν ἐνδιαστρόφως ἔχει· ὀψόμεθα δὲ οὕτως. Εἰ μὲν Παῦλον ὁ Λουκᾶς τῇ συμπεριφορᾷ τῶν περὶ αὐτὸν καταβάλλει ἢ τοὺς μὲν περὶ αὐτὸν ἀναχθέντας ἀπὸ τῆς Πάφου φησὶν ἐλθεῖν εἰς Πέργην, κἀκεῖθεν εἰς Ἀντιόχειαν, αὐτὸν δὲ Παῦλον ἐν Κύπρῳ ἀπολελεῖφθαι, ἄριστα τὴν ἀμφίκρημνον ἐκδοχὴν τῇ ἐπιγραφῇ ἐφήρμοσας καὶ σὸς ἔσται ὁ πυραμοῦς καὶ περιγενόμενος ᾄσεις «τήνελλα καλλίνικος». 16. Εἰ δὲ μηδέτερον τούτων ἀληθές· τόν τε γὰρ Παῦλον ἐκθειάζων ἐξαίρει ὁ Λουκᾶς καὶ τοῖς ἐκ Πάφου καὶ Πέργης εἰς Ἀντιόχειαν ἐλθοῦσι συνέκδημον εὐθὺς ἱστορεῖ καὶ δημηγοροῦντα τοῖς ἐκεῖ· ἐπίγνωθι ὅπως ἐγὼ μὲν ἐπιστέλλων δεξιᾷ χειρὶ ἐπιγέγραφα, ἐξαίρων καὶ κυδαίνων σε τῷ καθ' ὑπεροχὴν σχήματι, ὅποίῳ Ὅμηρος μὲν Ἀτρείδην καὶ Αἴαντας καὶ τοὺς λοιποὺς ἥρωας, Γρηγόριος δὲ ἑαυτὸν καὶ Βασίλειον καὶ Λουκᾶς Παῦλον, σὺ δ' οὐκ οἶδ' ὅπως ἐν λαιᾷ τοῦτ' ἐδέξω καὶ ἐξεδέξω σοφιστικώτερον, μᾶλλον δὲ καὶ ἀμφοτέραις ἀπώσω ὡς μηδαμοῦ καταθύμιον.

17. Εἰ δὲ λέγων εὖ οὕτω πράγματ' ἔχω καὶ παραδιάζομαι ἀποδύεσθαι δι' ἀδολέσχου μακρηγορίας εἰς ἀπολογητικοὺς ἀγῶνας, πεφυλαγμένος μὴ παλαιᾶς ἐκπέσω φιλίας διὰ κα-

7. *ἐπενέγκομεν* B.— 11. *πρότερον* A. *αὐτὸν ἐκ τοῦ τὸ πρῶτον γραφέντος αὐτῶν* A. — 17. *μηδέτερον* A. *μηδ' ἕτερον* B. — 21. *ἐπιστέλλω* B. — 24. *γρηγόριον* B. *δὲ* λείπει B.— 26. *μηδαμοῦ* A. — 28. *πρᾶγματ'* B.

Digitized by Google

χύποπτον ὑπόνοιαν, τί ποτ' ἂν πάθοιμι τλήμων ἐγὼ εἴ τί που ἐκμελὲς λάθω φθεγξάμενος; 18. Ἄμεινον οὖν σιωπᾶν, ὅπερ καὶ ἄλλως συμπίπτον ἀνάγκη δήπου στέργειν, εἴπερ, ὡς διεμηνύσω μοι, εἰς Ἀσίαν μετάκλητος γεγονὼς δεῖν ἔγνως ἐκεῖ μεθορμίσασθαι, ἔνθα ἀνέφελος αἴθρη πέπταται, ἔνθα ὁ τῆς καθ' ἡμᾶς ἱερωσύνης ἥλιος, παρ' ᾧ βιοτεύων τῆς καθ' ἡμᾶς ἐσχατιᾶς καὶ τοῦ κότου καὶ ζοφεροῦ λειμῶνος τῆς ἄτης ἐπιλήσῃ τελέως καὶ οὐδ' ἐπιστέλλειν καὶ ἀντεπιστέλλειν ἐξέσται τοῦ λοιποῦ. Μέγα γὰρ τὸ μεταξὺ χάσμα ἐστήρικται. 19. Τάχα δὲ καὶ αὐτὸς οὐκ εἰς μακρὰν ἐνθένδε μεταβὰς διαστήσομαί σου μείζονι πολλῷ χάσματι. Τί γὰρ ἄλλο δι' ἐλπίδος ἡμῖν τοῖς ἐπὶ γήραος οὐδῷ βραχύ τι καὶ τεθνηκὸς ἤδη πνέουσιν; Ἀλλ' ὅποι ποτὲ καὶ διάγοις, ὦ φίλη ψυχή, τοῦ θεοῦ τὰ κατὰ σὲ διακυβερνῶντος εἴης εὐδαιμόνως ἔχων καὶ ἡμᾶς ἐν μέρει μνήμης ἀεὶ τιθέμενος καὶ μάλιστα ἐν ταῖς ἱεραῖς προσευχαῖς. Προσειρήσθω παρ' ἡμῶν ὁ πανσέβαστος Δαξαπατρής.

ριθ'. Τῷ Πιστοφίλῳ κῦρ Νικολάῳ.

1. Ἰοὺ ἰοὺ τῆς εἰρωνείας εἴτε καὶ θρύψεως, οἷα πρὸς ἡμᾶς, ὦ γενναῖε, σκηνικευόμενος οὐκ ὀκνεῖς ἀκκίζεσθαι. Εἰς παραίτησιν γὰρ τοῦ ἐπιστέλλειν προσωπεῖον τοῦ θείου προβεβλημένος ‖ Ἱερεμίου, προσποιῇ μὴ εἰδέναι λέγειν οἷα νεώτερος. 2. Σὺ νεώτερος καὶ παρὰ τοῦτο λέγειν καὶ γράφειν ἀτολμότερος, ὁ πρὸ τούτων δέκα ἐνιαυτῶν πρὶν πρώτης ὑπήνης θρέψαι μύστακα ἐν τῇ μεγάλῃ πόλει προχειρισμένος διδάσκαλος, ὁ ἐπ' ἀναβάθρᾳ μετεώρῳ ἱστάμενος καὶ τῷ περιεστη-

1. *τι* ΑΒ. *ποῦ* Β.— 12. *βραχύτητι* Β.— 13. *ὅποιποτε* Α. *ὁποίποτε* Β. *διάγεις* ΑΒ.

ριθ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 133,α - 133,δ.

21. ‖ Κώδ. 133,δ. — 25. *μετεώρου* Β.

Digitized by Google

κότι λογίῳ θεάτρῳ ἐπιδεικνύμενος καθ' ἑκάστην πανήγυριν καὶ ὡς ὁ δωδεκαετὴς Ἰησοῦς τοῖς παλαιοῖς νομοδιδασκάλοις θαυμαζόμενος διὰ τὴν παρ' ἡλικίαν σοφίαν καὶ τῶν πεύσεων σύνεσιν; Σὺ συλλαβὰς ἐπιστολιμαίας γράφειν οὐχ οἷός τε εἶ, ὁ σχεδιάζων ἀποτάδην καὶ ῥύδην διδασκαλικὰ λαρυγγίσματα; 3. Καὶ τότε μὲν οὐκ εἰς κόρον τραφεὶς πω ἐξηρεύγου λόγους ἀγαθοὺς καὶ εἱστίας ὅλα θέατρα. Νῦν δὲ, τῆς ἀπὸ τῶν βίβλων τροφῆς κατὰ σχολὴν πολλὴν ἐμφορούμενος καὶ εἰς σιτευτὸν σοφιστὴν ἀποτελούμενος ἢ οἰκειότερον φάναι ὡς γραμματεὺς μαθητευθεὶς εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἐοικὼς οἰκοδεσπότῃ ἐκ τοῦ θησαυροῦ αὐτοῦ ἐκβάλλοντι καινὰ καὶ παλαιὰ, οὐδὲ γράμμασι προσεννέπειν ἀξιοῖς καὶ φιλοφρονεῖσθαι προσρήσεων δεξιώσεσι, σκηπτόμενος τὴν νεότητα; 4. Μὴ γὰρ ἐπὶ δημηγορίαν προκαλούμεθά σε, ἵνα τὸ μὴ ἐπιβῆναί πω τεσσαρακονταετίας προβαλῇ πρὸς παραίτησιν, ὁπότε γε καὶ λαλιστέρους μᾶλλον ὁρῶμεν τοὺς νέους ὡς τὰ πολλά; Καὶ θερμότερον γὰρ ἡ νεότης εἰς ἅπαν, ἐπεί περ καὶ φιλοτιμότερον· τὸ δὲ γῆρας ναρκῶδες ὡς ἀφιλότιμον καὶ, εἴ ποτε ἀδολεσχεῖ, ληροῦν ἢ κομπάζον λογίζεται. 5. Ἅπερ καὶ αὐτὸς νομισθῆναι φυλαττόμενος, δεῖν ἔγνων συντέμνειν τὰ γράμματα καὶ πρός γε ἵνα μὴ ἐκτείνων καὶ σὲ συνεπεκτείνεσθαι παραδιαζόμενος ὀκνηρότερον πρὸς τὸ ἀντεπιστέλλειν ποιῶ. 6. Προειρήσθω ἡ σεμνοτάτη ἀδελφὴ, ἡ τὸ τῆς χηρείας ἀξίωμα μικροῦ τῇ Παρθένῳ ἀποτελέσασα ἰσοστάσιον, εἶπω δ' ὅτι ὡς καὶ ἄλλως πλεονεκτοῦν, κατά γε τὸ προσενηνοχέναι Χριστῷ τιμίου γάμου ἅγιον κάρπωμα.

---

4. *οἷος*.— 6. *ἐξηρρεύγου*.— 14. *ἐπιβῆναι*.

Digitized by Google

ριε΄. Τῷ ἰατρῷ κῦρ Νικολάῳ τῷ Καλοδούκῃ.

www.libtool.com.cn

1. Καὶ ἄλλα μὲν σαφῆ τεκμήρια τῆς σῆς περὶ ἡμᾶς ἐπαινετῆς διαθέσεως πολλάκις παρέσχου μοι ἐν καιρῷ, ἀγαπώμενε υἱὲ, οὐ μόνον ἡνίκα ὁ λύχνος τῆς εὐημερίας περιέλαμπε τὰ καθ' ἡμᾶς καὶ πολλοὺς ἐφείλκετο πρὸς αὐτὰ, ἀλλὰ καὶ νῦν ὅτε περικέχυταί μοι τῆς δυσπραγίας ἡ νὺξ καὶ οὐδὲ τοῖς ἔγγιστα σχεδὸν ὁρατός εἰμι καὶ γνωστός. Μάλιστα δὲ ἐκεῖνο τεθαύμακα, ὅτι διὰ γράμματος ἡμετέρου μαθὼν μοχθηρᾷ κεχρῆσθαί με τροφῇ κατὰ τὴν ξεναγὸν ἡμῶν ταύτην νῆσον καὶ κινδυνεύειν νόσῳ περιπεσεῖν, οὐκ ὤκνησας ἐπορέξαι μοι τὴν δυνατὴν βοήθειαν. 2. Ἐπεὶ γὰρ αὐτὸς διαπορθμευθῆναι πρὸς ἡμᾶς καὶ τὴν παρὰ τῆς τέχνης ἐπικουρίαν προσενεγκεῖν οὐχ οἷός τε ἦς, ἐκεῖνο ἐπενοήσω προμηθὲς καὶ σοφὸν, διαπέμψαι μοι δέλτον γαλήνειον, ἐν ᾗ τὰ Περὶ ὑγιεινῶν διαιτημάτων ὁ θαυμάσιος ἐκεῖνος διέξεισιν, ὡς ἂν ἐκεῖθεν διαλεγόμενος ὅσα τῶν βρωτέων καὶ ποτέων καὶ γυμνασίων ὑγιεινὰ, τούτοις χρῶμαι, ὡς οἱ πάλαι καλούμενοι φιλίατροι, καὶ τὴν ἐκ τῶν νοσερῶν προσαρμάτων ἐρανιζομένην κακοχυμίαν ὑποτέμνωμαι.

3. Ἐπῆνεσα μὲν οὖν ἣν ἔθου πρόνοιαν ἡμῶν καὶ ἐπηυξάμην σοι πολλὰ κἀγαθά. Ἴσθι μέντοι, οὐ γὰρ ἀποκρύψομαί σε τἀληθὲς, ὡς οὐδὲν πλὴν ψιλῆς γνώσεως ἀπωνάμην τῆς ὑγιεινῆς πραγματείας εἴς γε τὸ χρήσασθαι πραγματειωδῶς καὶ τὴν ὑγίειαν φυλάξαι ‖ ἐμαυτῷ. 4. Καὶ ὅπως, ἄκουε· τῶν βιβλίων τῆς ὑγιεινῆς ταύτης τέχνης ἓξ ὄντων ἁπάντων, τὰ πέντε σχεδόν τι περὶ ἑνὸς πεπραγμάτευται σώματος, τοῦ εὐ-

ριε΄: Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 133,6 - 134,6. Ἐδημοσιεύθη δὲ τὸ πρῶτον ὑπ' ἐμοῦ ἐν Ἀθηναίου τόμ. Ϛ΄. σ. 364 κ. ἑ.

7. *κεχρῆσθαι.* — 8. *ξεναγὸν.* — 12. *οἷος.* — 13. *διηγημάτων.* — 19. *ἐπηνέσαμεν οὖν.* — 20. *ἀποκρύψωμαί.* — 23. *ὑγείαν.* ‖ Κώδ. 134,α.

Digitized by Google

κράτου δῆλον ὅτι καὶ τὴν κατασκευὴν ἀρίστην ἔχοντος καὶ ἄμεμπτον, ὅπερ φύσει καὶ ἐξ αὐτῶν τῶν πρώτων ἀρχῶν τῆς γενέσεως τοιοῦτον πεφυκὸς διά τε τροφῶν καὶ γυμνασίων ἁρμοδίων ἑκάστῃ ἡλικίᾳ ἐπασκεῖσθαι διακελεύεται ἀπ' αὐτῶν δὴ τῶν σπαργάνων ἕως ὠμογέροντος καὶ πεμπέλου ὅ ἐστιν ἐσχατογέροντος. 5. Ἅπερ οὐδὲν ἐμοὶ προσήκει ὡς οὔτε τοιούτῳ τετυχηκότι σώματι, οὔτε τῶν πρὸ τοῦ γήρως ἡλικιῶν ἑκάστῃ γυμνασαμένῳ ὡς ἡ Μέθοδος ὑποτίθησιν, ὥστ' οὐδὲ τοῖς προστάγμασι τοῦ γηροκομικοῦ μέρους τῆς ὑγιεινῆς ἀκολουθεῖν οἷός τέ εἰμι. Πῶς γὰρ ᾧ γε οὐδὲ τὸ ποιητικὸν ἐκεῖνο ῥᾴδιόν ἐστιν ἁρμοδίως τῷ γέροντι ῥαψῳδούμενον, ἐπὰν λούσαιτο φάγοι τε εὐδέμεναι μαλακῶς· ἡ γὰρ δίκη ἐστὶ γερόντων, οὐκ ὄντος τὴν ἀρχὴν βαλανείου ἐνταῦθα, ἀλλ' ἐν οἰκίσκοις τῶν νησιωτῶν λουομένων ἀκλεί-στοις, ὧν ἔνδον καθήμενοι γυμνοὶ θάτερον μὲν μέρος τοῦ σώ-ματος θάλπονται τῷ παρακεκαυμένῳ πυρὶ, θάτερον δὲ ψύ-χονται οὐδὲν ἧττον ἢ εἴπερ ἐν αἰθρίῳ ἀφιματωμένοι ἐκάθηντο· εἶτα καταχεάμενοι τὸ ἔξωθεν εἰσφερόμενον ἐπὶ ποδονιπτῆρος θερμὸν ὕδωρ ἐξιᾶσιν ἀλγοῦντες τὰς κεφαλὰς ἐκ τοῦ καπνοῦ δήπου τῆς παρακαιομένης πυρκαΐᾶς, ὡς τοὺς συνόντας ἡμῖν φεύγοντας τὸν κεφαλαλγῆ καπνὸν τῶν τοιῶνδε βαλανείων, ἑλέσθαι μᾶλλον πυρὶ πυρετοῦ ἁλουτοῦντας περιπεσεῖν. 6. Καὶ μή μοι διαπιστήσῃς γράφοντι ὡς οἱ οὕτω λουόμενοι θάλπον-ται ἅμα καὶ ῥιγοῦσιν ἐν μέρει, οὐκ ἀνὰ μέρος ὡς οἱ τῷ ἠπιάλῳ περιπίπτοντες, καὶ ἐξιᾶσιν οὐκ οἶδα εἴτε ἡμίεφθοι εἴτε ἡμί-φλεκτοι. Τὸ γὰρ ἀνώμαλον τοῦτο λοῦμα οὐκ ἔχω ποτέρᾳ τῶν ἀντικειμένων, τῇ ἐψήσει καὶ ὀπτήσει παρεξετάσαιμι, ἆρα τῇ μολύνσει λεγομένῃ ἢ τῇ σταθεύσει. 7. Πέπεισμαι δὲ τοῦτο καὶ αὐτὸς οἷς ὁ τῆς νήσου ἐπίσκοπος διηγήσατο, λέγων γυμνοῦσθαι μὲν τὸ λοιπὸν ἅπαν σῶμα ὅτε λούεται, τὴν

1. *δηλονότι*.— 6. *οὔτε - σώματι* παρελείφθησαν ἐν τῷ Ἀθηναίῳ κατὰ τυπογραφικὸν λάθος.— 9. *γερωκομικοῦ*.— 10. *οἷος*. 12. *εὖ δέμεναι*. — 17. *ἀφειματωμένοι*. — 24. *ῥιγῶσιν*.

Digitized by Google

δὲ κεφαλὴν κεκαλύφθαι, μὴ καὶ καταψυχθῇ φυλαττόμενος, ὀψὲ δὲ καὶ μέλλων ἐξιέναι καὶ ταύτην γυμνουμένην λούεσθαι. Ὥςτ' ἀναμνησθεὶς ἣν ἤκουσά ποτε μειράκιον ἐνδημώδη παροιμίαν ἐμειδίασα· καὶ οὐκ ἦν ἄρα, ἔφην, πάντη ψευδὲς τὸ λούσαι τόνδε τινὰ καὶ μὴ βρέξῃς λεγόμενον, εἴπερ καὶ νῦν εὕρηταί τις λουόμενος καὶ μὴ βρέχων τὸ τῶν ὀργανικῶν μορίων κεφαλαιωδέστερον. Μανθάνω δὲ ὡς καὶ τοὐναντίον εὕρηται, ἐνίων τὴν μὲν κεφαλὴν λουομένων, τὸ δὲ λειπὸν σῶμα ἐώντων ἄβροχον. 8. Εἰ οὖν οἱ ἐνδαποὶ καὶ τῶν τοιούτων βαλανείων ἐθάδες οὕτως ὑποφείδονται τοῦ ὁλικῶς λούεσθαι, τίς ἂν ἀλλοδαπὸς καὶ γέρων καταθαρρήσειε τῶν τοιούτων, εἰ μὴ θανατᾷ καὶ τἀπιτάφια ἐφίεται λούσασθαι ἢ ἐκ γενετῆς αὐτῆς τῷ ψυχρολουτεῖν ἐνεγυμνάσατο ὥςπερ καὶ τὰ νεογνὰ τῶν Κελτῶν εἰς τὸ ῥεῦμα τοῦ Ῥήνου ἐμβάπτονται; 9. Οὕτω μὲν οὖν καὶ διὰ ταῦτα οὐδὲ τὸ ἁπλοῦν τοῦτο καὶ ποιητικὸν παράγγελμα τῆς γηροκομικῆς μεθόδου, τὸ λούεσθαί φημι, φυλάττειν ἡμῖν ἔξεστι· πολλοῦ γε δέομεν τὰ ἐργώδη ἐκεῖνα διαπράττεσθαι, τὰς σὺν λίπει ἀνατρίψεις μετὰ γυμνασίων καὶ πρὸ βαλανείων τὰς αἰωρήσεις καὶ ὁποιασοῦν κινήσεις, δι' ὧν ῥιπιζόμενον τὸ ἔμφυτον θερμὸν οὐ κινδυνεύει διὰ παντελοῦς ἡσυχίας σβέννυσθαι‖. 10. Πῶς δὲ καὶ πορισόμεθα τὰ ὑγραίνοντα καὶ θερμαίνοντα τὸ ξηρὸν καὶ ψυχρὸν γῆρας βρωτὰ καὶ ποτά; Ποῦ γὰρ παρὰ τοῖς Κείοις τοῖςδε, οὐδαμῶς ἰχθυωμένοις, κρέατι δὲ καὶ τυρῷ μόνον ὄψῳ χρωμένοις, ἰχθύες πετραῖοί τε καὶ πελάγιοι, ἔνθα οὐδὲ ὅσα λαπάττει γαστέρα κηπεύεται; 11. Οὐ γὰρ εὔυδρος ἡ νῆσος, ἀλλ' ἄχλοος καὶ πλὴν τῆς βαλανηφόρου φηγοῦ πάντη ἄδενδρος. Ῥᾳδίως ἂν χρησαίμεθα τοῖς φύσει θερμοτέροις οἴνοις, Λεσβίῳ καὶ Μυσίῳ τῷ Ἀσιανῷ καὶ τοῖς καλλίστοις τῶν Τμωλιτῶν καὶ τῷ ἐξ Ἰταλίας Φαλερίνῳ καὶ Σωρεντίνῳ,

3. ἤκουσα ποτὲ. — 5. τὸνδέτινα. — 13. ἐνεγυμνάσατο. — 16. γηρωκομικῆς. — 19. προβαλαρείων. — 21. διαπαντελοῦς. ‖ Κώδ. 134,6. — 25. πετραῖοι τὲ. — 27. ἄχλους κατὰ τυπογραφικὸν λάθος ἐν τῷ Ἀθηναίῳ.

www.libtool.com.cn

Digitized by Google

εἴ γε διὰ τὸ κερασθὲν ἡμῖν παρὰ τῶν Ἰταλιωτῶν κόνδυ πικρίας δεῦρο πεφευγότες ἄσμενοι τὸν ὀθενοῦν κομιζόμενον δεχόμεθα καὶ πίνομεν ἥδιστα, εἰ καὶ ἄλλως πευκεδνὴς ἴσως εἴη ὡς ὑπὸ δᾴδων πικροποιούμενος. 12. Ἀλλὰ φαρμάκοις ἡμῖν ἔξεστι χρῆσθαι τῷ διοσπολιτικῷ ἢ τῷ διὰ καλαμίνθης ἢ τῷ διὰ τριῶν πεπέρεων ἢ τῷ δι' ἐχιδνῶν ἀντιδότῳ ἢ τῇ ἀμβροσίᾳ καὶ ἀθανασίᾳ καλουμένῃ; Τί λέγω φαρμάκοις, ὁπότε οὐδὲ ἄρτῳ σιτανίῳ καὶ ζύμης καὶ ἁλῶν καὶ ὀπτήσεως εὖ ἔχοντι τρεφόμεθα, οὐδὲ δυνάμεθα μὴ οὐ καταχρῆσθαι ὠοῖς καὶ τυρῷ, τῇ μοχθηροτάτῃ τοῖς γέρουσι τροφῇ, διὰ σπάνιν τῶν εὐχρηστοτέρων καὶ οἷα ἡ γαλήνειος ὑγιεινὴ παρατίθησιν. Ὅ γοῦν ἔφθην εἰπὼν, ψιλὴν καὶ μόνην γνῶσιν ἡμῖν ἡ σταλεῖσα δέλτος ἀπεχαρίσατο. Ὅμως καὶ οὕτως χάρις σοι γένοιτο, τὴν δυνατὴν ψυχαγωγίαν ἐπορέγοντι.

ρες'. Τῷ ἀνεψιῷ αὐτοῦ κῦρ Μιχαήλ.

1. Περιπόθητέ μοι ἀνεψιὲ, εἴης ὑγιαίνων καὶ ὡς ἐξὸν ἐν τοιούτῳ καιρῷ ἄμεινον ἔχων μετὰ τῶν προσγενῶν πάντων. Ζῶμεν καὶ ἡμεῖς. Διὰ τοῦ Θωμᾶ πρὸς ἅπερ ἔγραψας ἀντεγράφη σοι. Καὶ τὰ [ἐν] ἐκείνῳ μὲν μαθήσῃ, ἀποκομισθέντι διὰ τοῦ αὐτοῦ Θωμᾶ. Τὰ νῦν δὲ ἔχω τι γράψαι σοι. 2. Ἀπεδεξάμην τὴν ἐν τῷ προτέρῳ γράμματι συμβουλήν σου, ὑποτιθεμένην στῆσαι τὰς ἀσκέπτους καὶ ἀδοκιμάστους χειροτονίας καὶ οἷος ἦν τῇ ἀγαθῇ βουλῇ πείθεσθαι. Ἐπεὶ δὲ καὶ διὰ τοῦ ὑστέρου γράμματος ἠξίωσας προβολὴν ποιήσασθαι ἡγουμενείας καὶ τῆς Μάκρης παράδοσιν, ἐπῆλθέ μοι πρὸς σὲ τὸ ποιητικὸν ἐκεῖνο ὑποφθέγξασθαι «ἀνὴρ ὅδ' οὐκέτ' αὐτὸς ἐκνεύει πάλιν»

θ

5. *διακαλαμίν.* — 6. *τῇ δι'.* — 8. *σιτανείω.*

ρες'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 134,6 - 135,6.

18. *ἐν* λείπει.— 19. *ταῦν. τι.*— 24. *ἐπῆλθε.*

Digitized by Google

καὶ τὸ γραφικὸν «εἰ γὰρ ἃ ᾠκοδόμησα ταῦτα καθαιρῶ». Καί μοι ἔδοξας τῇ μὲν δεξιᾷ χειρὶ ἐπέχειν τὴν χεῖρά μου μὴ πρὸς χειροτονίαν ἐκτείνεσθαι, τῇ δὲ λαιᾷ συστελλομένην βιάζεσθαι αὖθις εἰς ἔκτασιν. Τοῦτο δὲ πέπονθας οὐχ ὡς ἐλαφρός τις καὶ πρὸς τἀναντία εὐμετάβολος, ἀλλ' ἀξιώσεσι φίλων παραδιασθεὶς καὶ μαλθακισθεὶς, ἵνα καὶ ἡμῖν ὡς ταὐτοπαθὴς συγγινώσκῃς.

3. Ἐπεῖσθην τοίνυν καὶ αὖθις· πῶς γὰρ εἶχον ἀντέχειν πρὸς τὴν ὑμῶν, τοσούτων καὶ τοιούτων ὄντων, ἀξίωσιν; καὶ ἀνεθέμην τῷ Κομμολάρδῳ τὴν ἡγουμενείαν τῆς Μάκρης διὰ σιγιλλίου. Πλὴν τί ἐστι τὸ μονίδιον τοῦτο τοῦ ἐρήμου νησυδρίου πρὸς τὸν θαυμάσιον Κομμόλαρδον, ᾧ γε οὐδὲ κτηματικὴ ἀποχρήσει μονὴ καὶ σφόδρα πίων καὶ φερωνύμως αὐτῷ λαρδούχαινα; 4. Δέδοικα γοῦν μὴ τὴν αὐτὴν τῷ ἐν τῷ Κεραμεικῷ μεγαλομάρτυρι Γεωργίῳ πάθῃ ἐν βραχεῖ καὶ ὁ ἐν τῇ Μάκρῃ ἐξερήμωσιν. Εἰ γὰρ ἐκεῖνος, καὶ ταῦτα τοῦ τιμιωτάτου καὶ αὐτοῖς τοῖς Λατίνοις αἰδεσίμου κυροῦ Λουκᾶ προεστῶτος αὐτοῦ, οὐ διέφυγε τὸ ἀφανισθῆναι, πῶς ὁ ἐν Μάκρῃ διαφεύξεται, παρὰ μαθητῶν τοῦ κυροῦ Λουκᾶ εἰς νομὴν κατεχόμενος; Οὐ γάρ ἐστι μαθητὴς ὑπὲρ τὸν διδάσκαλον αὐτοῦ. Ἀμέλει τοι μετόχιον ὁ ἐν τῇ Μάκρῃ Ἅγιος Γεώργιος ἔσται τοῦ ἐν τῷ Κεραμεικῷ τρόπον ἕτερον, ‖ ὡς τῆς αὐτῆς δῆλον ὅτι συμμεθέξων παντελοῦς ἐξερημώσεως. 5. Ἀλλ' οἷων ἐν τῷ μεταξὺ ἀνεμνήσθην ἄκουσον. Πάλαι ποτὲ πολλῶν ἐνοχλησάντων ἠβουλήθην τοὺς ἐν τῷ νησίῳ τούτῳ προσκαθημένους μοναχοὺς ἐξῶσαι καὶ πανέρημον καὶ πάντη ἀοίκητον ἐᾶσαι, καθότι τοῖς πειραταῖς θαλασσοκρατοῦσι τηνικαῦτα φίλον ἦν ἐνδιαίτημα καὶ λόχος ἐπὶ τοῖς παραπλέουσι δεξιὸς καὶ κατὰ τῶν παραλίων τῆς Ἀττικῆς ὁρμητήριον ὑπερδέξιον. Ἀλλὰ τότε μὲν οὐκ ἐπηκολούθησε καὶ ἔργον τῇ βουλῇ· νῦν δὲ ὅτε βουλόμεθα σώζεσθαι ἴσως ἀπολεῖται. 6. Εἰκότα

2. *τὴν χεῖρα.*— 6. *ταυτοπαθὴς.* — 15. *πάθει.* — 20. *αὐτοῦ.* —22. ‖ Κώδ.135,α.— 23. *δηλονότι.*— 24. *οἷον. πάλαι ποτε.*

www.ibtool.com.cn

Digitized by Google

στοχαζόμεθα, τὰ δὲ εἰκότα οἷά τέ ἐστι καὶ γενέσθαι καὶ μή. Ὅθεν ὑμεῖς οἱ μεσιτεύσαντες ὀφείλετε παρεγγυήσασθαι καὶ νουθετῆσαι τὸν Κομμόλαρδον τὰ εἰς σύστασιν τοῦ μονιδίου διαπράττεσθαι.

www.riptool.com.cn

7. Ἀλλὰ πάλιν ἀνεμνήσθην αἰσωπείου μύθου τινός, ὃν, ἐπεὶ σχολὴν ἄγω, διηγήσομαι ἐν βραχεῖ. Εἴθε δὲ καὶ ὑμεῖς σχολὴν ἄγοιτε ἀναγινώσκειν ταῦτα. Γαλῆ ποτ' ἀνδρός φησιν εὐφυοῦς ἐρασθεῖσα ἡρμόζετο αὐτῷ γαμικῶς· καὶ δὴ παστὰς μὲν ἐπήγνυτο λαμπρὰ, καὶ αὐτὴ νυμφικῶς ἐστόλιστο, παρήγγελτο δὲ συγκαθῆσθαι τῷ νυμφίῳ κοσμίως καὶ εὐσχημόνως. Οὐκ ἐς μακρὰν ταῦτα καὶ μῦς ποθεν ἐκφανεὶς τὸ δρᾶμα τῆς γαμικῆς σκηνῆς ἤλεγξεν. Ἡ γάρ τοι γαλῆ ὡς ὑπ' ὄψιν αὐτῆς ὁ μῦς γένοιτο, τὸ μὲν νυμφικὸν ἐκεῖνο καὶ πεπλασμένον προσωπεῖον θᾶττον ἀπέρριψεν, εἰς ἑαυτὴν δὲ ἐπανελθοῦσα τῷ φίλῳ θηράματι ἐπεπήδησεν, ἔργῳ πιστωσαμένη τὴν Πινδάρου λύραν ἀληθῶς ἐκεῖνο γνωματεύσασαν· τὸ γὰρ ἐμφυὲς οὔτ' αἴθων ἀλώπηξ οὔτ' ἐρίβρομοι λέοντες οὔτε ζώων τῶν ἄλλων οὐδὲν διαλλάξαιντο ἦθος. 8. Οὐκ ὀκνήσω καὶ ἄλλον μῦθον νεώτερον προσθεῖναι, ὃν ἀφηγησαμένου τοῦ μακαρίτου κυροῦ Θωμᾶ ἤκουσα. Ἐβαπτίσατό ποτε λύκος, ἐπερωτηθεὶς καὶ ἀνομολογήσας μηκέτι τοῖς θρέμμασι τῶν ἀνθρώπων καὶ ὑποζυγίοις ἐπιέναι καὶ διαλυμαίνεσθαι. Εἶτα ἐπὶ τῇ τοιᾷδε τελετῇ προπεμπόμενος ἐπὶ τῆς πόλεως μετὰ τῆς εἰωθυίας λαμπροφορίας, ἐπείπερ θεάσοιτο παρὰ τῇ λεωφόρῳ ἐκτάδην εὐναζομένην ὖν ἐπέδραμέ τε καὶ τὴν γαστέρα ἀναρρήξας ἐλάφυσσεν ἔγκατα πάντα. Τῶν δὲ προπεμπόντων ἐπιτιμώντων ὡς οὐκ ἀποπεμπομένῳ τὸν παλαιὸν θῆρα, ἀλλ' εἰςέτι τοῖς αὐτοῖς χαίροντι, οὐκ ἔφη παρὰ τοῦτο διαρρῆξαι τὴν ὖν, ἀλλ' ἵνα διδαχθῇ μὴ ὑπεροπτικῶς οὕτω καὶ καταφρονητικῶς διακεῖσθαι περὶ τοὺς νεοφωτίστους, ἀλλ' ὑπανίστασθαι καὶ σεβάζεσθαι. 9. Παραπλησίως, οἶμαι, ταύτῃ καὶ τὸν Κομμόλαρδον ἀπο-

1. *οἷα*. — 3. *σύστασι*. — 7. *ἀνδρὸς φησὶν*.— 9. *λαμπρὰ* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *λαμπρᾶ*.— 12. *γαλὴ*.— 17. *ἀλώπηξ*. *ἐρίβρομοι*. —22. *τοιάδε*.

Digitized by Google

λογίαν ποιήσασθαι, εἴ ποτε ἐξερημώσας τὴν Μάκρην ἐγκληθείη παρά τινος. Οὐκ ὀκνήσει γὰρ ἡ τροχαλὸν ἀγορεύουσα γλῶσσα θρασυστομῆσαι καὶ ἐρεῖν, ὡς οὐ μοναχικὸν, ἀλλὰ πειρατικὸν ἐνδιαίτημα διέφθειρα, οὐδὲ μοναστήριον, ἀλλ' ὁρμητήριον, ἀφ' οὗ πάντες οἱ κατὰ θάλατταν λῃσταὶ τῶν τε νήσων καὶ τῶν παραλίων κατέτρεχον.

10. Ἴσως οἰήσεταί τις διαμυθολογούμενον τοιαῦτα παραληρεῖν καὶ παραπαίειν. Καινὸν οὐδὲν εἴ τι καὶ τοιοῦτον πέπονθα, ἤδη καὶ πρὸς γῆρας ἐλαύνων καὶ τηλικαύταις συμφοραῖς κεχρημένος. Αἱ γὰρ τῶν φρενῶν φησιν ὁ λυρικὸς ταραχαὶ παρέπλαγξαν καὶ τὸν σοφὸν, πολλῷ γε πλέον τὸν κατ' ἐμέ. 11. Ἐγὼ μέν τοι ἁπλήστως ἔχων τοῦ διὰ γραμμάτων γοῦν ὁμιλεῖν ὑμῖν, ἀνα||γκάζομαι γράφειν πολλὰ, ὧν ἔνια καὶ παραληρήματα εἶναι καὶ λογίζεσθαι οὐκ ἀνεύλογον. Ἐκ πολυλογίας γάρ φησιν οὐκ ἐκφεύξῃ ἁμαρτίαν. 12. Συνεύχεσθε, καὶ ἄλλως δὲ συναγωνίσασθέ μοι, ὡς ὑμῖν ἔξεστιν, ἀπαλλαγῆναί με τῆς παπαδικῆς τῶν Ἀθηναίων μοχθηρίας, ἥτις μετὰ τὰς τόσας χειροτονίας κληρικῶν, ἱερέων, διακόνων καὶ περὶ ὀφφικίων τῶν χηρευόντων παρέχει μοι πράγματα καὶ οὐκ ἐμοὶ μόνῳ, ἀλλὰ καὶ τῷ ἐπισκόπῳ καὶ τοῖς ἄλλοις τοῖς ἐπὶ δυσὶν ἤδη ἐνιαυτοῖς ξεναγοῦσιν ἡμᾶς. 13. Προσθήκη γὰρ τοῖς ἀνδράσι τοῦ ἡμετέρου βάρους γίνονται καὶ οἱ καθ' ἑκάστην διαπεραιούμενοι διὰ χαριστικάτα καὶ κληρικάτα καὶ ὀφφίκια, οὐ μόνον ἐν καιρῷ τοιούτῳ τρεφόμενοι παρ' αὐτῶν, ἀλλὰ καὶ μεσιτεύειν ἐπὶ τοῖς αὐτῶν ψυχροῖς θελήμασιν ἀναγκάζοντες. Ἐγὼ δὲ καὶ παραιτεῖσθαι τὰς μεσιτείας αὐτῶν αἰδοῦμαι, εὖ πάσχων παρ' αὐτῶν ὀσημέραι, καὶ ἀποπληροῦν ἀκαίρους οὔσας, μᾶλλον δὲ ἀδίκους, θάνατον ἥγημαι ὥστε, εἴπερ ἐδυνάμην, μετέβην ἂν ἐντεῦθεν, ἵνα καὶ οὗτοι οἱ ἄνθρωποι ἀνέπνευσαν τῆς περὶ ἡμᾶς καὶ δι' ἡμᾶς ὀχλήσεως καὶ ἡμεῖς τῆς παρὰ τῶν μοχθηροτέρων κληρικῶν.

---

10. *φησι ὁλν* $\mathfrak{Z}^1$.— 13. || Κώδ. 135,6.— 17. *ἀπαλλαγῆναι*. — 22. *καθεκάστην*.— 26. *μεσίτας*.

Digitized by Google

www.libtool.com.cn

ρε'. Τῷ Βαρδάνῃ κῦρ Γεωργίῳ.

1. Δύο μὲν ἤδη δεδέγμεθα γράμματα σὰ, λογιώτατε υἱέ. Ἀλλὰ τὸ μὲν πρότερον ἅτε διαπόντιον κομιζόμενον ἢ ἐν ἄντλῳ ἢ τυχὸν καὶ κύματι δούπησε πεσὸν, ἔνθεν τοι καθυγρανθὲν οὐχ οἷόν τε ἦν ἀναπτυχθῆναι· αἱ γὰρ ἐπαναδιπλώσεις τοῦ χάρτου εἰς ἓν πτύγμα συμπεφυκυῖαι οὐχ οἷαί τε ἦσαν ἀπ' ἀλλήλων διίστασθαι. Ἐδυσκολαίνομεν οὖν, πῶς ἂν εἴποις, ἐπὶ τῇ τοιαύτῃ περιπτώσει, τὰ μὲν οἷς αὐτὸς εἰς κενὸν καὶ ὡς ἂν καθ' ὑγρῶν φασι γραφῶν ἐπέσταλκας, τὰ δὲ οἷς ἡμεῖς ἐπιέναι τὰ γεγραμμένα ποθοῦντες οὐκ εἴχομεν ἀνοίγειν τὸ βιβλίον ἐσφραγισμένον καινότερον καὶ, διψῶντες ἀττικοῦ πόματος, τὴν κύλικα ἐν χεροῖν ἔχοντες, διηπορούμεθα πίνειν, ὑπὸ τῆς ἅλμης διεφθαρμένου. 2. Ἀλλὰ τὸ μὲν πρῶτον ἐπιστολιμαῖον ἀγώγιμον οὕτω ναυαγῆσαν ᾤχετο, τό γε μὴν δεύτερον σεσωσμένον ἀπελάβομεν καὶ πολλῆς ἐντεῦθεν ψυχαγωγίας ἀπηλαύσαμεν. Εἰ γὰρ καὶ τοῦτο ὕφαλμόν τι προὐβάλετο καί μου τὸ ἄλγημα ἀνεκαίνιζεν οἷς παρετραγῴδει ἔστιν ἃ τῆς κοινῆς καὶ θεηλάτου συμφορᾶς, ἀλλ' ἡ χάρις τῆς φράσεως ἀντιγοητεύουσα τὸ ἐπιξαῖνον τὴν ὀδύνην κατεπράϋνε.

3. Καλὰ μὲν οὖν καὶ ταῦτα, ὦ καλὲ παῖ, τῆς περὶ σὲ ἡμετέρας σπουδῆς κατάλληλοι ἀμοιβαὶ ὡς ἂν τῶν καταβληθέντων σπερμάτων τῆς σοφιστικῆς οὐκ ἀγεννεῖς ἀπαρχαί. Καλὴ δὲ οὐχ ἧττον καὶ ἡ τῶν θρεπτηρίων ἀντιπελάργωσις. Ἰδὼν γὰρ ἡμᾶς λυπρὸν γῆρας ἀντλοῦντας τά τε ἄλλα καὶ οἷς γλίσχρως καὶ οὐκ εἰς κόρον τὴν ἀπὸ τῶν βιβλίων τροφὴν καὶ ψυχαγωγίαν ἕλκομεν, ἅτε καὶ αὐτῶν σπανίζοντες, οὐ παρεῖδες ὡς ἄν τις ἄλλος οὐ πολλοῦ λόγου τὰ καθ' ἡμᾶς ἀξιῶν, ἀλλὰ τρεῖς δέλτους τῶν ποτε ἡμετέρων ἀπέσταλκας.

ρε'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 135,6 - 136,α. Ἀποσπάσματα δέ τινα αὐτῆς ἐδημοσίευσα τὸ πρῶτον ἐν Ἀθηναίου τόμ. Ϛ'. ἔνθ' ἀν.

3. *ἔνθεν. καθυγραθέν.*— 4. *οἷον.*— 5. *πύγμα. οἷαι.*

Digitized by Google

4. Θάμβος με συνέσχε, πίστευσον, πῶς ποτε ἴσχυσας ἀφελέσθαι ταύτας ἀπὸ τῆς κακῆς καὶ λυττώσης κυνός, ἣ κατὰ τὴν παροιμίαν οὔτε αὐτὴ ἅπτεται τῶν κριθῶν καὶ τὸ κριθοφαγοῦν ὑποζύγιον ἀπείργει, ἐπήνεσά τε τῆς τόλμης, τῆς εὐμηχάνου σοφίας ἐθαύμασα καί μοι ἔδοξας τὸν ἄθλον ἐκεῖνον ἀνῦσαι Ἰάσονος, ὑφελὼν καὶ αὐτὸς οἷά τι χρυσοῦν δέρας τὰς δέλτους παρὰ δεινοτέρου φυλαττομένας δράκοντος ἢ καὶ μῆλα χρυσᾶ, ὡς Ἡρακλῆς ὁ καλλίνικος. 5. Εἰ δὲ καὶ ἑτέρας βίβλους δυνηθῇς ἀναρρύσασθαι ἀπὸ τοῦ ἐπιχαίνοντος αὐταῖς κήτους ἁπλήστου πάλιν, οὐ μόνον Ἡρακλῆς, ἀλλὰ καὶ Περσεὺς ἄλλος ἀνακηρυχθῇς μοι κήτους περιγινόμενος καὶ κόρας ἡρωΐνας ῥυόμενος. Πλὴν Περσεὺς μὲν μόλιβδον, οἶμαι, κατὰ τῆς κητῴας φάρυγγος || ἐνέχεε, σὺ δὲ χρυσὸν ἐγχέειν ἀναγκασθήσῃ. Ταύτῃ γὰρ καὶ μόνῃ τῇ ὕλῃ τὰ τοιαῦτα κήτη ἁλώσιμα. 6. Πρόσσχες δὲ ἵνα πρώτην τὴν Γεωμετρίαν σπουδάσῃς ἐκσπᾶσαι, ἧς ἡ ἀρχὴ μὲν «σημεῖόν ἐστιν οὗ μέρος οὐθέν» ἡ δὲ ἐπιγραφὴ «Εὐκλείδου στοιχεῖον α», εἶτα τοῦ Βουλγαρίας Ἐξήγησιν εἰς τὰς ἐπιστολὰς τοῦ ἁγίου Παύλου, ἰδιόγραφον ἐμῆς χειρός. Εἰσὶ δὲ ἀμφότερα βαμβύκινα σύμμετρα, τὸ μὲν γερανοτόμαρον, τὸ δὲ μαυροτόμαρον καὶ ἀντὶ τοῦ δοθησομένου τιμήματος αὐτῶν λήψῃ τὸν Θουκυδίδην, καί τοι ἃ σὺ ἔχεις ἐμά εἰσιν εἰς ἀνάγνωσιν καὶ τὰ ἐμὰ σά. Ἄλλως τε οὐδὲ ἐν τῷ ἀποθνήσκειν με λήψομαι τὰ πάντα, ἀλλ' ὑμῖν, τοῖς ἐμοῖς φοιτηταῖς, καταλήψομαι. Τὸν Νίκανδρον οὔπω ἀπέστειλας.

ριη'. Τῷ αὐτῷ.

1. Πόσης οἴει με ὑποπίμπλασθαι ψυχαγωγίας, ἐν Κυρίῳ ποθούμενε υἱέ, ἡνίκα ἂν σὸν γράμμα δεξαίμεθα, καθ' ὅτι οὐχ

b *a*

5. *ἐκεῖνον τὸν ἄθλον.*— 13. || Κώδ. 136,α.— 15. *πρόσχες.* — 16. *σημεῖον ἐστὶν.*

ριη'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 136,α.

Digitized by Google

ὅπως γλαφυρότησι νοημάτων θελγόμεθα καὶ χάρισιν ὀνομάτων καὶ τῇ δι' ἀμφοτέρων ἁρμονίᾳ κατεπᾳδόμεθα, ἀλλὰ καὶ τῷ διαφαινομένῳ ἤθει τῆς σῆς περὶ ἡμᾶς ἀκραιφνοῦς διαθέσεως ἀποχρώντως παραμυθούμεθα. 2. Ἡλίκα μὲν οὖν καὶ ταῦτα ἆς γε τὸ ψυχαγωγεῖν δι' ἐπιστολῶν τὰ ἡμέτερα! Σὺ δ' ἀλλ' ἐκ περιουσίας τὰ παρήγορα καταχέων, μικρολόγον ὅλως καὶ ἀνελεύθερον κρίνεις ψιλὸν στέλλειν γράμμα, εἰ καὶ πολλὰς ἐπαμπίσχεται χάριτας τρόπον ἕτερον. Οὔκουν ἀνέχῃ τὸ μὴ ἐκπέμπειν καὶ τῶν ἀγαθῶν ἔν γέ τι ἢ ἐπαγόμενον ἢ εὐαγγελιζόμενον, ὥσπερ καὶ τὸ σταλὲν ἔναγχος πρὸς οἷς εἶπον ἄρτι καὶ ἄλλο τι τῶν πρὸς ἡδονήν μοι ἀπήγγελλε, τὸ ἀναρρύσασθαί φημι τὴν τοῦ Εὐκλείδου στοιχείωσιν, ἣν ὅπως οὐ παρὰ χρῆμα ἀπέσταλκας ἐθαύμασα. Ἴσως ὑπὸ τῆς λεγούσης οὐκ ἐν πένθει γεωμετρεῖν παροιμίας ἠπάτησαι. 3. Ἀλλ' ἔγωγε, ὦ φίλον τέκος, ἐν τῷ σκοπέλῳ τῷδε καθήμενος καὶ πενθῶν ἐπεὶ ἄλλον συλλυπούμενον καὶ παρακαλοῦντα οὐχ εὑρίσκω, ἀνὰ χεῖρας τὴν τοιαύτην δέλτον κατέχων σοφὴν οὖσαν, οὐ μέν τοι γε θρηνοῦσαν κατὰ τὰς καλουμένας παρὰ τῷ Ἱερεμίᾳ οὐτωσί, τοῖς ἐξ ἀφαιρέσεως αὐτῆς θεωρήμασιν ἀπασχολήσω τὸν νοῦν, καὶ ὅσα γεφύραις αὐτοῖς χρώμενος· οὕτω γὰρ παρὰ τῶν παλαιῶν κέκληνται καὶ εἰσίν· ἀπὸ τῶν ἐνύλων πρὸς τὰ νοητὰ διαπορθμευθήσομαι καὶ τοῖς ἐκείνων ἀδολεσχήσω κάλλεσι καὶ τῶν λυπούντων ἢ ἐπιλήσομαι ἢ κουφισθήσομαι.

4. Μὴ γοῦν ἀναβάλλου τὴν ἀποστολὴν θέλων παραμυθεῖσθαί με. Ὁ δ' ἡμέτερος καὶ σὸς φίλος, ὁ θεοφιλέστατος χαρτοφύλαξ, ἰδοὺ θεοῦ θέλοντος ἔρχεται αὐτόθι παρ' ἡμῶν ἀγγαρευθείς, ἵνα τὸν αὐτόθεν σῖτον ἡμέτερον καὶ τὴν κριθὴν διάθηται οὕτως· ὅσον μὲν τὸ ναυλωθὲν πλοῖον χωρήσει διακομίσαι πρὸς ἡμᾶς, τὰ δὲ λοιπὰ διαπρᾶσαι. 5. Καὶ ἐπεὶ πρὸς τοῦτο

11. *ἀλλὰ. ἀναρρύσασθαι φημι.*— 12. *παραχρῆμα.*— 19. *θεωρήμασι.*— 25. *παραμυθεῖσθαι.*— 27. Πρὸς τὸ ἐν τῷ ἐδάφει *θέλοντος* ἀναφέρεται ἡ ἐν τῇ ὧχ γλῶσσα *εὐοδοῦντος.*— 27. *ἀγκαρευθεὶς.* — 28. *κριθῆν.*

Digitized by Google

δεῖται συνεργίας, ἀξιῶ τὸν ἱερώτατον συνεπίσκοπόν μου τὸν Καρύστου συνεργῆσαι ὁλοψύχως. Πρὸς ὃν καὶ ἰδίαν ἔδει γραφὴν στεῖλαι, ἀλλὰ ὑπογραφέα οὐκ εἶχον ὅτε ὁ χαρτοφύλαξ συνετάξατο ἡμῖν. Ἀρκεῖ δ' ὅμως ἡ παροῦσα μόνη. Σοὶ δὲ καὶ ἐπιτάττω πατρικώτερον ἀμφοτέραις, ὃ λέγεται, χερσὶν ἀντιλαβέσθαι τοῦ χαρτοφύλακος, εἰ δεήσει δὲ καὶ ὤμοις συναχθοφορῆσαι. 6. Οὕτως ἐπὶ τῇ σῇ ὑπακοῇ θαρρῶ· τὸν δὲ φιλόδικον καὶ ἀδόλεσχον Πωλάριν, εἰ πάλιν παρασκιρτήσει τι ἢ καὶ ὀγκήσεται ἀγέρωχον κατὰ τοῦ χαρτοφύλακος, ἐν κημῷ καὶ χαλινῷ τὰς σιαγόνας αὐτοῦ ἄγξον, ὥςτε μηδ' εἰς ἔπειτα πωλικόν τι φριμάξασθαι. Ὁ Κύριος διαφυλάττοι σε.

ριθ'. Τῷ σεβαστῷ κῦρ Μανουὴλ τῷ Πωλᾷ.

1. Πῶς ἄν σοι δηλώσω, πανσέβαστε, ὅσης καὶ οἵας ἀθυμίας ἐνέπλησεν ἡμᾶς τὸ πρὸ μικροῦ γράμμα σου, διεξιὸν τὸν ἔσχατον κίνδυνον τοῦ καλοῦ τὰ πάντα νεανίου καὶ σῶμα καὶ ψυχὴν εὐγενοῦς ||, ὃν ἐγὼ μὲν ὀφθαλμοῖς οὐκ εἶδον, παρὰ τῶν ἰδόντων δὲ καὶ θαυμαζόντων τὸ παρ' ἡλικίαν καλοκἀγαθον αὐτοῦ πυνθανόμενος, ὡς ἤκουσα ὅτι σχεδὸν τὰ ἔσχατα ἀναπνεῖ, πικρίας ἐνεπλήσθην καὶ τὴν ἀνθρωπίνην ταλαιπωρίαν ἐταλάνισα καὶ οἰκτρὸν ὤμωξα καὶ ἀφ' ὧν ἐγὼ τόσα δέδηγμαι τὴν ἐμαυτοῦ καρδίαν ἐπὶ τῷ τοῦ πάθους ἀκούσματι συνελογισάμην πόσα πάσχειν εἰκὸς σὲ τὸν γεγενηκότα καὶ εἰς τόδε ἡλικίας καὶ παιδεύσεως ἐκθρέψαντα. 2. Εἰ γὰρ καὶ πατὴρ οὐκ ἐγενόμην, ἀλλ' οἶδα τὰ ἐπὶ τοῖς παισὶ τῶν πατέρων σπλάγχνα, ἀκούων ὅπως τῶν μακαρίων ἀνδρῶν οἱ μᾶλλον ἀήττητοι καὶ φιλοσοφώτατοι ἐπὶ τῇ τῶν παίδων ἀπωλείᾳ

8. *τί*. — 10. *εἰσέπειτα*. — 11. *φιρμάξασθαι*.

ριθ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 136,α - 136,β.

15. || Κώδ · 136,α.— 16. *καλοκάγαθον*.

Digitized by Google

οἰκτιστα ὠλοφύραντο. Καὶ Ἰακὼβ μὲν ἐπὶ τῷ Ἰωσὴφ σάκκον περὶ τὴν ὀσφῦν περιεζώσατο καὶ ἐζήτει καταβαίνειν εἰς Ἅδην πρὸς τὸν υἱόν, Ἰὼβ δὲ τὰς παρὰ τοῦ πειράζοντος πάσας προσβολὰς μεγαλοψύχως ὑπενεγκὼν, ἐπεὶ καὶ τὸν ὄλεθρον τῶν παίδων ἀκούσαι, ἠττήθη ὁ ἀδάμας τῆς φύσεως ὥστε καὶ κόμην ἐκείρατο καὶ διέρρηξε τὴν ἐσθῆτα καὶ χοῦν κατὰ κεφαλῆς ἐπάσσατο. Ὁ δὲ μέγας Δαυὶδ τὸν Ἀβεσαλὼμ θρηνῶν, καὶ ταῦτα ἐπαναστάντα οἱ καὶ τὸ ἐπ' αὐτῷ πατροφόνον γενόμενον «υἱέ μου, τίς ἄν μοι δοίη τὸν θάνατον ἀντὶ σοῦ;» 3. Καὶ τί θαυμαστὸν εἰ ἄνδρες οὕτως ἥμεροι καὶ φιλάνθρωποι κἀπὶ ταῖς ἀλλοτρίαις συμφοραῖς δακρύοντες τὰ οἰκεῖα σπλάγχνα ὠδύροντο, ὁπότε καὶ οἱ ἀτίθασοι θῆρες πρὸ τῶν οἰκείων τέκνων μαχόμενοι ἀγαπῶσι πίπτειν ἢ βλέπειν ἀπαγόμενα ἢ ἀπολλύμενα;

4. Ἐντεῦθεν μὲν οὖν ὁρμώμενος ἀνελογιζόμην οἷα καὶ σὲ παθαίνεσθαι ἀνάγκη ἐπὶ παιδὶ, ἐφ' ᾧ μόνῳ ἄρρενι ὡς ἱερᾷ, τὸ τοῦ λόγου, ἀγκύρᾳ, τὸν βίον ἐσάλευες καὶ ἤλπιζες ὑπολιπέσθαι κληροῦχον περιουσίας καὶ εἰκόνα σὴν ἔμβιον. Αὖθις δὲ τὸ σὸν εὐσεβὲς ἐπενθυμούμενος καὶ τέλειον ἐν φρονήσει καὶ πείρᾳ τῶν ἀνθρωπίνων πραγμάτων, πείθομαι μὴ ἀγεννῶς τὸ πάθος ὑπενεγκεῖν, ὥστε καταποθῆναι ὑπὸ τῆς περισσοτέρας λύπης ἢ τῆς ἀνωτάτω προνοίας καταστενάξαι ὡς οὐ φορητὸν πάσχων οὐδὲ τοῖς ἀνθρωπικῶς κρίνουσιν ἔνδικα, ἀλλὰ κατὰ τὸν θεῖον Ἀβραὰμ, ὡς, καὶ αὐτὸς, υἱὸς ἐκείνου διὰ τῆς πίστεως γεγονὼς, τῷ θείῳ ἐπιτάγματι προθύμως ἀκολουθεῖν. Καὶ ὡς ἐκεῖνος ἀκούσας «ἀνένεγκαί μοι τὸν Ἰσαὰκ» παρὰ χρῆμα μηδὲν ὀκνῶν ἢ ἀναβαλλόμενος ἀναφέρειν οἷός τε ἦν, οὕτω καὶ σὺ οὐκ ἀποδυσπετήσεις οὐδὲ δυσχερανεῖς τοῦ θεοῦ βουληθέντος προσλαβέσθαι τὸν σὸν παῖδα ὥσπερ τι ἱερεῖον ἀγνὸν ἄμωμον καὶ τῶν τοῦ βίου κηλιδωμάτων ἄψαυστον.

5. *ἀκούσοι.*— 8. *ἐπαναστάντά.*— 12. *ἀντίθασσοι.*— 17. *ἐσάλευε.*— 23. *πάσχων.*— 25. *ἀκολουθεῖς.*— 26. *παραχρῆμα.* — 27. *οἷος.*— 29. *ὥσπέρ.*— 30. *ἄγνον.*

Digitized by Google

5. Νικήσει, εὖ οἶδα, τὴν φιλοτεχνίαν ἡ φιλοθεία. Οὐκ ἀπώλωλέ σοι ὁ καλὸς Κωνσταντῖνος, οὐδ' εἰς τὸ μὴ ὂν οὐ κεχώρηκεν, ἀλλ' εἰς μείζονα ζωὴν μεθωρμίσατο ἢ μετετάξατο καὶ τοσούτῳ εὐδαιμονεστέραν ὅσῳ καὶ τὸ συνεῖναι Χριστῷ τοῦ παρ' ἡμῖν δεῦρο πλάζεσθαι βέλτιον. 6. Εἶτα νυμφίον μὲν αὐτὸν ἐπ' εὐδαίμονι γάμῳ στέλλων πόρρω που καὶ ὡς οὐκέτι τυχὸν ὀψόμενος ἢ βασιλεῖ ἐπιγείῳ συνεσόμενον, οὐ συμφορὰν τοῦτο ἂν ἡγήσω, εὐημερίαν δὲ σεαυτοῦ τε καὶ τοῦ παιδός. Νῦν δὲ παραπέμψας εἰς ἀκηράτους θαλάμους τῶν μακαρίων ψυχῶν, Χριστῷ παραστησόμενον καὶ τὸν περὶ τὸν θρόνον ἐκείνου κύκλον ἀναπληρώσοντα καὶ συγχορεύσοντα, θρηνήσεις ἄμετρα καὶ κωκύσεις θηλυπρεπῶς; 7. Οὐμενοῦν, εἴποι τις, τὴν σὴν ἀκριβῶς ἐγνωκὼς εὐσέβειαν· οὐ μὴν οὐδὲ τοὺς ἐπὶ θεοσεβείᾳ κλεινοὺς ἄνδρας παράγειν τῷ λόγῳ βουλήσομαι, ὅπως, τοῖς ὑποδείγμασιν ἐκείνων παράκλησιν εἰς καρτερίαν προσενεγκών σοι, τὸ τοῦ πάθους ἀγριαῖνον ἀπομειλίξωμαι. Οἶδας γὰρ καὶ αὐτὸς τῇ ἀναγνώσει προσανέχων τὰ ἐκείνων ἔργα τὰ δι' αἰῶνος ὑμνούμενα, Ἰὼβ τὴν φιλόσοφον εὐχαριστίαν ἐπ' ἀπωλείᾳ ὁλοκλήρου παίδων χοροῦ ἀρρένων τε καὶ θηλειῶν, Δαυὶδ τὴν ἐπὶ παιδὶ μὲν ἀσθενοῦντι κακοπάθειαν, ἀποθανόντι δὲ εὐωχίαν νηστείας καὶ χαμευνίας διάδοχον, ὡς τῆς ἱκετηρίας ἀκερδοῦς τοῦ λοιποῦ.

8. Τούτων οὖν ὡς καὶ αὐτῶν σοὶ προδήλων ἀφέμενος, εὔχομαι· ὁ πατὴρ τῶν οἰκτιρμῶν καὶ θεὸς πάσης παρακλήσεως, ἀποστολικῶς εἰπεῖν, ἄψαιτο ἀοράτως τῆς ὀδυνωμένης ψυχῆς σου καὶ τὸ ἐνοχλοῦν αὐτῇ ἄλγος ἰάσαιτο, ὑπανάψαι δέ σοι φῶς εὐθυμοποιὸν καὶ ἐπὶ τοῖς ἀβουλήτοις εὐχάριστον. Ἄνθρωποι γὰρ ἔν γε τοῖς τοιούτοις μικρὸν ἢ οὐδὲν ὤνησαν, λόγοις κατεπάδοντες ψυχὰς φλεγμαινούσας ἀνιάτοις ἀλγήμασιν, ἐφ' οἷς λόγος ἅπας ἐλέγχεται ὡς ἀδρανὲς φάρμακον. Χρόνος δὲ μόνος εὐμαρὴς, κατὰ τὸν εἰπόντα, θεὸς καὶ πρὸ τοῦ

3. *μεθορμίσατο.* — 12. *οὔμενουν.* — 13. || Κώδ. 137, α. — 16. *προσενέγκων.*

www.libtool.com.cn

Digitized by Google

χρόνου θεὸς, ὃς καὶ σὲ, ἵνα καὶ πάλιν τὰ αὐτά σοι ἐπεύξωμαι, παραμυθήσαιτο.

www.libtool.com.cn

ρκ'. Τῷ καθηγουμένῳ τῆς μονῆς τοῦ Κυνηγοῦ τῶν φιλοσόφων.

1. Νῦν δ ἐπεκλήθης γέγονας, νῦν ἔργῳ τὸ ἐπώνυμον ἐπεσφράγισας· ἐπεβάλου γὰρ φιλοσοφεῖν ἀληθῶς, εἴπερ φιλοσοφία ἔστι τε καὶ λέγεται μελέτημα θανάτου, ὁποίαν μελέτην θανάτου ὁ ἀσκητικὸς βίος κατεπαγγέλλεται. Συνεχάρημεν οὖν σοι, ἐν Χριστῷ ἀγαπητὲ ἀδελφὲ, πιστωθέντες διὰ τοῦ σταλέντος γράμματος ὡς οὐκέτι κενεμβατεῖς ψιλῷ ἐποχούμενος φιλοσοφίας ὀνόματι, ἀλλ' ἐμπράκτου θεμελίου ἐπιβὰς ἐπὶ τὸ βραβεῖον ἀνατρέχεις τῆς ἄνω κλήσεως. 2. Ἔντειναι τοίνυν καὶ κατευοδοῦ καὶ φιλοσόφει τὰ τελεώτερα, μὴ κλήσει καὶ τριβωνίῳ, ἀλλ' ἔργοις αὐτοῖς πιστούμενος τὸν φιλόσοφον, ὥσπερ ἄρα καὶ οἷς ἀπέσταλκας οὐκ ἀμυδρῶς παρέδειξας, ἅπερ ἦν δοίδυκες δύο καὶ κηροῦ κυλινδροειδὲς εἰλητάριον, τὰ μὲν ὄργανα θρέψεως, τὰ δὲ ὕλη φωτός. 3. Δι' αὐτῶν γὰρ συμβολικῶς εἰςηγήσω ὡς οὐ χρὴ τὸν κατὰ θεὸν ἄνθρωπον μεριμνᾶν καὶ τυρβάζεσθαι περὶ πολλὰ, ἀλλὰ σώματι μὲν τὸν ἐφήμερον ἄρτον αἰτεῖσθαι παρὰ θεοῦ κατὰ τὴν εὐαγγελικὴν τῆς προσευχῆς ὑποτύπωσιν, ἐν τῇ μελέτῃ δὲ τῶν θείων λογίων ἐκκαίειν ἀκοίμητον πῦρ κατὰ τὸν ἐμμελετῶντα ἐν τῷ νόμῳ τοῦ θεοῦ ἡμέρας καὶ νυκτὸς, ἵνα καὶ ψυχὴ τῷ ἐξ οὐρανοῦ καταβαίνοντι ἄρτῳ διατρέφηται. Ὃ γάρ ἐστι ἄρτος σαρκὶ, τοῦτο λόγος ψυχῇ, θρεπτικὸν δῆλα δὴ καὶ συνεκτικὸν ζωῆς ἑκατέρας ἑκάτερον. Οὕτως ἐγὼ ἃ παρὰ σοῦ σταλέντα ἐδεξάμην, τοῦ φαινομένου ἐδεξάμην βαθύτερον. Εἰ δέ τι σεμνότερον ἕτερον ὑπαινίττονται, εἰδείης ἂν αὐτὸς ἀκριβῶς.

ρκ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 137,α.

14. *εἰλιτάριον*.— 20. *ἐμμελετῶντα*.— 23. *δηλαδὴ*.

Digitized by Google

4. Σώζοιο εὐοδούμενος παρὰ θεοῦ πρὸς τὴν τοῦ ἐπαγγέλματος ἐκπλήρωσιν, ἀπονέμοις δὲ καὶ τὴν προσήκουσαν τιμὴν τῷ πρεσβυτάτῳ καθηγουμένῳ γηροκομῶν κατὰ δύναμιν· ἵνα καὶ αὐτὸς κατὰ τὴν θείαν ἐπαγγελίαν πολυχρόνιος ἔσῃ κἀν τῷ γήρᾳ τὴν ἴσην ἀπολάδῃς θεραπείαν καὶ τιμήν. 5. Οὐ μόνον γὰρ ἐν τῷ μέλλοντι αἰῶνι οἷα σπείρομεν νῦν τοιαῦτα καὶ θερίζομεν, ἀλλὰ καὶ ἐν τῷ παρόντι, ὡς τὰ πολλὰ εἴτε ἀγαθά εἰσιν εἴτε φαῦλα τὰ παρ' ἡμῶν σπειρόμενα. Ἐπὶ πᾶσιν ἀρχὴν καὶ μεσότητα καὶ τελευτὴν τοῦ βίου σου παντὸς ἔχε ταπείνωσιν· ἄνευ γὰρ ταύτης πᾶς μόχθος καὶ πᾶν ἔργον νεκρά εἰσι καὶ βδελυκτὰ τῷ θεῷ.

ρκα'. Τοῖς ἀνεψιοῖς αὐτοῦ τῷ τε κῦρ Νικήτᾳ καὶ τῷ κῦρ Μιχαήλ.

1. Ὦ πικρᾶς ἀγγελίας, ὡ πονηρᾶς ἀκοῆς. Οἷα καὶ πάλιν ἠκούσαμεν, μᾶλλον δὲ πεπόνθαμεν||, τοσούτῳ τῶν φθασάντων σχετλιώτερα ὅσῳ καὶ σκιᾶς θανάτου θάνατος χρῆμα βαρύτερον καὶ καπνοῦ πῦρ φλέγον ἀνιαρότερον. Πρώην μὲν ἀκράτου κεράσματος ποτήριον ἐκ χειρὸς Κυρίου πεπώκαμεν, νῦν δὲ τὸν τρυγίαν αὐτὸν τῆς ὀργῆς ποτιζόμεθα. 2. Ἦπου διὰ ταῦτα αἱ σκιαὶ τῶν ἡμερῶν τῆς μοχθηρᾶς ζωῆς ἡμῶν ἐς τόδε καιροῦ ἐξετάθησαν, ἵνα μου τὸ ἄθλιον τουτὶ γῆρας, ὑπὸ μυρίων συμφορῶν ἐπιτριδὲν, οὕτω μετὰ πλειόνων ὀδυνῶν εἰς Ἅδην καταβήσεται.

3. Οἴμοι τί πρῶτον, τί δ' ἔπειτα, τί δ' ὕστερον ὀλοφύρωμαι; Οἴχεται Ἀθηνῶν τὸ λειπόμενον μικρὸν ποίμνιον· ὡς πρόβατα γὰρ ἐν Ἅδῃ θάνατος ἔθηκεν. Οἴχεται τὰ ἐν Ἀθήναις μοι φίλτατα, ὁ μὲν τῶν ἀδελφιδῶν φροῦδος ὡς δρόσος ἑωθινὴ

3. *γηρωκομῶν.*— 5. *γήρει.*

ρκα'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 137,α - 137,δ.

13. || Κώδ. 137,δ.— 21. *καταβήσηται.*

Digitized by Google

ἀφανισθεὶς, ὁ δὲ οὐδὲν ἧττον εἰ καὶ περιέστι φροῦδος ἅτε ἡμιθνὴς ὡς διχότομος. Δύο δὲ χοροὶ παναφηλίκων παίδων, ὁ μὲν τλήμονα μητέρα περιεστηκὼς ἀνακαλεῖται τὸν οὐκέτ' ὄντα πατέρα μετ' ὀδυρμῶν, ὁ δὲ, δυστυχεῖ πατρὶ προσέρπων, τὴν ἀποπτᾶσαν μητέρα ζητεῖ γοεροῖς ψελλίσμασι, καὶ ξυναυλίαν ἐλεεινὴν ἁρμόττονται, καὶ τοῖς λοιποῖς γονεῦσι τὸ πένθος ἐξ ὑπαρχῆς ἐγείρουσιν ἄσβεστον.

4. Τίς ταῦθ' ὁρῶν εἶτ' ἀκούων οὐ ταλανίσει τὴν ἀνθρωπίνην οἰκτρότητα; ὡς ἔγωγε καὶ μόνον ἀναλογιζόμενος κινδυνεύω τὰ μυθευόμενα ὡς ἀληθῆ βεβαιώσασθαι, εἰς λίθου φύσιν μεταβληθεὶς ἢ ἀποδενδρωθείς. 5. Ὥστε μηδ' ἡντιναοῦν ἐκδέχεσθε παρ' ἡμῶν παράκλησιν, ὦ τῶν αὐτῶν μοι κοινωνοὶ συμφορῶν, μηδ' ἄλλο τι παραμύθιον, ὅτι μὴ τὸ συναλγεῖν καὶ συνεποδύρεσθαι. Πῶς γὰρ ἄλλων παρακλήτωρ ἔσομαι, αὐτὸς ὑπερβαλλούσῃ λύπῃ καταποθείς; 6. Χεῖρα τοίνυν ἐπὶ στόματι θέμενος καὶ κωφοῖς λουόμενος δάκρυσιν, ἐκεῖνο συμβουλεύσομαι μόνον ἐμοὶ καὶ ὑμῖν· πρῶτα μὲν μὴ ἀποδυσπετεῖν ἀχθομένους πάνυ τι ἐφ' οἷς ἡ ἀνωτάτω ψηφίζεται πρόνοια, ἔπεσθαι δὲ μᾶλλον κατὰ τοὺς λέγοντας πρὸς θεὸν «κτηνώδης ἐγενήθην παρὰ σοὶ καὶ ἐγὼ δὲ οὐκ ἐκοπίασα κατακολουθῶν σοι», εἶτα καὶ διὰ στόματος φέρειν τὰ τοῦ μακαρίου Ἰὼβ εὐχάριστα ῥήματα «ὡς τῷ Κυρίῳ ἔδοξεν οὕτω καὶ ἐγένετο». Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον· ὃς καὶ τῆς ἡμετέρας καρδίας ἀοράτως ἐφαψάμενος τὸ φλεγμαῖνον τοῦ πάθους ἰάσαιτο.

ρκϐ'. Τῷ Μακρεμβολίτῃ κῦρ Δημητρίῳ.

1. Βαβαὶ οἵας ψυχῆς κεχωρίσμεθα, ὡς μὲν ἀκριβῶς φιλούσης καὶ ἀκραιφνῶς, ὡς δὲ κατὰ Χριστὸν καὶ οὐ διά τι ἀνθρώ-

3. *οὐκ ἔτ'*. — 6. *ἐξυπαρχῆς*. — 13. *ἄλλό*.

ρκϐ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 137,6 - 138,α.

Digitized by Google

πινον. Οὐ γὰρ ἠγνόηταί μοι, φίλτατε ἀνδρῶν, μυρίων ἀπαγγελλόντων, ὅπως ὁμοῦ τε βλέψειάς τινα τῶν ἐνθένδε ἀφικνουμένων Ἀθήναζε καὶ ἤρξω πυνθάνεσθαι περὶ ἡμῶν καὶ παρὰ χρῆμα τὰ ὄμματα δακρύων ὑποπίμπλασαι, ὥςπερ τινὸς κέντρου τῆς μνήμης πληττούσης δριμύτερον τὰ φιλόσπλαγχνά σου. 2. Τοιᾶςδε ψυχῆς καὶ οὕτω κατόχου τῷ κατὰ θεὸν φίλτρῳ φυγαδεύων ἐμάκρυνα. Ἴσως καὶ πρὶν ὄψομαί σε, φιλτάτη ψυχὴ, καὶ ὀφθήσομαί σοι καὶ πορρωτάτω φροῦδος οἰχήσομαι. Τί γὰρ ἄλλο δι' ἐλπίδος ἡμῖν οἷς ὁ βίος κεκένωται καὶ τὸ γῆρας ὑπὲρ κεφαλῆς ἢ τὸ ὅσον οὐδέπω ἀποδημῆσαι τὰ ὕστατα καὶ μακρότατα; 3. Διὰ ταῦτα γράμμασι γοῦν ἐφ' ὅσον ἔξεστί μοι συνεῖναί σοι ποθῶ καὶ διομιλεῖσθαι ἀπόδημα, ἀλλὰ καὶ πρὸς τοῦτο ὀκνηρότερόν με ποιεῖ τὸ ἐντεῦθεν ἀνακαινίζεσθαί σου τὸ ἄλγος καὶ τὸ ἄλλοτε ἄλλο τι τῶν ἐπιτηδείων διαπέμπειν καὶ μεριμνᾶν τυρβαζόμενον καὶ ταῦτα ἐν τοιῷδε καιρῷ καὶ διὰ τοσοῦδε καὶ οὕτω κινδυνώδους διαστήματος.

4. Ὦ τοῦ καινοῦ ἀκούσματος! Ἠδέσθησαν ‖ καὶ ἄγριαι πειραταὶ τῆς σῆς φιλίας τὸ ἀκραιφνέστατον καὶ παρὰ τοῦτο τἆλλα μὲν πάντα τὰ κομιζόμενα συλλαβόντες ᾤχοντο, τῶν δὲ παρὰ σοῦ ἀπέσχοντο, μηδ' ἄκρῳ δακτύλῳ ἁψάμενοι. Οὕτω σου τὰ τῆς φιλίας πολυδύναμα καὶ θαλάττῃ καὶ πειραταῖς αἰδέσιμα. Ὑπὲρ ἧς ὁ τῆς ἀγάπης θεὸς ἀντιδοίη μέν σοι καὶ τὴν ἐνταῦθα εὔροιαν πανοικεσίᾳ κατὰ λόγον προσθήκης, ἀποδοίη δὲ καὶ τὴν ἐκεῖσε ἀπέραντον εὐδαιμονίαν. Οὐκ ἔχω γὰρ ἄλλως πως ἀμείψασθαί σε βέλτιον.

---

2. τὲ βλέψειας τινὰ. — 3. παραχρῆμα. — 4. ὥσπέρ. — 11. ἐφόσον. — 12. συνεῖναι. — 14. ἄλλό. — 18. ‖ Κώδ. 138, α. 24. εὔρροιαν. — 26. πῶς.

Digitized by Google

ρκγ'. Τῷ αὐτῷ.

www.libtool.com.cn

1. Τὸ μὲν γνωρίζειν τὰ καθ' ἡμᾶς ὅπως ἔχουσι τῇ καλλίστῃ ἀγάπῃ σου περιττὸν καὶ ἄλλως ἀδόλεσχον καὶ μᾶλλον εἰ ἐνδελεχέστερον γίνεται καὶ ἀτεχνῶς τὸ παροιμιαζόμενον Διὸς Κόρινθον. Πάλαι γὰρ ἔγνωσται καὶ τεθρύληται ὅτι ἀπεληλάμεθα τῶν Ἀθηνῶν καὶ ἐν μιᾷ τῶν κατ' Αἰγαῖον Κυκλάδων νήσων, τῇ καλουμένῃ Κέῳ, περιγεγράμμεθα, καὶ στέργοντες ἣν ἐλάχομεν σπάρταν ἀπράγμονος βίου σχολῆς ἀταράχου κατεμφορούμεθα καὶ τοῖς τοῦ κόσμου τεθνήκαμεν πράγμασιν, εἰ καὶ τῷ βίῳ ἔτι περίεσμεν, ὥςτ' εἰ καὶ τοῦ φυσικοῦ λυθῶμεν δεσμοῦ, πάλαι νενεκρωμένοι, καινὸν οὐδέν. 2. Τί γοῦν χρὴ γράφειν τὰ αὐτὰ καὶ περὶ τῶν αὐτῶν, οὕτω μὲν προδήλων ὄντων, οὕτω δὲ ὡςαύτως ἐχόντων ἀεί; Τὰ ὑμέτερα δὲ μᾶλλον δέον διαπορθμεύεσθαι εἰς τὰς ἡμῶν ἀκοὰς διὰ πυκνοτέρων γραμμάτων πειρατήριά τε καὶ παθήματα ἄλλοτε ἀλλοῖα ὄντα καὶ ποικίλως συμπίπτοντα. 3. Εἰ γὰρ αἱ περιπέτειαι καὶ μόναι τοῦ βίου τοὺς συνεζευγμένους γυναιξὶ καὶ παιδοτροφεῖν ἀναγκαζομένους καταπιέζειν δύνανται, πολλῷ μᾶλλον ὅτι καὶ ἡ ἀλλόφυλος τυραννὶς ἐπιπέπτωκε τοῖς ταλαιπώροις ἐπὶ χρόνοις τοσοῖςδε, καὶ δέρματα μὲν αὐτῶν καὶ σάρκας ἤδη κατεσθίουσα κατέφαγε, νῦν δὲ καὶ αὐτὰ συντρίβουσα τὰ ὀστᾶ ἐκμυελίζειν φιλονεικεῖ. 4. Σὺ τοίνυν, ὦ φίλη μοι κεφαλή, ὁ ἐν τῇ σιδηρᾷ καμίνῳ βασανιζόμενος, ὁ ὑποκείμενος τῷ βαρυτάτῳ τῆς τυραννίδος ζυγῷ, ὁ πολλοῖς διαύλοις τοῦ βίου φορούμενος ὀφείλεις ἀπαγγέλλειν ὅπως ἀντέχεις πρὸς τὰς τοσαύτας τῶν πειρασμῶν ἐμβολὰς, τοῦ θεοῦ ἀπὸ ὀλιγοψυχίας σώζοντός σε καὶ ἐπιρρωνύοντος.

5. Οὐκοῦν ἀπάγγελλε πῶς ἔχεις αὐτὸς, τὰ χρυσᾶ τέκνα,

ρκγ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 138, α.

4. *ἔγνωται. τεθρύλληται.*

Digitized by Google

ἡ καλλίπαις μήτηρ αὐτῶν, πῶς τὰ τοῦ βίου. Ὡς εἴθε τῷ παρὰ τῷ θείῳ Ἀποστόλῳ μεγάλῳ πλούτῳ ἐνευθηνούμενος διαγένοιτο. 6. Τίς δέ ἐστιν οὗτος; Εὐσέβεια μετὰ αὐταρκείας· οὕτως γὰρ τὸν μέγαν πλοῦτον ὁ πάνσοφος Παῦλος ὁρίζεται. Εἰ δὲ μέγας ἦν πλοῦτος ἀεὶ ἡ μετ' εὐσεβείας αὐτάρκεια, τὰ νῦν καὶ ὑπέρμεγας ἂν εἴη, κενούμενος μὲν εἰς τὰς ἀπεράντους τῶν τυραννούντων ἁπληστίας, διατηρῶν δὲ καὶ οὕτω τὸ αὔταρκες, ἀοράτοις θεοῦ εὐλογίαις δῆλα δὴ πληθυνόμενος καὶ αὐξόμενος. Ἄλλως γὰρ πῶς ἂν ἐξήρκεσε ταῦτα καὶ τοιαῦτα; 7. Ποθῶ μανθάνειν παρ' ὑμῶν καὶ περὶ ὑμῶν, ἵνα καὶ τὸ ἐφ' ἡμῖν εὐθυμότερον παράγω τὰς ὑπολοίπους τῆς ζωῆς μου σκιάς, ὡς, ὅταν γε τῶν καθ' ὑμᾶς συμφορῶν προσθήκην ἢ ἐπίτασίν τινα πυνθάνωμαι, τότε ὡς ἀπό τινος ἱεροῦ ἀσύλου, τῆς ἀταραξίας, ἀποσπῶμαι καὶ συγχέομαι δάκρυσι καὶ μεθ' ὑμῶν πενθήρης γίνωμαι, παρὰ τῆς αἰχμαλωτιζούσης λύπης ἀπαγόμενος. 8. Ἀλλὰ στήσαι ποτὲ ὁ θεὸς τὰ δεινὰ ἢ κουφίσαι, καὶ ἡμεῖς ἀκούοιμεν περὶ ὑμῶν τὰ χρηστότερα. Ὁ Κύριος πανοικεσίᾳ διαφυλάττοι σε.

ρκϐ'. Τῷ καθηγουμένῳ τῶν ἁγίων Ὁμολογητῶν.

1. Τὸ προσεχῶς σταλὲν γράμμα σου ἐδεξάμεθα, τιμιώτατε, ἐν Κυρίῳ ἀγαπώμενέ μοι καθηγούμενε τῆς σεβασμίας μονῆς τῶν ἁγίων Ὁμολογητῶν· δι' οὗ καὶ μεμαθήκαμεν ἐν μεγάλῳ κλύδωνι εἶνε τὰ κατὰ σὲ καὶ κατεστενάξαμεν τῆς ἀνωμαλίας τοῦ καιροῦ, ὅπως οὐδεὶς τὴν κακοήθειαν αὐτοῦ δύναται φεύξασθαι, κἂν τε ἀντίξους δοκῇ κἂν τε ‖ συντρέχῃ πρὸς τὸ θεραπευτικώτερον. 2. Ὁ γοῦν ἐν τοῖς τοιούτοις ἔδοξεν ἡμῖν

6. *ταῦτ*. — 8. *δηλαδὴ*. — 12. *ὅτάν*. — 15. *γίνομαι*. — 16. *στῆσαι ποτέ*.

ρκϐ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 138,α'- 138,6.

24. ‖ Κώδ. 138,6.

Digitized by Google

λυσιτελές σοι, τοῦτο καὶ ἐπηυξάμεθα καὶ διὰ τοῦ παρόντος συμβουλευόμεθα γράμματος, μᾶλλον δὲ ἀναμιμνήσκομεν, τῶν θείων προφητῶν συμβουλευόντων. Ὧν ὁ μέν τις ἐν ταῖς πονηραῖς, φησιν, ἡμέραις ὁ συνιὼν σιωπήσεται, ὁ δὲ διαρρήδην προστάττει «εἴσελθε εἰς τὸ ταμιεῖόν σου, ἀπόκλεισον τὴν θύραν σου, ἀποκρύβηθι μικρὸν ὅσον».

3. Ἐπεὶ γοῦν ηὐδόκησεν ὁ θεὸς ἀπαλλάξαι σε δουλείας ἐπιβλαβοῦς καὶ ἀπεράντου, εἶπω δὲ καὶ ἀδυνάτου, τοῦ τιθασεύειν φημὶ θηρία πονηρὰ καὶ μισάνθρωπα καὶ πειρᾶσθαι κορεννύειν Ἅδην ἀκόρεστον καὶ γίνεσθαι δοῦλον ἀνθρώπων τιμῆς ἠγορασμένον τοῦ δεσποτικοῦ αἵματος παρὰ τὸ ἀποστολικὸν παράγγελμα, καὶ ταῦτα δι' ἐπιτηδευμάτων ἐπισφαλῶν καὶ ἐπωλέθρων τῇ ψυχῇ, ἄγε, πάντα τρόπον ἀπεκδυσάμενος τὰς μετὰ τῶν τυραννούντων ἀναχύσεις καὶ συνδιαφθοράς, ζῆθι καθ' ἑαυτὸν ἐν παραβύστῳ, εἰ δυνατόν, μηδὲ ὁρώμενος τοῖς πολλοῖς. 4. Εἰ δὲ ἡ μονὴ καὶ τὰ τῆς μονῆς ἐντεῦθεν οἴχεται, οἰχέσθω· οὐ παρὰ σὲ τοῦτο, οὐδεμία σοι ἐντεῦθεν κατάγνωσις ἐπήρτηται. Οὐκ ἔστιν ἡ κατὰ σὲ μονὴ κιβωτὸς ἄλλη, ἵνα τὴν τοῦ παντὸς ὑπερπλέῃ ἐπίκλυσιν.

5. Ταῦτα ἔχομεν συμβουλεύειν σοι, καὶ εἰ μὲν καὶ τῇ σῇ τιμιότητι συνοίσοντα δοκεῖ, γενέσθω, εἰ δ' οὖν, δοίη σοι Κύριος ὁ θεὸς καὶ νοῆσαι καὶ πράττειν ἀμείνονα. Ὃς καὶ διατηροίη τὴν σὴν τιμιότητα ἀνωτέραν παντὸς πειρασμοῦ.

ρκε'. Τῷ αὐτῷ.

1. Τὸ προσεχῶς ἐγχειρισθέν μοι γράμμα σου, τιμιώτατε, δεδήλωκεν ὅπως ἔχει τὰ κατὰ σέ· καὶ, ὡς ἡμῖν ἔδοξε, βέλτιον ἢ χθὲς καὶ πρότριτα, εἴπερ καὶ ὁ θεῖος Μωσῆς εἵλετο

5. *ταμιεῖον.*— 8. *τιθασσεύειν.*

ρκε'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λκυρεντιακῷ κώδικι, φ. 138,6.

25. *δεδήλωκε.*

Digitized by Google

συγκακουχεῖσθαι τῷ λαῷ τοῦ θεοῦ ἢ πρόσκαιρον ἔχειν ἁμαρτίας ἀπόλαυσιν. Ἀλλὰ καὶ τὸ στενούμενον θλίβεσθαι πρὸς καλοῦ σοι ἐστί· μνήμην γὰρ θεοῦ ἡ θλῖψις μνηστεύεται.

www.ibtool.com.cn

2. Καὶ ἄλλως δὲ ἄνδρες μὲν ἀποστολικοὶ διὰ πολλῶν θλίψεων εἰσέρχονται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, οἱ δὲ καθ' ἡμᾶς ἁμαρτωλοὶ διὰ πλειόνων μαστίγων μόλις εἰς ὁδὸν μετανοίας ἀπευθυνόμεθα. Οὔκουν ἀποδυσπετεῖν, ὅτι μὴ καὶ μᾶλλον εὐχαριστεῖν ὀφείλομεν τῷ θεῷ, οὐ διὰ τῶν δεξιῶν ὅπλων, ἀλλὰ καὶ διὰ τῶν ἀριστερῶν προκαλουμένῳ εἰς μετάνοιαν. 3. Καὶ περὶ τούτων μὲν τοσαῦτα. Περὶ δὲ οὗ ἔγραψας βιβλίου μεγάλως ἐψυχαγώγησας, ὡς εἴθε καὶ ἄλλοι τὴν σὴν εἶχον πρὸς ἡμᾶς ἀγαθὴν προαίρεσιν, καὶ τάχ' ἂν ἐκ τῆς διασκεδασθείσης τοσαύτης θημωνίας τῶν βιβλίων ὥςπερ τινὰς καλαμώμενοι στάχυας παρερριμένους, συνεκόμιζον ἡμῖν, τῶν συνήθων ἀναγνωσμάτων λιμώττουσιν. 4. Ἐπεὶ δὲ σπάνιοι τῶν δυσημερούντων φίλοι εἰσὶ, σὺ γοῦν τὸ μὲν ἥδη εὑρεθὲν βιβλίον στεῖλόν μοι ὡς ὁμολογουμένως σόν· εἰ δὲ καὶ ἕτερον προευρήσεις, ἡμεῖς ὀφειλέται τοῦ τιμήματος. 5. Τῷ εὐλαβεστάτῳ διακόνῳ, ὡς ἔγραψας, ἐδόθη πιττάκιον χειροτονίας πρεσβυτέρου. Ὁ Κύριος εἴη διαφυλάττων σε ἐρρωμένον ψυχῇ τε καὶ σώματι.

ρκς'. Τῷ αὐτῷ.

1. Καὶ πρὶν δέξασθαι γράμμα παρὰ τῆς σῆς τιμιότητος ἡ φήμη φθάσασα τὸν σὸν ἀπήγγειλε πειρασμόν· καὶ πῶς εἴη ὀδυνηθῆναι ἡμᾶς ἐπὶ τῷ συμβεβηκότι σοι, ἡμιθνῆτι ὄντι καὶ βραχὺ κατὰ τοὺς ἐκλείποντας ἀναπνέοντι; 2. Ἐπεὶ δὲ καὶ γράμμα σὸν διεκομίσθη ἡμῖν, διεξοδικώτερον τὰ συμβεβηκότα

3. *θλίψις*.— 13. *ὥσπέρ τινας*.— 17. *στεῖλον*. — 20. *ἐρρώμενον*.

ρκς'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 138,δ - 139,α.

Digitized by Google

διηγούμενον, καὶ αὖθις μὲν τὴν καρδίαν ἠλγήσαμεν, καὶ μάλιστα ὅτε ἠκούσαμεν παρὰ τῶν ὁμοφύλων πρὸς τοὺς πειρατὰς ὀλέθρια μηνύματα, δι' ὧν αὐτοὺς προετρέποντο πρὸς τὴν σὴν ἀπώλειαν. Φεῦ ποταποὶ γεγόνασιν οἱ νῦν Χριστιανοί. Ἐδοξάσαμέν τοι τὸν φιλάνθρωπον Κύριον τὸν ῥυόμενον πτωχὸν ἐκ χειρὸς ‖ στερεωτέρων αὐτοῦ. Ἀνεμνήσθημεν γὰρ τῶν ἀρχαίων θαυμασίων θεοῦ, ὅτε καὶ ἀπὸ μέσης καμίνου καὶ λάκκου λεόντων καὶ κήτους παμφάγου τοὺς εὐσεβεῖς ἐρρύετο, οἷς καὶ τὸ κατὰ σὲ θαῦμα συνηριθμήσαμεν. 3. Καὶ ἐπεὶ ὁ ἀγαθὸς θεὸς ἀνεκαίνισε περὶ ἡμᾶς τὰ ἑαυτοῦ θαυμάσια, χρὴ καὶ ἡμᾶς τὴν προσήκουσαν πρὸς αὐτὸν εὐγνωμοσύνην ἐπιδείκνυσθαι, οὐ λόγοις μόνον εὐχαριστοῦντας, ἀλλὰ καὶ βίῳ ἀκριβεῖ καὶ μὴ παρὰ θύραν τοῦ ἐπαγγέλματος ἥκοντι. Ἡμεῖς δὲ καὶ ὅπως διάγεις αὐτόθι μετὰ τὸν πειρασμὸν μαθεῖν ἠβουλόμεθα. Δηλώσεις δὲ τοῦτο πάντως ἐν ἑτέρᾳ γραφῇ, τοῦ θεοῦ διατηροῦντός σε ὑγιῆ καὶ ἀνεπηρέαστον.

ρκζ'. Τῷ αὐτῷ.

1. Πολλὰς ὀφείλεις, τιμιώτατε, τὰς χάριτας τῷ θεῷ, πολλὰ ἐπὶ σοὶ καὶ τοῖς παλαιοῖς θαυμάσια καινουργήσαντι, τὸ ῥυσθῆναι λέγω οὕτως ἀπραγματεύτως ἀπὸ χειρῶν πειρατικῶν ὡς ἀπὸ κητῴας ἄλλης γαστρὸς, τὸ τοὺς λεοντώδεις ἄνδρας ἡμεροῦσθαί σοι καὶ προσβλέπειν ἵλεων, τὸ ἀπελαθῆναί σε τῆς οἰκείας μονῆς ὡς ἀπὸ ἄλλης Ἱερουσαλὴμ καὶ αὖθις ἐπανελθεῖν εἰς αὐτὴν οὐ διὰ κύκλου χρόνων μακρῶν, ἀλλ' ἐν βραχυημέρῳ καιροῦ διαστήματι. 2. Οὕτω τὰ περὶ σὲ τοῦ θεοῦ θαύματα τοῖς παλαιοῖς παρωμοίωται. Δίκαιον οὖν ἐστι καὶ σὲ ἀνταναφέρειν τῷ θεῷ ἀξίαν εὐχαριστίαν, ὁποίαν οἱ πά-

6. ‖ Κώδ. 139,α.— 8. *ἐρύετο.*

ρκζ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λχυρεντιακῷ κώδικι, φ. 139,α.

21. *ἡμεροῦσθαι. ἀπελαθῆναι.*— 26. *ὁποίαν.*

Digitized by Google

λαι μακαριστοὶ καὶ εὐγνώμονες. 3. Ἐδεξάμεθα καὶ ἀπεδεξάμεθα ὡς ἀντιφάρμακον τῆς παχυχύμου καὶ μοχθηρᾶς τροφῆς τὴν σταλεῖσαν κάππαριν, ἵνα μὴ λέγω ὡς καὶ ἄλλως ἐπιθυμητῶς αὐτῆς εἴχομεν, καθότι καὶ αὐτῆς ὡς καὶ πάσης ἄλλης λαχανείας ἡ ξεναγὸς ἡμῶν νῆσος ἔρημός ἐστιν. Χρησόμεθα τοίνυν καὶ ὡς φαρμάκῳ λυσιτελεῖ καὶ ὡς ὄψῳ ἡδεῖ, καί σε τὸν ἀπεσταλκότα ὡς ἰατρόν τε ἅμα καὶ ἑστιάτορα ἐπαινεσόμεθα.

ρκη'. Τῷ αὐτῷ.

1. Πῶς ἄν σοι παραστήσω ὅσα λελύπηκας Ἀθήναζε μεταλεσάμενος τὸν σὸν ἀδελφιδοῦν τὸν Νικόλαον; Ἔτρεχε καλῶς εἰς τὴν τῶν μαθημάτων ἐπίδοσιν καὶ τις Τελχὶν βασκήνας τῇ τοῦ παιδὸς προκοπῇ ὑπεσκέλισε. 2. Φεῦ οἵα φύσις δεξιὰ καὶ ἀγχίνους εἰς μαθημάτων ἀνάληψιν ἔστραπται εἰς ταλαιπωρίαν ἀγροικίας καὶ ἀμαθίας ἐν τῷ ἐμπαγῆναί οἱ δριμύτερον ἀκάνθης τὴν σὴν ἐπιστολιμαίαν ἀνάκλησιν· ὥςτε κατελεήσας ἐπειρώμην μὴ παραχωρῆσαι ἐπανιέναι. Ὅμως τόπον δοὺς τῇ κατὰ τοῦ ἡγουμένου ἡγουμενικῇ ὀργῇ καὶ τὰ ἐν τῇ κεφαλῇ τοῦ παιδίου μοχθηρὰ ἕλκη κατανοήσας, ἐνδέδωκα τὴν ἐπάνοδον.

3. Καὶ γέγονε μὲν ὡς ἔγραψας. Ἄκουσον δέ μου καὶ σὺ, καὶ ὃ περὶ τοῦ παιδὸς ὑποθήσομαι, οὐκ ἔλαττον σοῦ φιλῶν αὐτὸν διὰ τὴν εὐφυίαν αὐτοῦ, ὑπόδεξαι ἄσμενος. 4. Τί οὖν φημι; Ἰατρευθήτω ὁ παῖς, εἰ δυνατὸν, ὅλην τὴν ἕξιν τοῦ σώματος διὰ καθαρσίων πομάτων· δοκῶ γὰρ ὡς ὅλος κακοχυμίας πεπλήρωται· εἶτα καὶ τῆς κατὰ τὴν κεφαλὴν τοπικῆς θεραπείας ἀξιωθήτω. Ἔπειτα στεῖλον αὐτὸν ἐνταῦθα,

3. *κάπαριν.*

ρκη'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 139, α.

11. *τίς.* — 12. *οἵα.*

Digitized by Google

οὐκέτι ἐν τῷ τοῦ ἡγουμένου κελλίῳ διαιτησόμενον, ἀλλὰ τοῖς λοιποῖς παισὶ καὶ συμμαθηταῖς συντραφησόμενον. Οὐχ εὑρήσεις παρὰ τὸν κύριον Γεώργιον κρείττονα διδάσκαλον ἕτερον ἐν τῷ τῆς Ἑλλάδος κλίματι. 5. Ἀλλὰ ταυτὶ μὲν ἡμεῖς, σοὶ δ' ἔξεστιν ἐν τοῖς σοῖς ὃ θέλῃς ποιεῖν. Τὸ κεράμιον τοῦ οἴνου διεκομίσθη ἡμῖν. Ἐρρωμένος ψυχῇ τε καὶ σώματι διαφυλάττοιο.

ρκθ'. Τῷ γυναικοθείῳ τοῦ βασιλέως τοῦ Λάσκαρι κῦρ Βασιλείῳ τῷ Καματηρῷ.

1. Πολλῶν ἀντίδοσις ἀγαθῶν ἀπόκειται παρὰ τῷ θεῷ τῇ ὄντως εὐγενεῖ σου ψυχῇ, ἐν Κυρίῳ ἀγαπώμενε κύριέ μου καὶ αὐθέντα, ὅτι, τοῦ χρυσοῦ γένους μόνος ὑπολειφθείς, εἰς πολλῶν ἀντάξιος, τὰ πάντα γενέσθαι τοῖς πᾶσι πολίταις τῆς Κωνσταντίνου, τοῖς χθὲς μὲν εὐδαίμοσι, νυνὶ δὲ τλήμοσιν, ἀποστολικῶς ἐσπούδασας. Καὶ πρό γε ‖ πάντων τῷ λοιπῷ λύχνῳ τῆς βασιλείας παρεδρεύων ἐπιχέεις τροφὴν κατάλληλον· πλὴν οὐκ ἄλλην ἔχεις ἐκδεξάμενος παρὰ τοῦ προφητικοῦ βασιλέως ἕδοντος πλὴν ἀληθείας καὶ πραότητος καὶ δικαιοσύνης καὶ τοῦ πάντα δὴ τρόπον εὖ ποιεῖν τὸ ὑπήκοον. Δι' ὃ δαψιλέστερον λιπαίνων αὐτὸν, οὐχ ὅπως ἄσβεστον διατηρεῖσθαι παρασκευάζεις, ἀλλὰ καὶ ἐπὶ μέγιστον αὔξεσθαι ἀεὶ καὶ πυρσεύειν τηλεφανὲς, εἴη δὲ εἰπεῖν μετὰ βραχὺ καὶ παγκόσμιον.

2. Σοὶ μὲν οὖν τούτων ἕνεκα, ὡς ἔφην, πολλὰ τἀγαθὰ ὀφείλεται παρὰ θεοῦ, τῷ θεῷ δὲ αὖ παρὰ πάντων χαριστήριος

3. *διδάσκαλον ἕτερον διδάσκαλον ἐν.*— 5. *θέλεις.*

ρκθ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν τῷ λαυρεντιακῷ κώδικι (Λ), φ. 139,α-140,α καὶ τῷ βροκκικῷ (Β), φ. 163,β 164,α.

Τίτλος. *τῷ θείῳ τοῦ βασιλέως καὶ λογοθέτῃ τῷ καματηρῷ κῦρ βασιλείῳ* Β.— 12. *τῆς χθὲς* Β.— 13. ‖ Κώδ. 139,β.— 14. *ἣν οὐκ* Β.— 18. *λιπαίνειν.*— 20. *μεταβραχὺ* Β.— 21. *σὺ* ΑΒ. — 22. *εὐχαριστήριος* Β.

Digitized by Google

ὕμνος καὶ θυσία αἰνέσεως οἷς διατετήρησαι κατὰ τὴν μετοικεσίαν τῆς καθ' ἡμᾶς Σιὼν ὡς ἐπὶ τῆς πάλαι οἱ ἀμφὶ τὸν Ἰεζεκιήλ τε καὶ Δανιὴλ, ὡς ἂν ὑπὸ σοὶ σοφωτάτῳ ἐπιστημονάρχῃ πολιτείας νομίμου καὶ βασιλείας εὐδαίμονος τά τε τῆς βασιλείας βασιλικῶς διευθύνοιτο καὶ τὸ ὑπὸ χεῖρα κατὰ Χριστὸν πολιτεύοιτο. 3. Τίς γὰρ σοῦ τὰ τοιαῦτα σοφώτερος, διὰ τοσῶνδε βασιλειῶν καὶ τῆς ἐν μέσῳ τυραννίδος ἐληλυθότος πολιτευτικῶς καὶ πείρᾳ μακρᾷ τὴν ἀρίστην ἁρμονίαν τῆς μοναρχίας ἀκριβωσαμένου καὶ τῆς ὑπ' αὐτὴν πολιτείας τὰ κράτιστα; Οὔκουν ἡ μεγαλόπολις, ὡς ἐκ Βυζαντίου ἀνάστατος, ἄπολις τὸ ἐπὶ σοὶ ἦκον οὕτω νομοθετοῦντι καὶ περὶ τῶν πρακτέων ἀποθεσπίζοντι, ὅτι μηδὲ κατὰ τὸν ἀρχαῖον λόγον πόλις ἂν εἴη ἀληθῶς ἐρυμνὰ τείχη καὶ ὑψηρεφεῖς οἶκοι, τεκτόνων ἔργα, καὶ ἀγοραὶ καὶ νεώσοικοι, ἀλλ' ἄνδρες εὐσεβείᾳ καὶ ἀνδρείᾳ τετειχισμένοι καὶ σωφροσύνῃ καὶ δικαιοσύνῃ κοσμούμενοι.

4. Καλὰ μὲν οὖν καὶ ταῦτα, ὦ ἄνθρωπε τοῦ θεοῦ καὶ τῇ μετοίκῳ πόλει λυσιτελέστατα καὶ αὐτῷ δὲ σοὶ, ὡς τοῖς πάλαι μεγάλοις καὶ μεσίταις μεγάλων θεοῦ διοικήσεων, περιποιούμενα λαμπρότατον ὄνομα, οἷον δὴ κἀκεῖνο τὸ ὑποθέσθαι τῷ βασιλεῖ κεφαλὴν ἐπιθεῖναι τῇ καθ' ἡμᾶς ἱερωσύνῃ καὶ μηκέτι περιορᾶν τὸ ἱερατικὸν χρίσμα κινδυνεῦον ἐκλιπὲς γενέσθαι, ἀλλὰ τῆς ἐκ τοῦ διπλοῦ μύρου εὐοδμίας ἀπολαύειν τὸ βασίλειον ἱεράτευμα. 5. Ἀπέχρη μὲν οὖν σοί τε καὶ τῷ κρατίστῳ βασιλεῖ πρὸς ἐπίδειξιν φιλανθρωπίας ἡ δυστυχὴς ἀποικία τῆς πόλεως, ἡ ποτὲ τρυφῶσα, νῦν δὲ οὐκ εὖ πράττουσα, ἡ ἐπὶ κόκκῳ τιθηνουμένη, κατὰ τὸν ἐν προφήταις τραγικώτατον, εἶτα περιβαλλομένη τὰ ἀτιμότατα. Ἥτις καὶ μεμνημένη τῆς καθ' ἡμᾶς Σιὼν αὐτοῦ που καθημένη κλαίουσα ἔκλαυσε, κατὰ τὸ πλῆθος μέντοι τῶν ὀδυνῶν αὐτῆς αἱ παρ'

2. *αμφὶ* Α.— 3. *ἰζεκιὴλ* Β.— 4. *πῶ* Α. *πῷ* Β.— 8. *πεῖρα* ΑΒ.— 9. *πολίτας* Β.— 14. *νεώσηκοι* Β.— 15. *ἀνδρία* Β.— 18. *μερίκω* Α. *δέ σοι* ΑΒ.— 19. *μεσῖταις* Β.— 20. *δὲ* ΑΒ.— 21. *ἐπιθῆναι* Β. *ἱεροσύνη* Β.— 23. *ἀπολαῦειν* Β.

www.libtool.com.cn

Digitized by Google

ὑμῶν παρακλήσεις εὐφραίνουσι τὴν καρδίαν αὐτῆς. Ὑμῶν δὲ ἀλλ' ἡ τῆς συμπαθείας φιλοτιμία οὐκ ἠγάπησεν ἐπαρκοῦσα μόνη τῇ ἐπὶ τὴν Ἀσίαν ἐκκεχυμένη μεγαλοπόλει, ἀλλὰ καὶ τοὺς ὅποι ποτὲ γῆς καὶ θαλάττης φυγάδας ἐφ' ἑαυτοὺς ὡς ἐπὶ κοινὴν ἑστίαν ἢ πρυτανεῖον οἰκουμενικὸν ἢ μακάρων εὐωχίαν καὶ ἀναπαύλας μεταπέμπεσθε. Ὥςπερ ἄρα κἀμὲ παροικοῦντα τὰ ἔσχατα τῶν κατ' Αἰγαῖον Κυκλάδων νήσων μετεκαλέσασθε καὶ ἅπαξ καὶ δεύτερον.

6. Ἀλλ' ἐμοὶ κἀνταῦθα τὸ πλημμελὲς τῆς ψυχῆς προίσταται καὶ κατέχει σπαργῶντα πρὸς τὴν μετάκλησιν. Τί δέ ἐστι τοῦτο; Εἰ καὶ κρύπτειν ἄμεινον, ἀλλ' ἔγωγε οὐκ ἀποκρύψομαί σε τὴν θειοτάτην καὶ τοῦ παντὸς τιμωμένην κεφαλήν. Τί οὖν φημι; Νομίζω, σοφώτατε ἀνδρῶν, κατὰ θείαν ψῆφον Ἀθήνηθεν μὲν ἀπεληλάσθαι με, φυγαδευτηρίῳ δὲ κεχρῆσθαι τῇδε τῇ νήσῳ, ἔτος τουτὶ τρίτον, τῇ λυπρᾷ μὲν, ὡς αὐτὸς ἂν εἴποις· ἐγὼ γὰρ οὐδὲν φλαῦρον ἐρῶ, αἰδούμενος ὡς ξεναγὸν ἐμὴν ἀγαθὴν καὶ ἄσυλον ἱερὸν καὶ φυγαδευτήριον ἐρυμνὸν καὶ εἰς τόδε χρόνου τοῖς ἐχθίστοις Ἰταλοῖς ὡς οὐκ εὐέφοδον ἄβατον. 7. Ἐπεὶ γὰρ ἀπόγονός εἰμι τοῦ γενάρχου καὶ πάντα πατρῴζων, τὴν αὐτὴν ἐκείνῳ συμφορὰν κεκλήρωμαι· οὗ μὲν ‖ πεπίστευμαι θείου κήπου δικαίως ἐκβέβλημαι, ἐνταῦθα δὲ κατῴκισμαι ἐκ γειτόνων τῆς Ἀττικῆς, ὡς Ἐδὲμ ἄλλης, ἀπέναντι, οὐχ ἵνα ψυχαγωγίαν ἐντεῦθεν ἡντιναοῦν ἔχω, ἀλλ' ἵνα μᾶλλον διὰ τῆς ἐνδελεχοῦς ὄψεως ὑπομιμνησκόμενος τοὐμὸν ἄλγος ἀνακαινίζω, ἐπιξαίνων ὥςπερ διὰ τῆς ἀναμνήσεως, κἀντεῦθεν τὴν αἰτίαν μοι τῶν τοιούτων κακῶν ἁμαρτίαν φιλεχθρῶν καὶ μνησικακῶν διὰ μετανοίας ἀμύνω-

1. *ἡμῶν* B.— 4. *ὁποίποτε* AB. *θαλάσσης* B. — 6. *μεταπέμπεσθε* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *μεταπέμπεσθαι* Λ. *μεταπέμπεσθαι* B.— 7. *μετακαλέσασθε* B.— 12. *κεφαλην* B.— 13. *θεῖαν* B. — 16. *εἴποις* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *εἴπης* B. *ἐγὼ δὲ* Λ. *φαῦλον* B. — 18. *ἰ φοδον* μένοντος ἀγράφου κενοῦ ἐν μέσῃ τῇ λέξει ὡσεὶ διὰ τέσσαρα γράμματα B. — 21. ‖ Κώδ. 140,α. — 23. *οὐτιναοῦν* B. — 26. *μοι* λείπει Λ. — 27. *μνησικακῶν διὰ μνησικακίας* Λ.

www.nbook.com.cn

Digitized by Google

μαι. 8. Ταῦτα λογιζόμενος, ὡς ἀπὸ θεοῦ λαβὼν σπάρταν, στέργω τὴν ἐνταῦθα παροίκησιν καὶ δοκῶ μοι παρόψεσθαι θείαν καὶ αὐθις κέλευσιν, εἴπερ, τοῦ θεοῦ μοι παρεχομένου τόπον μετανοίας κἀπὶ τὴν στενὴν ἐκ τῆς πλατείας συνάγοντος, αὐτὸς ἐπὶ τὴν προτέραν βαστώνην ἀναδράμοιμι καὶ τὴν παρ' ὑμῶν ψυχαγωγίαν ἁρπάσαιμι. 9. Εἰς μὲν δὴ καὶ πρῶτος δεσμὸς οὗτος ἐκ τοιῶνδε λογισμῶν διαπεπλεγμένος ἄντικρυς ἐπέχων ἐπιφωνεῖ μοι «μένε ἀτρέμας, τλαίπωρε». Δεύτερος δὲ τὰ προςόντα τῷ γήρᾳ πάντα κακὰ, ἃ μετὰ τῶν κοινῶν καὶ ἰδίων δυςπραγημάτων ἐπιθέμενα οὐχ ὅσον τῆς νήσου πορρωτέρω παραχωρεῖ μὴ μεθορμίζεσθαι, ἀλλ' οὐδ' αὐτοῦ τοῦ δωματίου προβαίνειν ἐφίησι. 10. Διὰ ταῦτα δέομαι τῆς θεσπεσίας κεφαλῆς πρῶτα μὲν παρ' αὐτοῦ δοθῆναί μοι συγγνώμην οὐ δυναμένῳ τοῖς καλοῦσιν ὑμῖν προςδραμεῖν, εἶτα καὶ τὸν θειότατον ἐκμειλίξασθαι αὐτοκράτορα. Οὐ γὰρ ὡς αὐτογνώμων καὶ ἀτενὴς ἀπειθῶ, ἀλλὰ καὶ σφόδρα ἐπιθυμῶν αὐτοπτῆσαι καὶ προςκυνῆσαι τόν τε αὐτοκράτορα καὶ τὴν μεγίστην σου αὐθεντίαν καὶ τῆς περὶ ἐμὲ κηδεμονίας λόγοις εὐχαριστηρίοις ἀμείψασθαι, ὅμως ὑφ' ὧν εἴρηκα βιαίως ἐπέχομαι· οὐ παύομαι μέντοι καὶ δεῦρο καθήμενος τοῦ δεῖσθαι τοῦ ἀγαθοῦ θεοῦ ὑμᾶς ἡγεμόνας γενέσθαι πρὸς τοῖς ἄλλοις καλοῖς καὶ τῆς ἐπὶ τὸ Βυζάντιον ἐπανόδου ἢ καθόδου τῆς μεγαλοπόλεως. 11. Δίκαιον γὰρ τοὺς ἐπὶ τῆς ἀλλοδαπῆς συναγαγόντας αὐτὴν ἐπαναγαγεῖν καὶ οἴκαδε καὶ ὑμᾶς ἄδεσθαι ἀνοικιστὰς καὶ πολιστὰς δευτέρους αὐτῆς καὶ εἴ τι ἄλλο σωτήριον ὄνομα. 12. Εἰ δὲ καὶ ἡμεῖς ἐπιβιώημεν καὶ τῷ παντὶ οὕτως ἀνανεωθέντι συνεκνεάσαιμεν, τηνικαῦτα καὶ χωλῶν δρόμον, τὸ τοῦ λόγου, ὀψεσθε. Ἀλούμεθα γὰρ ὡς ἔλαφος οἱ χωλοὶ, καὶ ὡς ἐκεῖνος ἐπιποθεῖ ἐπὶ τὰς πηγὰς τῶν

3. *θείαν* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *θεῖαν* B.— 6. *ἡμῶν* R. — 8. *δεύτερον* Λ.— 9. *γῆρα* B.— 10. *παραιτέρω* B.— 11. *μὴ λείπει* B.— 12. *ἐφίησιν* B.— 13. *δοθῆναι* ΛB.— 21. *ἡμᾶς* B.— 24. *ἐπαναγαγεῖν οἴκαδε* B. — 28. *ἔλαφοι* Λ.

www.libtool.com.cn

Digitized by Google

ὑδάτων, οὕτως καὶ ἡμεῖς ἐφ' ὑμᾶς, τὴν λοιπὴν τῶν Χριστιανῶν ἀνάψυξιν, ἐπιποθήσομεν, πολυχρονίους τοῦ θεοῦ διατηροῦντος ὑμᾶς.

ρλ'. Τῷ καθηγουμένῳ τῶν Ἁγίων Ὁμολογητῶν.

1. Τὸ γράμμα σου δεξάμενοι, τιμιώτατε, τὰ κατὰ τὸν σὸν ἀδελφόπαιδα δι' αὐτοῦ ἀκριβῶς μεμαθήκαμεν, τὸν ὀρφανισμὸν λέγω, καὶ ὀρφανισμὸν γονέοιν ἀμφοῖν καὶ ἐν ἀώρῳ ἡλικίᾳ καὶ νηπιώδει, καὶ ὅπως αὐτὸς ἀνελόμενος ἐξεθρέψω καὶ διδάσκειν ἐπεβάλου γράμματα, διάπειραν τῆς φύσεως τοῦ παιδὸς ποιησάμενος. Ἐπὶ τούτοις ἠξίους ἐπιτείνειν τὸν παῖδα καὶ πρὸς τὰ τῶν μαθημάτων τελεώτερα. 2. Τί οὖν πρὸς ταῦτα ἡμεῖς; τῆς μὲν ὀρφανίας οὐ πάνυ τι τὸν παῖδα ἐταλανίσαμεν, μαθόντες ὡς αὐτὸς σὺ εἰς πατέρα καὶ τροφέα καὶ παιδευτὴν αὐτῷ γέγονας καὶ πατέρα τοσούτῳ τοῦ σαρκικοῦ βελτίω ὅσῳ καὶ τοῦ ἁπλῶς εἶναι τὸ εὖ εἶναι ἄμεινον· ὧν τοῦ μὲν ἐκεῖνος τουτωὶ αἴτιος, τοῦ δὲ αὐτὸς μεταδοῦναί σοι ἐσπούδακας. 3. Ταῦτ' ἄρα κἀπὶ τὰ τελεώτερα τῶν διδαγμάτων προβιβάζειν ἐπισκήπτεις, ὅπερ ὡς ἀπὸ ψυχῆς μὲν περικαιομένης τοῦ παιδὸς γραφὲν ἐπαινεῖν ἔχομεν, ἄλλως δὲ ὡς ὑπὲρ τὰ ἐσκαμμένα φερόμενον, ὃ δὴ λέγεται, οὐ θαυμάζομεν. Εἰπὲ γάρ μοι, εἴπερ τὸ παιδίον τουτὶ ἢ ἕτερον εὑρών που κείμενον ἔκθετον, εἶτ' ἀνελόμενος ἐνεχείρισας τίτθῃ τινί, ἆρα ἐπέσκηπτες ἂν αὐτῇ ἄνετον ἐφιέναι οἱ τὸν μασθὸν ἕως τοῦ καὶ ὑπερβλύζειν τὸ γάλα τοῦ νηπιώδους ‖ στόματος ἢ, τὸ ἀτοπώτε-

ρλ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν τῷ λαυρεντιακῷ κώδικι (A), φ. 140,α - 140,6 καὶ τῷ βαροκκικῷ (B), φ. 155,6.

Τίτλος. τῷ ἡγουμένῳ τῆς μονῆς τῶν ἁγίων ὁμολογητῶν B. — 7. νηπιώδειν B. — 10. οὖν καὶ πρὸς B. — 13. τοσούτου B. — 14. εἶναι εἰς τὸ B.— 15. ἐσπούδακε B.— 17. μὲν λείπει A. — 20. τουτὶ B.— 21. ἐνεχείρησας B.— 22. ἐφιέναι ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἐφιέναι A. ἀφιέναι B.— 23. ‖ Κώδ.140,6.

Digitized by Google

ρον, πρὶν ἢ ἀπογαλακτίσαι προσέττατες σκληροτέραν προσφέρειν [τροφὴν] καὶ οἵαν τῶν ὀδόντων οἱ μὲν τέμνοντες, οἱ δὲ λεαίνοντες εὐκατέργαστον οὕτω παραπέμπουσι τῇ γαστρὶ, ἢ καὶ ἀρχόμενον ἕρπειν ἅμα ποσὶ καὶ χερσὶν ὡς τὰ τῶν ζώων τετρασκελῆ, καθ' ὃ καὶ τετράπουν ζῷον τὸν ἄνθρωπον ἡ σφὶγξ ἠνίξατο, ἠξίους μὴ οὕτω κινεῖσθαι, ἀλλ' ὀρθοπεριπατητικὸν ποιεῖσθαι περίπατον; 4. Ἢ, ἵνα ἐγγύτερον ἅψωμαι τοῦ πράγματος, λέγε μοι νῦν. Ὅτε παρὰ σοὶ ἢ παρ' ἑτέρῳ τινὶ γραμματιστῇ μαθητεύεσθαι γράμματα ἤρξατο οὗτος ὁ παῖς, μῶν πρὶν ἢ τὰ πρῶτα τῶν γραμμάτων στοιχεῖα γνωρίσαι ἠναγκάζετο συνάπτειν εἰς συλλαβὰς ἢ, πρὸ τοῦ συλλαμβάνειν τὰ στοιχεῖα, λέγειν ὀνόματα ἢ πρὸ τοῦ φθέγγεσθαι ὀνόματα καὶ ῥήματα συνείρειν λόγων ὁρμαθούς; Οὐκ ἂν ἔχοις εἰπεῖν. 5. Οὐκοῦν μηδὲ ἐν τοῖς νῦν μαθήμασι βιάζου τὸν παῖδα ὑπερβάθμιον πέδα τείνειν παρὰ τὸ σοφὲν παράγγελμα καὶ τὴν ἔντεχνον μέθοδον. Τὸ γὰρ μὴ ὁδῷ καὶ τάξει προβαίνειν ἀπὸ τῶν ἀτελεστέρων καὶ προτέρων ἐπὶ τὰ τελεώτερα καὶ ὕστερα, ἀλλ' ὑπερβαίνειν καὶ τοῦ τελείου ἀμέσως ἐφίεσθαι σφαλερὸν καὶ παρὰ τοῖς παλαιοῖς ἐμπλήκτῳ ἅλματι προσεικάζεται· δι' οὗ πρὸς τῷ μὴ ἐφικνεῖσθαι ὧν παρὰ δύναμιν ἐφίενται οἱ οὕτω πλημμελῶς ἅπτοντες καὶ τῶν ἐν ἐφικτῷ ἀποπίπτουσιν. 6. Ὡς ἔγωγε καὶ τῆς προτέρας περὶ τὸν παῖδα δυσαναγωγίας οὐκ ἄλλον ἀλλὰ σὲ ἔχοιμ' ἂν αἰτιᾶσθαι, ἐξ ἧς εἰς τὸ γράφειν μὲν τὰ λεγόμενα νοήματα ἐπετείνετο, κανόνων δὲ καὶ ὅρων ἢ συντάξεων ἢ ἀναλογιῶν ἢ ἀναλύσεων ἐτυμολογικῶν οὐδ' ἄκρῳ λιχανῷ φαίνεται γευσάμενος.

7. Οὔτως· ἀλλά μοι μηδὲν ἀχθεσθῇς, ἀλήθειαν γὰρ ἐρῶ· καὶ τοὺς παρ' ὑμῖν μαθητευομένους μοναχοὺς ἀμεθοδεύτως

1. *πριν ἢ* ΑΒ. — 2. *τροφὴν* λείπει ΑΒ. — 5. *καθὸ* ΑΒ. — 7. *ἐγκύτερον* Β. *τὰ τοῦ* Β. — 9. *γράμματι* ΑΒ. — 10. *πριν ἢ* ΑΒ.— 13. *ἔχεις* Β.— 14. *οὐδὲ* Λ.— 18. *τε καὶ* Β.— 19. *ἐμπλάκτω* Λ. — 20. *προσηκάζεται* Β. *τὸ* Β. — 21. *ἐνεφικτῶ* ΑΒ. — 24. *ἐξῆς* Β. — 25. *συντάξεων ἀναλογικῶν* Β. — 27. *γὰρ* λείπει Β.

www.libtool.com.cn

Digitized by Google

διδάσκετε, καὶ πρὶν αὐτοὺς στοιχειῶσαι αὐτουργῷ ὑποταγῇ καὶ εἰσαγωγικαῖς ὑπουργίαις ἐγγυμνάσαι καὶ τὴν εὐπείθειαν προπαιδεῦσαι καὶ εἰς ἕξιν ὑπακοῆς προβιβάσαι παγιῶσαί τε εἰς ταπείνωσιν, περιστέλλετε τούτους, ἀποσεμνύνοντες μανδύαις ποδήρεσι καὶ σανδαλίοις ἀποστολικοῖς· εἰ δέ τις καὶ τὸν Δαυὶδ ὑπαναγινώσκει ὁπωσοῦν, καὶ τῷ τῆς ἱερωσύνης τελειοῦτε χρίσματι. 8. Εὐλόγως οὖν τυφούμενοι καὶ τῆς ἡγεμουνείας ἐρῶσι καὶ ἔφεδροι καθήμενοι εὔχονται καὶ ἐλπίζουσιν ἢ θᾶττον θανόντας διαδέξασθαι ἢ καὶ ζῶντας παραλῦσαι τῆς ἀρχῆς, καὶ οὕτω τῆς ταχείας καὶ ἀμεθοδεύτου διδασκαλίας κατάλληλα ἀπολαμβάνετε καὶ τὰ διδασκάλια. 9. Ἀλλ' ἐπὶ μὲν τοῖς μοναχοῖς τὸ δοκοῦν ὑμῖν γινέσθω· τὸν δὲ παῖδα, ἐπεὶ παρέθου ἀνδρὶ μὴ ψευδομένῳ τὸν διδάσκαλον, ἔασον τεχνῶσθαι καθὼς ἂν οὗτος βούλοιτο· μόνον ἐπεύχου τῷ παιδὶ καὶ τὴν ἀπὸ θεοῦ συνέτισιν. Ὃς καὶ τὴν σὴν τιμιότητα διατηροίη ἐρρωμένην ψυχῇ τε καὶ σώματι.

ρλα'. Τῷ ἀρχιατρῷ κῦρ Νικολάῳ τῷ Καλοθούκῃ.

1. Εἰ καὶ μὴ διὰ γραμμάτων ἄλλων ἐπ' ἄλλοις προσφθεγγόμεθά σε, ὦ ἀγαπώμενε κατὰ πνεῦμα υἱέ, καθότι διάπυρον καὶ ὄντως ἀκάματον οἶδα τὴν κατὰ Χριστὸν ἐπαινουμένην πρὸς ἡμᾶς σου διάθεσιν, ὡς μὴ τῆς ἀπὸ τῶν γραμμάτων ζωπυρήσεως δεῖσθαι τοσοῦτον καὶ ἀναθάλψεως, ἐπεὶ καὶ ἡ κατὰ σὲ τέχνη οὐ τοσοῦτον τὰ εὐεκτικὰ καὶ εὔρωστα τῶν σωμάτων ἀξιοῖ φαρμάκων προφυλακτικῶν ὅσον τὰ εὐπαθῆ καὶ πρὸς τὸ νοσεῖν εὐέμπτωτα· ἀλλά γε διὰ μνήμης ἀγαθῆς τὰ κατὰ σὲ πολλάκις ποιούμεθα καὶ τῶν διομιλούντων ἡμῖν τοῖς

1. *στοιχιῶσαι* B.— 6. *τελειοῦτε* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *τελειοῦται* A. *τελειοῦται* B. *χρίσματι* B. — 9. *παραλύσαι* B. — 11. *τὰ λείπει* B.— 12. *γενέσθω* B. — 13. *τεχνᾶσθαι* B.

ρλα'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 140,6 - 141,6.

www.libtool.com.cn

Digitized by Google

οὐκ εἰδόσι τὸ σὸν ἀκροφυὲς καὶ θυμόσοφον διατρανοῦμεν ὡς οἷόν τε καὶ ὅπως εἰς ἄκρον ἂν ἤλασας τῆς φιλανθρωποτάτης ἐπιστήμης, ‖ εἴπερ ἐπὶ σχῆμα μενούσης τῆς ῥωμαϊκῆς πολιτείας πρὸς βραχύν τινα χρόνον τοῖς τρίβωσι ταύτης παρηκολούθηκας. 2. Ὅμως γοῦν καὶ νῦν τὸ σὸν περὶ τὴν τέχνην δεξιὸν καὶ ἀγχίνουν διαφαίνεται τοῖς οὐκ ἐπιπολῆς βλέπουσι. Ναὶ, καὶ εἴης ἀεὶ προβαίνων μὲν εἰς τὴν τῆς ἐπιστήμης ἀκρότητα, παρὰ θεῷ δὲ καὶ ἀνθρώποις εὑρίσκων χάριν καὶ εὐδοκίμησιν. Ἔσται δὲ τοῦτο μᾶλλον πρῶτον μὲν εἰ μὴ βαρύνεις τοὺς μισθοὺς τῆς θεραπείας, δεύτερον δέ εἰ μὴ ἀμελῶς καὶ ἀπροσπαθῶς, ἀλλ' ὡς ἐπ' ἀλλοτρίῃσι συμφορῇσι, κατὰ τὸν σὸν Ἱπποκράτην, λύπας καρπούμενος ἐπισκέπτῃ τοὺς νοσοῦντας καὶ μάλιστα τοὺς μετὰ τῶν δεινῶν συμπτωμάτων τῆς πενίας χαλεπῶς κάμνοντας.

3. Περὶ οὗ μέν τοι δεδήλωκας, ἐθαύμασα πῶς τὸν οὕτως ἔνθερμον ἔρωτα ὃν τρέφεις περὶ τὸν θεολογικώτατον διδάσκαλον ἀνθρωπίνη μέμψις καὶ ψυχρὰ ἴσχυσε σβέσαι, ὥστε μὴ κατ' ἔθος ἑορτάζειν αὐτῷ 4. Ὅτι δὲ κενὴ καὶ ἀνεύλογος ἡ μέμψις καὶ τὸ ὅλον βάσκανος δῆλον καὶ τῷ τυφλῷ φασι. Εἰ γὰρ οὐκ ἄλλῳ τινὶ προσῆκόν ἐστιν ἑορτάζειν τῷ ῥηθέντι πανσόφῳ πατρὶ, ὡς φασιν οἱ τῶν ἐπαινουμένων κατήγοροι, εἰ μὴ μόνοις φιλοσόφοις καὶ ῥήτορσιν εἰς στενὸν ἂν κομιδῇ τὰ τῆς τιμῆς τῷ ἁγίῳ περιγράφοιτο, ἀλλα μὴν ἅπας εὐσεβὴς καὶ σοφὸς καὶ ἄγροικος ἑορτάζειν οὐ κεκώλυται, τῷ φθόνῳ φάσκων κλάειν πολλά. 5. Καὶ ἄλλως δὲ εἰ σοφοῖς πατράσι σοφοὺς ἀποκληρωτέον ἑορταστὰς κατὰ τὴν τῶν Τελχίνων νομοθεσίαν, λοιπὸν καὶ τοῖς ἐκ στρατιωτικοῦ καταλόγου μάρτυσιν ἑορταζέτωσαν στρατιῶται μόνοι, καὶ τοῖς μὲν ἀσκηταῖς μοναχοὶ καὶ ταῖς ἁγίαις γυναιξὶ μόναι γυναῖκες, τοῖς δὲ θείοις Ἀναργύροις καὶ τοῖς ὁμοτέχνοις αὐτῶν ἁγίοις οἱ ἰατροὶ, καὶ οὕτως ἡ μία ἐκκλησία τοῦ θεοῦ εἰς πολλὰ διαιρεθήσεται τμήματα σεβασμάτων κατὰ τὸ ῥαψῳδούμενον περὶ τῶν πάλαι

2. *οἷον*.— 3. ‖ Κώδ. 141, α.— 20. *προσῆκον ἐστὶν*.

www.libtool.com.cn

Digitized by Google

πολυθέων «ἄλλος ἄλλῳ ἔρεζε θεῶν αἰειγενετάων». 6. Καὶ τοιαῦτα μὲν εἴχομεν λέγειν εἴπερ μηδὲν ὅλως μετῆν σοι πρὸς τὸν ῥηθέντα σοφὸν διδάσκαλον. Ἐπεὶ δὲ καὶ περὶ ἰατρικὴν ἔχεις, τῆς δὲ ἰατρικῆς αἱ ἀρχαὶ φυσιολογίας ἤρτηνται καὶ οἱ φυσιολογοῦντες εἰς ἰατρικὴν καταλήγουσιν, ὡς Ἀριστοτέλης τε ἔφησε καὶ Πλάτων ἐν τῷ Τιμαίῳ πεποίηκε, πῶς οὐ συγγενῶς καὶ οἰκείως ἔχεις πρὸς πατέρα σοφὸν ἀνὴρ ἰατρός; Τὸ δέ γε χαριέστατον, οὐχὶ καὶ ὁ μέγας οὗτος Γρηγόριος τὸν ἑταῖρον αὐτοῦ Βασίλειον ἐγκωμιάζων ἐν τῷ Ἐπιταφίῳ πρὸς ταῖς ἄλλαις ἐπιστήμαις καὶ τῆς ἰατρικῆς ἐν ἕξει γενέσθαι φησὶ δι' ἣν εἶχε σωματικὴν ἀσθένειαν; Καὶ μὲν δὴ ἀκριβώσασθαι μαρτυρεῖ ὅσον αὐτῆς δογματικὸν καὶ φιλόσοφον. 7. Τί γοῦν ἀκατάλληλον ποιεῖς περὶ φιλόσοφον τέχνην ἔχων, εἶτα ἐξυμνῶν πατέρα φιλόσοφον, καίτοι οὐ διὰ τῶν ἐπιτηδευμάτων συγγένειαν τοὺς κλεινοτέρους τῶν ἁγίων ἑορταῖς τε καὶ πανηγύρεσι τιμῶσιν ἄνθρωποι, ἀλλ' ἵνα πρεσβευτὰς ἔχωσι, τὰ πρὸς θεὸν ὑπὲρ αὐτῶν ἐντυγχάνοντας, ὥστε καὶ κατὰ τὸν παρόντα βίον τῆς ἄνωθι ῥοπῆς ἀπολαύειν καὶ ἐν τῇ ἐλπιζομένῃ ζωῇ συγγνώμης τυχεῖν ὧν πλημμελοῦμεν ἑκάστοτε.

8. Εἴ τι γοῦν ἀξιοῖς ἐμοὶ πείθεσθαι, τὴν μὲν ἑορτὴν ἣν ηὔξω <τουτέστιν ὑπέσχου> θεῷ ἐπιτελεῖν τῷ ἐκείνου θεράποντι μὴ κατόκνει ἀποδιδόναι κατὰ τὸ κρατοῦν παντοῦ ἔθος ἐκκλησιαστικόν· ἀγαθὸν γάρ φησι μὴ εὔξασθαι ἢ εὔξασθαι καὶ μὴ ἀποδοῦναι. Καὶ ὁ θεῖος Δαυὶδ «ἀπόδος, φησὶ, τῷ ὑψίστῳ τὰς εὐχάς σου» <τουτέστι τὰς πρὸς θεὸν ὑποσχέσεις σου>, τούσδε δ' ἔα φθινύθειν ἕνα καὶ δύο, τὰ ἀδιάβλητα ‖ διαβάλλοντας ἀνεπαισχύντως, ἀποδιδοὺς τὰς εὐχάς σου ἐναντίον παντὸς τοῦ λαοῦ, κατὰ τὸν μέγαν Δαυίδ. 9. Ἂν γὰρ ὡς ἐν παραδύστῳ καὶ σκότῳ νυκτὸς ἀφοσιοῦσθαι τῷ ἁγίῳ τὰ τῆς ἑορτῆς βούλει, ὡς ἔγραψας, δι' ἀκαθίστου ὑμνολογίας φεύγων τὸν καπνὸν κινδυνεύσεις ἐμπεσεῖσθαι πυρί, ἔτι δὲ μᾶλ-

9. *αὐτοῦ*. — 10. *ἐτέλεσει*. — 13. *ἐξύμνῶν*. — 17. *αὐτῶν*. — 26. ‖ Κώδ. 141,6.

Digitized by Google

λον τοῖς μωμοσκόποις ὡς καινοτόμος δώσεις λαβήν. Οὔ γὰρ ἂν λάθοι τὰ ὦτα τοῦ φθόνου τὰ τοιάδε ἄσματα, κἂν ἀωρὶ τῶν νυκτῶν καὶ ὑπὸ χηραμούς τινας τερετίζωνται. 10. Τὴν γὰρ λεγομένην Ἀκάθιστον ὑμνῳδίαν μόνῃ τῇ Θεομήτορι καὶ ἅπαξ τοῦ ἐνιαυτοῦ ἀρχαία παράδοσις ἀπεκλήρωσε, καὶ οὐδεὶς τῶν φιλεόρτων καὶ φιλοψάλμων ἐφ' οἱαδήτινι μνήμῃ τινὸς τῶν ἁγίων ταύτην ἀπεμιμήσατο. Οὐκοῦν μηδὲ αὐτὸς σὺ, ἵνα μὴ καινοτομίας ὑποστήσῃ γραφήν. Καὶ τί ἂν μηχανήσαιο τότε καὶ τῆς τοιαύτης ἑορτῆς μεμφομένης εὐλογώτερον; Ἢ πάντως, ἐπεὶ πρὸς δόξαν ἀνθρωπίνην ἐπτόησαι καὶ ταύτην σχασάμενος ἐξορχήσασθαι τὰ τῆς ἑορτῆς κινδυνεύσεις τέλεον. Ὁ μὴ σύ γε πάθοις· δεινὰ γὰρ τοῖς μὴ ἀποδιδοῦσι τὰς εὐχὰς τἀπιτίμια.

11. Ὁ ἐξυπηρετῶν ἡμῖν πτωχὸς ναύτης Στέφανος ὁ Μακρογόνης χρεωστεῖ σοι νόμισμα ἓν καὶ ἀξιοῦμεν μὴ κατεπεῖξαι τοῦτον, ἀποροῦντα πρὸς τὴν ἀπόδοσιν, μήτε τόκον ἀπαιτῆσαι· ἀπαγορεύει γὰρ ἀμφότερα διὰ τοῦ νόμου θεὸς ἐν οἷς διορίζεται «ἐὰν ἀργύριον δανείσῃς τῷ ἀδελφῷ σου τῷ πενιχρῷ, οὐκ ἔσῃ αὐτὸν κατεπείγων, οὐκ ἐπιθήσεις αὐτῷ τόκον». 12. Εἰ δ' ἴσως μεγαλοψυχότερον διατεθεὶς καὶ τέλεον ἀφήσεις αὐτῷ τὴν ὀφειλὴν, πρόσεχε μὴ μέγα φρονήσῃς ὡς τὸν εἰσαγωγικὸν νόμον ὑπεραναβὰς καὶ τῆς τῶν Φαρισσαίων καὶ γραμματέων δικαιοσύνης περισσοτέραν φιλοσοφίαν ἐπιδεξάμενος οἷα μαθητὴς τῆς εὐαγγελικῆς τελειότητος, ἥτις ἐκείνοις ὑποτίθεται δανείζειν, τοῖς παντάπασιν ἀπόροις, ἀφ' ὧν, φησὶν, οὐκ ἐλπίζετε λαβεῖν. Ἐνθυμήθητι δὲ μᾶλλον ὅτι κἀκεῖνοι, ἐπιστάντος τοῦ ἐνιαυτοῦ τῆς ἀφέσεως, οὐχ ἕνα στατῆρα ἢ δέκα ἢ τριάκοντα, μυρίους δὲ μυρίοι καὶ κτήσεις ὅλας ἠφίεσαν. 13. Ἤπου ἐπαχθές σοι δόξει τὸ γράμμα, τοσάδε καὶ οὕτω σκληρὰ διακομίζον σοι ἐπιτάγματα, ἀνωτέρω μὲν τὸ ἐλαφρομίσθως ἢ καὶ παντάπασιν ἀμισθὶ θεραπεύειν, τὸ

1. καινοτόμως.— 2. τοιᾶδε. — 3. ὑποχηραμοὺς. — 14. ἐξυπηρετῶν. μακρογ— 15. σοι ΐ ἓν.— 22. φαρισαίων.—30. οὕτως.

www.nbtoor.com.cn

Digitized by Google

προσπαθῶς συνασθενεῖν τοῖς ἀσθενοῦσι καὶ σφόδρα ἐπιμελῶς περὶ αὐτοὺς ἔχειν, νῦν δὲ καὶ τὰς ὀφειλὰς ἀφιέναι τοῖς ὄφλουσιν, εἰ διὰ ταῦτα ἀχθεσθῇς. Καί σε τὸ βουλοίμην καὶ αὐτὸς καὶ παρὰ τοῦτο τοσαῦτα ἐπέταξα, ἵνα καὶ διὰ τούτων ὅσα καὶ περιψύξεών τινων ὑπομαράνω τοὺς σοὺς περὶ τὰ ἡμέτερα γράμματα διακαεῖς ἔρωτας καὶ πείσω συμμέτρως καὶ εὐφορώτερον ἔχειν τῆς ἐπ' αὐτοῖς ζέσεως, ὥστε μὴ πυκνὰ ταῦτα ἀπαιτεῖν καὶ παρέχειν μοι πράγματα. Ὥσπερ ἄρα καὶ σὺ τοὺς καύσους <πυρετοὺς> δι' ἐναντίων καταψύξεων ἀπαμβλύνων εἰς τὴν φυσικὴν ἐπανάγεις μεσότητα. 14. Διαφυλάττοι σε Κύριος ἐρρωμένον ψυχῇ τε καὶ σώματι· κἂν γὰρ ἡ κατὰ σὲ τέχνη ἄλλοις διδόναι τῷ ἐρρῶσθαι κατεπαγγέλληται, ἀλλ' ἐνίοτε καὶ ἰατρός τις ἀκούει «ἰατρὲ, θεράπευσον σεαυτόν». Ὥστε καὶ δεῖσθε καὶ ὑμεῖς τῆς παρὰ τοῦ Κυρίου ἀρχιητροῦ θεοῦ βοηθείας ἐπισκέψεως. Οὔκουν ἀκατάλληλόν τι ποιῶ, ἐπευχόμενος ἰατρῷ μὴ μόνον ψυχῆς ὑγιῶς ἔχειν, ἀλλὰ καὶ σώματος.

ρλϐ'. Τῷ ἀνεψιῷ αὐτοῦ κῦρ Νικήτᾳ.

1. Οἱ στρατηγικοὶ νόμοι, πανεντιμότατε ἀνεψιὲ, ἐσχάτῃ τιμωρίᾳ τοὺς πρὸ τῶν ἄλλων τὴν τάξιν ἀπολελοιπότας ὑποβάλλουσιν ὡς αἰτίους τοῦ μετὰ νῶτα βάλλειν καὶ φεύγειν ὅλῃ τῇ φάλαγγι. Οἷς ‖ ἑπόμενα κρίνων καὶ αὐτὸς, σοὶ τὴν πᾶσαν ἢ τὴν πλείω μέμψιν προσάπτω, τὴν μεθ' ἡμῶν διατριβὴν δή που ἀπολιπόντι πρώτῳ καὶ τοῖς ἄλλοις τοῦ μὴ συμφιλοσοφεῖν ἡμῖν ἐθέλειν πονηρὸν δεδωκότι σύνθημα. 2. Ἰδοὺ γὰρ καὶ ὁ θεοσεβέστατος ὑπομνηματογράφος τοιοῦδε ἀξιώματος ἱεροῦ ὥσπερ τινὸς εὐλογίας ἐφοδίου καὶ προπεμπτηρίου

5. *περιψύξεων τινῶν.*

ρλϐ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 141,6 - 143,α.

21. ‖ Κώδ. 142,α. — 24. *δεδώκατε.* — 26. *ὥσπέρ τινος.*

Digitized by Google

τετύχηκε παρ' ἡμῶν· ὁ Βαρδάνης κῦρ Γεώργιος, ἐνθένδε κατ' ἴχνια σοῦ βαίνων, δῆλα δὴ Ἀθήναζε ἀνακεχωρηκὼς μεθωρμίσατο, οὐχ οἷόν τε ὄντων ἡμῶν κατέχειν οὐκ ἐθέλοντα ἔτι συνεῖναι, ὅτι μηδὲ διδασκαλικὸν, ἀλλὰ τυραννικὸν τὸ πρὸς βίαν ἀνθέλκειν τὸν ἀποφοιτῶντα καὶ ἀφιστάμενον, ὅτε καὶ εἷς καὶ μόνος καθηγητὴς ἡμῶν ὁ Χριστὸς, οὐκ ὀλίγων ἐκ τῶν ποτὲ μαθητευομένων παρ' αὐτοῦ ἀπιόντων διὰ τὰ ὑπερφυῆ διδάγματα, τοῖς ὑπολειπομένοις καὶ προσμένουσιν ἔτι φησὶ «μὴ καὶ ὑμεῖς θέλετε ἀπελθεῖν;» ὡς οὐ καθέξων ἀπιόντας δήπου πυνθανόμενος. Τῶν ἐφ' ἡμῖν γὰρ καὶ ἀδεσπότων ἡ παντὸς καλοῦ μάθησίς τε καὶ ἄσκησις.

3. Ἄλλως τε εἰ μὴ τὴν σὴν κατέχειν εἴχομεν ἄφοδον, προσοχθέντος τῇ δεξιρο μοχθηρᾷ διαίτῃ, κἀντεῦθεν φανταζομένου νοσημάτων ἔθνη καὶ παρ' αὐτῶν δορυφορούμενον θάνατον, ὧν ἕνεκα ὑπὸ δέους καθ' ἡμέραν ἐξέθνησκες, πῶς ἐξῆν τουτονὶ κατέχειν, εἰ καὶ μὴ βίᾳ, πειθοῖ γοῦν, οὐ προσέρπουσαν ὑποβλεπόμενον νόσον, ἀλλ' ἤδη προσβαλούσῃ καχεξίᾳ ῥοώδους κορύζης ἐνοχλούμενον καὶ τετρεμαίνοντα μὴ καὶ εἰς μεῖζόν τι κακὸν ἀποσκήψειεν, ὡς ἡ τῶν καθ' ἡμᾶς ἰαλέμων τούτων ἰατρῶν, ὡς ὁ θαυμάσιος φησί που Γαληνὸς, πρόγνωσις ἐμαντεύσατο; 4. Καὶ μὲν δὴ μάντευμα τοῦτο ὡς ἄλλο τρίποδος χρυσηλάτου θεσπιῴδημα προσιέμενος τὴν ῥευματώδη κόρυζαν ἐπεφρίκει ὡς ἐς φάρυγγα καὶ θώρακα ἤδη καταρρέουσαν καὶ μὴ βρόγχῳ ἢ κατάρρῳ ὑποβάλλουσαν· φορητὰ γὰρ ταῦτα καὶ οὐ δυσίατα· ἀλλὰ κυνάγχῃ ἢ περιπνευμονίᾳ εἴτε πλευρίτιδι. 5. Οὕτως πᾶσιν ἡμῖν πνεῦμα δειλίας, γραφικῶς εἰπεῖν, ἐπιπέπτωκε καὶ οὔτε τὸ στρατευόμενον ἡμῶν ἀνδρίζεται, φεύγει δὲ τὸ ἰταλιωτικὸν δόρυ ὡς θανάτου κέντρον ἄντικρυς, καὶ τὸ φιλοσοφεῖν ἐπαγγελλόμενον τοσοῦτον ἠγνόησε τὸ οἰκεῖον ἐπάγγελμα ὥστε καὶ τὴν τοῦ θανάτου μελέτην ὡς

1. *κατίχνια*. — 2. *θηλαδὴ*. — 13. *προσωχθέϛ*. — 14. *δορυφορουμένων* — 15. *ὑποδέους*. — 17. *ῥοώδης*. — 18. *τετρεμέντα*. *μεῖζον*.

www.libtool.com.cn

Digitized by Google

θανάτου πεῖραν ἀτεχνῶς περιίσταται. 6. Σκέψασθε τοίνυν, ὦ γεννάδαι ὑμεῖς, ὅπως ἀπ' ἐναντίας τοῖς μακαρίοις ἀνδράσι λογίζεσθε ἅμα καὶ διαπράττεσθε. Εἴπερ ἐκεῖνοι μὲν φιλοσοφίαν καὶ νόσον ἠγάπων συνδυαζόμενα, οἱ ἀρχαιότεροι ταῖς ἡλικίαις τὰ πολλῷ ὕστερον ἀποστολικῶς φιλοσοφούμενα ἔργοις πιστούμενοι. Τίνα ταῦτα; τὸ «ὅσον ὁ ἔξω ἄνθρωπος φθείρεται, τοσοῦτον ὁ ἔσω ἀνακαινοῦται» καὶ «ὅταν ἀσθενῶ, τότε δυνατός εἰμι». 7. Ὑμεῖς δὲ ὡς ἀμείνονα συζυγίαν εἵλεσθε τό τε ὑγιεινῶς ἔχειν τοῦ σώματος καὶ τῆς ψυχῆς ἀμαθῶς ἅμα καὶ μοχθηρῶς, κἀντεῦθεν ἁλίσκεσθε δοξάζοντες τὸ μὲν εὖ ἔχειν τοῦ σώματος τοῦ διὰ φιλοσοφίας ἐρρῶσθαι τὴν ψυχὴν αἱρετώτερον, τὸ δὲ νοσεῖν αὖ τοῦ μοχθηρῶς τὴν ψυχὴν διακεῖσθαι φευκτότερον. Εἰ δὴ ταῦτα, καὶ τὸ σῶμα αὐτὸ [μᾶλλον] περισπούδαστον τῆς ψυχῆς νομίζετε; 8. Ἦ γὰρ οὐ Πλάτων αὐτός τε τὸ νοσωδέστατον, ὥς φασι, τῆς Ἀττικῆς χωρίον, τὴν Ἀκαδημίαν, οἰκεῖν ἐπίτηδες εἵλετο ὡς ἂν φιλοσοφοῦσιν ἁρμόδιον ἐνδιαίτημα, καὶ τῶν ὁμιλητῶν ἔστιν ὅτῳ τὴν ἀρχὴν συνεφάπτεσθαι πρὸς φιλοσοφίαν ἔλεγε, λαχόντι φύσει νοσεροῦ σώματος; Ἵνα μὴ κἀκείνους συνείρω τῷ γράμματι, ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος, οἳ περιήεσαν πλάνητες, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι.

9. Ἀλλ' ὑμεῖς, τῷ τῶν ‖ θυραίων ζήλῳ διαθερμαινόμενοι, οὔτε τῶν τῆς ἐκκλησιαστικῆς αὐλῆς φιλοσόφων...., ναρκωδέστερον περὶ τὰ κάλλιστα διάκεισθε. Καὶ φεύγετε μὲν τήνδε τὴν νῆσον ἀμεταστρεπτί, ὡς ἄλλην Κυκλώπειον εἴτ' οὖν τιτανικὸν δεσμωτήριον ἢ Κεάδαν λακωνικὸν ἢ περσικὸν λήθης φρούριον ἢ ῥωμαϊκὸν κάρκαρον, Ἀθήνας δὲ ποθεῖτε, καὶ ταῦτα

2. *ἀπεναντίας*.— 9. Τῆς λέξεως *σώματος* τὰ τελευταῖα γράμματα ἀναγινώσκονται ἐπὶ γραμμάτων διεξεσμένων τὰ νῦν ἀδιαγνώστων. Μετὰ δὲ τὴν λέξιν ταύτην, διαξεσθέντων καὶ ἄλλων, ἔμεινε κενὸν ὡσεὶ δέκα γραμμάτων. Ἀλλ' ἐν τῇ ὥᾳ γέγραπται ὑπὸ νεωτέρας, ὡς φαίνεται, χειρὸς *λείπει οὐδέν*. — 14. *μᾶλλον* λείπει. *ἤ*. — 17. *ἔστιν οὕτω*. — 20. *πλανήτες*. — 21. *κακοχούμενοι*.— 22. ‖ Κώδ. 142, 6. — 23. Μετὰ τὸ *φιλοσόφων* φαίνονται ἐκπεσοῦσαί τινες λέξεις.—24. *διάκείμεθα*.

www.libtool.com.cn

Digitized by Google

μηκέτ' οὖσας Ἀθήνας, μηδὲ τῶν παλαιῶν χαρίτων σωζούσας ὁ τιποτοῦν εἴδωλον, ἀλλὰ βάραθρον μόνον οὖσας καὶ κλαυθμῶνος ἄλλην κοιλάδα καὶ τίσεων χωρίον καὶ πέτραν ἀγέλαστον ἢ κατὰ τὴν ἐρημωθεῖσαν Βαβυλῶνα οἰκητήριον δαιμονίων καὶ ὀνοκενταύρων ὀρχηστήριον καὶ ἐνδιαίτημα.

10. Ἐν θαύματι γοῦν ἄγω πῶς ἐν τοιούτῳ τόπῳ κακώσεις παντοδαπὰς διακαρτερεῖν ἠνέσχεσθε καὶ δουλεύειν ἀγαπᾶτε καὶ προσεδρεύειν, τῆς πατρίου ἐλευθερίας, ὡς οἱ ἑταῖροι τοῦ Ὀδυσσέως, λαθόμενοι. Καί τοι ἐκείνοις μὲν κἂν συγγνοίη τις, ἀποκεκμηκόσι μὲν καὶ ἐκλελυμένοις τῇ συνεχεῖ περιπτώσει τῶν χαλεπῶν, ναυαγίων λέγω, ἀλλοκότων θηρίων, κακοξένων, μᾶλλον δὲ ξενοφάγων ἀνδρῶν, εἶτα φιλανθρώπου γῆς ἐπιβεβηκόσι καὶ φιλοφρονουμένης τῷ γλυκερῷ λωτῷ καὶ παρὰ ταῦτα τὴν ἀλλοδαπὴν τῆς ἐνεγκαμένης ἀλλαττομένοις. Ὑμεῖς δὲ ποίας συγγνώμης τύχοιτε τῷ θηριώδει ἐρειπίῳ καὶ παμφόρῳ κακῷ τῶν πάλαι οἰχομένων Ἀθηνῶν ἀγαπῶντες προσλιπαρεῖν; 11. Ἀτὰρ μή ποτε ὁ μελιχρὸς χυμὸς Ὑμηττοῦ ἀντὶ τοῦ ἡδίστου ὑμῖν λογίζεται λωτοῦ; Ἀλλὰ καὶ αὐτὸς εἰς τοὐναντίον, οἶμαι, μεταπεποίωται παρὰ τῆς ἐπιπεσούσης τῶν πώποτε πικροτέρας τυραννίδος ἰταλικῆς. Τί γὰρ πρὸς ταύτην ἡ τοῦ Πεισιστράτου ἢ ἡ τῶν τριάκοντα ἢ ἡ τῶν Μακεδόνων ὕστερον; Διὰ ταῦτα πᾶσαν γλυκυθυμίαν, καὶ αὐτὸν δὴ τὸν Ὑμηττοῦ γλυκασμὸν, εἰς ἀψινθιώδη πικρίαν μετέβαλεν, ὥςπερ καὶ ἄλλοις ἄλλη συμφορὰ εἰς σκοτίαν τὴν μεσημβρίαν μετεσκεύασεν.

12. Ὃ γοῦν ἕτερον τὸ κατέχον ἐστὶν, ὑμῶν λεγόντων, οὐκ ἐμοῦ κλύειν δίκαιόν ἐστιν. Ἀλλ' ὅπως μὴ ταυτὶ γράφειν δόξω οὐκ ἄλλως ἀλλ' ἢ ἀχθόμενος ὡς καὶ τῆς παρ' ὑμῶν ψυχαγωγίας ἐκπέπτωκα. Καίτοι καὶ παρὰ τοῦτο μὲν, εἰρήσθω γὰρ ὅλον τἀληθὲς, ἀλλ' ὡς μᾶλλον ζηλῶν ὑμᾶς ζῆλον θεοῦ καὶ διψῶν ἔν τι συνελεξάμην ἐπιστημονικὸν μάθημα ὡς

6. *ἐν οὕτω τόπω.* — 9. *ὀδυσέως.* — 14. *ἀλλαττωμένοις.* — 18. *λωτῶ.* — 26. *κατέχειν.* — 27. *δίκαιον ἐστίν.*

www.libtool.com.cn

Digitized by Google

εἰς ἐμψύχους δέλτους ἐγκολάψαι καὶ καταλελοιπέναι πυξία ζῶντα, εἶτ' οὖν, ὡς ἡ τῶν Ἀσμάτων βίβλος φησίν, ἐλεφάντινα. Ὥστε γε ψυχαγωγίαν, εἰ καὶ περιαιρούμεθα ὑμῶν ἀποφοιτώντων, ἀλλ' οὐκ ἐπίπαν ἀφαιρούμεθα. 13. Σοῦ γὰρ ἀνακεχωρηκότος Ἀθήναζε τοῦ φιλτάτου ἀδελφιδοῦ, ὁ ἀγαπητὸς ἐν Κυρίῳ σὺ παρῆς, Γεώργιε, καὶ σοῦ δὲ ἐπαπιόντος αὖθις ὁ θαυμάσιος καὶ τὰ κράτιστα τῶν φίλων Καλοκαιρὸς πάρεστιν, εἰς ἠρινὴν ἢ θερινὴν ὥραν ψυχαγωγίας μεταβάλλων τὸ τῆς ἀθυμίας χειμέριον. Εἰ δὲ καὶ οὗτος ἀπελεύσεται, ἄλλος τις ἴσως, εἰ καὶ μὴ καλῶς ἀτεχνῶς καιρὸς, ἀλλ' ὡς εἰς καλόν γε καὶ εἰς καιρὸν ἡμῖν ὀθενοῦν ἐνδημήσειεν.

14. Εἰ δ' οὐδεὶς οὐδαμόθεν ἔτι φανήσεται, οὐδ' οὕτως ἀψυχαγώγητον ἐξαντλήσω τὸ τοὐμοῦ βίου λειπόμενον. Ἀποχρήσει γάρ μοι τὸ συνεῖναι τοῖς πάλαι σοφοῖς, δι' ὧν φθέγγονται βίβλων εἰσέτι καὶ νῦν, καὶ τῶν παντοδαπῶν ὁμιλιῶν ἐκείνων ὑπακροώμενος μᾶλλον ἂν ὀναίμην οὕτως ἢ ἄλλοις αὐτὸς διαλεγόμενος. 15. Ὥστε ὀφείλεις σὺ ὁ πρῶτος ἐνθένθε ἀποπτὰς καὶ τοῖς ἄλλοις τοῦ ἐπαποπτῆναι πονηρὸν γεγονὼς παράδειγμα καὶ μεγάλης ἐντεῦθεν παραψυχῆς στερήσας ἡμᾶς, ὡς ἀρχόμενοι τοῦ γράφειν εὐθὺς εἴπομεν, κἂν τὴν ἀπὸ τῶν βίβλων παραμυθίαν ἐπιδαψιλεύεσθαι, στέλλων ὅσα καὶ οἷα διαμηνυόμεθα γράφοντες. Εἰ γὰρ μηδὲ νῦν αὐτῶν ἐμφορούμεθα ἀπὸ χειρῶν ‖ ἰταλικῶν μεταπεσόντων ἐπὶ τὰς σὰς, τί συνήνεγκεν ἡμῖν τὸ διὰ μυρίων περισπερχειῶν καὶ ἱκετηριῶν ὁσαδηποτοῦν τούτων ἀναρρύσασθαι;

---

3. *ὥστε.*— 7. *καλὸς καιρὸς.*— 23. ‖ Κώδ. 143,*α*.— 24. *περισπαρχειῶν.*

www.jibtool.com.cn

Digitized by Google

www.libtool.com.cn

ρλγ'. Τῷ καθηγουμένῳ τῆς μονῆς τοῦ ἁγίου Μελετίου κῦρ Ἰωαννικίῳ.

1. Ὡς μακαριστὸς ἀνὴρ οὗτος ἐμοί, πανοσιωτάτη καὶ φίλη μοι κεφαλή, ὅτι, καίπερ τὸν ἐκτὸς ἄνθρωπον πεπηρωμένος, ὅμως τὸν ἐντὸς καὶ κατ' εἰκόνα θεοῦ ἄρτιος ὤν, οὐδενὸς εἴργοντος, ἀφῖκται πρὸς τὰ κατὰ σὲ φιλόσοφα φροντιστήρια, ναὶ μὴν καὶ πρὸς τὴν σὴν τελειότητα. 2. Ὄψεται μὲν γὰρ οὐ σωματικῷ ὀφθαλμῷ, τῷ δὲ ὁρῶντι μόνῳ νῷ καὶ ἀκούοντι πολιτείαν ἀγγελοειδῆ καὶ πνευματικὸν θησαυρὸν ἐν ὀστρακίνοις σκεύεσι, καὶ ψυχαγωγηθεὶς καὶ μεγάλα ὠνάμενος ἐπανήξει πολλῷ ἀμείνων ἑαυτοῦ καὶ τῷ ὄντι ἄρτιος, οὐ μὴν δὲ ἀλλὰ καὶ ὀφθήσεται τοῖς μὴ ἐπιπολῆς, ἀλλὰ καὶ τοῦ φαινομένου βαθύτερον βλέπουσι, καὶ πρώτῳ σοὶ τῷ πᾶσαν αἴσθησιν ἀτιμάσαντι καὶ πρὸς νοῦν ἀπεστραμμένῳ καὶ τἀκείνου κάλλη μόνον θαυμάζοντι καὶ θάμβος ἐνθήσει βλέπουσιν οὐχ ἧττον ἢ τοῖς πάλαι ὁ ἐκ γενετῆς ἐκεῖνος τυφλὸς, τάχα δὲ καὶ μεῖζον εἴ τις τὰ περὶ τοῦτόν τε κἀκεῖνον θαυμάσια τοῦ Σωτῆρος θήσει παράλληλα. 3. Ἔκεῖ μὲν γὰρ σώματος ὀφθαλμοὺς ἀρτιώσας αἰσθητὸν φῶς ὁρᾶν ἐχαρίσατο, ἐνταῦθα δὲ νοὸς ὄμματα καὶ νοητοῦ φωτὸς ἐμπιπλάμενα δέδωκεν. Ὅσῳ δὲ νοῦ λύχνος τοῦ σωματικοῦ βελτίων καὶ φωτὸς νοερὸν αἰσθητοῦ φωτεινότερον, τοσούτῳ καὶ ἡ περὶ τουτονὶ θαυματουργία τῆς περὶ ἐκεῖνον θαυμασιωτέρα. 4. Κἀκεῖ μὲν διὰ κύκλου τινὸς ἡ ἴασις, πτύσμα δεσποτικὸν καὶ χοῦς ἀναδευόμενος καὶ πηλοποιούμενος καὶ ἐμπλαττόμενος τοῖς πεπηρωμένοις ὀφθαλμοῖς, καὶ αὖθις ἐν τῷ Σιλωὰμ ἐξαπονιπτόμενος· ὧδε δὲ ἀόρατος ἐπαφὴ καὶ θεῖον κέλευσμα μόνον ὡς πάλαι «γεννηθήτω

ρλγ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 143, α.

Τίτλος. *τοῦ κῦρ μελετίου.* — 2. *κεφαλὴ* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *ψυχὴ*. — 15. *τοῦτον*. — 22 *πτῦσμα*. — 25. *ἐπαφὴ* ἐκ τοῦ πρῶτον τὸ γραφέντος *ἐπαφῆ*.

Digitized by Google

φῶς» καὶ παρὰ χρῆμα καινὸς περιήστραψε τὸν ἄνθρωπον τῆς γνώσεως ἥλιος καὶ φῶς γραφικῆς ἐπιστήμης περὶ αὐτὸν ἄσβεστον. Τοσούτῳ τοίνυν ἡ φωτοδοσία τοῦδε θειοτέρα τῆς ἐκείνου ὅσῳ καὶ τὸ ἀμέσως δημιουργεῖν τοῦ ἐξ ὕλης ὑποκειμένης θεῷ οἰκειότερον.

5. Ἀλλὰ ταυτὶ μὲν ἐάσθω· ὃ δ' ἔλεγον, εὐδαίμων μὲν οὗτος διὰ ταῦτα τῆς πρὸς ὑμᾶς ἀφίξεως, τλήμονες δὲ ἡμεῖς οὐχ ὁρῶντες ὑμᾶς, οὐχ ὑφ' ὑμῶν ὁρώμενοι. Οὐ γὰρ ἔτι ἐγγειτόνων παροικοῦμεν. Αἱ γὰρ ἁμαρτίαι ἡμῶν αἱ πολλαὶ οὐ μόνον ἀπὸ θεοῦ, ἀλλὰ καὶ θείων ἀνδρῶν καὶ ἱερῶν σκηνωμάτων διέστησαν, καὶ εἴπερ εἰκόνες τὰ παρόντα τῶν μελλόντων εἰσὶν, ἤδη σαφὲς προχάραγμα πρόκειται τὸ μεταξὺ ἡμῶν τοῦτο χάσμα τοῦ γενησομένου τῶν τε προδάτων καὶ τῶν ἐρίφων ἀφορισμοῦ. 6. Ἀλλ' ἐπεὶ τὸ τῆς φιλοσοφίας ἡμῶν κεφάλαιον ἡ ἀγάπη ἐστὶν, ἡ δ' ἀγάπη καὶ τὰ πορρώτατα οἶδε συνάπτειν, πιστεύομεν ὡς εἰ καὶ τοπικῶς διιστάμεθα, ἀλλ' οὐχὶ καὶ τῆς ἀδελφικῆς ἀπερράγημεν σχέσεως, ἀλλ' ἐν ἀλλήλοις ἐσμὲν διὰ μνήμης διηνεκοῦς. Εἰ δὲ καὶ ἐν ταῖς θείαις ἐντεύξεσι χεῖρας ὁσίας αἴρετε ὑπὲρ ἡμῶν, ἴσως καὶ τῷ θεῷ παραστήσετε οἰκειώσαντες καὶ συνάψαντες. Οὗ καὶ ἵλεως τύχοιμι διὰ τῶν ἱερῶν εὐχῶν σοῦ τε καὶ τῶν ὑπὸ σὲ σπουδαίων ἀδελφῶν, οἳ καὶ προσειρήσθωσαν ἀφ' ἡμῶν.

ρλδ'. Τῷ Τορνίκῃ κῦρ Εὐθυμίῳ.

1. Ὡς τραγικώτατα τὴν ἰταλικὴν τυραννίδα μεγαληγορεῖς οἷς ἐπιστέλλεις, λογιώτατε καὶ πανεντιμότατε δέσποτα· καὶ εἴπερ ὡς πρότερον καὶ νῦν ἑλληνικὰ θέατρα καὶ σκηνὴ διεσκεύαστο ‖ καὶ θεαταὶ παρῆσαν καὶ ἀκροαταὶ, σφόδρα ἂν

1. *παραχρῆμα*. — 8. *οὐχορῶντες*.

ρλδ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 143,α - 143,6.

26. ‖ Κώδ. 143,6.

Digitized by Google

ἐθαυμάσθης τῆς περιπαθοῦς μεγαλοφωνίας. 2. Ἀλλὰ τοῦτο μὲν καὶ αὐτὸς θαυμάσας οὐ πάνυ τι θαυμάζοιμ' ἂν εἰ γλῶττα οὕτω περὶ τὸ εὖ λέγειν γυμνασαμένη ὡς καὶ τὰ μικρὰ μεγαλοπρεπῶς ἑρμηνεύειν καὶ ὑπερσέμνως τὰ εὐτελῆ, εἶτα καὶ τὰ μεγάλα μεθ' ὅσης μεγαλειότητος λόγου καὶ ἀναλόγως ἀπήγγελκας. 3. Ἐκεῖνο δὲ μᾶλλόν μοι θαυμασιώτερον φαίνεται καὶ μωσαϊκὸν ἀτεχνῶς, ὅτι καὶ συγκακουχεῖσθαι μᾶλλον εἵλου ὁμοφύλῳ λαῷ ἐν Χαλκίδι ἢ κατὰ Βιθυνίαν ἔχειν ἀνέσεως ἀπόλαυσιν πρόσκαιρον. 4. Ἧπου καὶ ὡς Ξενοφῶν ὁ σωκρατικὸς μελέτην πολέμου μετὰ κινδύνων εἶναί φησι τὰ κυνηγέσια, οὕτω καὶ αὐτὸς μαρτυρίου γυμνάσιον οὐκ ἀκίνδυνον πεποίησαι τὸ παραβάλλεσθαι πρὸς βαρβάρους μισανθρωποτέρους θηρίου παντός; Βάσανος γὰρ ἀρετῆς φιλοσόφου εἴπερ τι οἱ τυραννικοὶ καιροί, εἴπερ ἀκούεις τὸν Ἀναξάρχου θύλακον ἐν ὅλμῳ πτισσόμενον καὶ τὸ σκέλος Ἐπικτήτου ἀδέτως δεσμούμενον. 5. Τάχα καὶ τὸν λογιώτατον Καλοκαιρὸν ταὐτά σοι φρονεῖν ἠρέθισας καὶ τοῦ μεθ' ἡμῶν ἡσύχως καὶ ἀκινδύνως σχολάζειν τὸ μετὰ σοῦ ἀνδρίζεσθαι φιλοσοφώτερον νομίζειν καὶ καιριώτερον, καὶ παρὰ τοῦτο, οἶμαι, τῆς πρὸς τὰ δεῦρο ἐπαναζεύξεως ἐπελάθετο. Καὶ εἰ τοῦτο, οὐ πάνυ τι ἄχθομαι, εἰ μόνον μετὰ σοῦ τῷ χαλεπῷ καιρῷ ἀντιτάσσεται καὶ ἐνευκαιρεῖ μεθοδείᾳ πράξεων ὑψηλοτέρᾳ παντὸς σχολαστικοῦ θεωρήματος, εὖ μὲν εἰδὼς καιρὸν σχολῆς, εὖ δὲ καιρὸν πράξεως, καὶ πότε μὲν χρὴ πραΰνεσθαι ἀφ' ἡμερῶν πονηρῶν, πότε δὲ τὸν πραὺν εἶναι μαχητὴν, καὶ εἴπερ τοῖς μὲν βαρβάροις δι' αἰδοῦς ἔσεται καὶ σεβάσματος, τοῖς δ' αὖ ὁμογενέσι παρήγορος καὶ παρακλήτωρ εἰς μεγαλοψυχίαν εὐχάριστον.

---

6. *μᾶλλον* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *μᾶλλόν*. — 10. *εἶναι φησι*. — 14. *εἴπερ*. — 16. *καλὸν καιρὸν*. — 17. *ταυτά*. — 22. *μεθουργία*. — 23. *εἰδὼς καὶ*, ἐν δὲ τῇ ὥᾳ προστέθειται ρ" = *ρὸν*.

Digitized by Google

ρλε'. Τῷ Καλοκαιρῷ κῦρ Ἰωάννῃ.

www.libtool.com.cn

1. Εἰ μὲν ἁλώσιμον ἤδειν σε οἷς οἱ πολλοί, τάχ' ἂν εἶπον ἐπιλελῆσθαί σε τῆς πρὸς ἡμᾶς ἐπανόδου, ἢ λωτοῦ τινος αὐτοῦ που γευόμενον ἢ κιρκαίοις μαγγανεύμασι θηριούμενον. 2. Ἐπεὶ δὲ σὺ τῶν τοιούτων μακρῷ τοῦ Ὀδυσσέως ὑπεροπτικώτερος, ζητῶ τὸ αἴτιον τῆς μελλήσεως, πότερον καὶ σὲ ὡς καὶ τὸν ἑλληνικόν ποτε στόλον ἐν τῇ Αὐλίδι κατέχουσιν ἀντιπνέοντες ἄνεμοι, ἢ τοῦ ἐν Ἑλλάδι κατακλυσμοῦ κοπάσαντος εὗρες ἀνάπαυσιν, ἡ πτερυξαμένη ἐνθένδε περιστερὰ, καὶ οὐκέτι δεῦρο ἐπαναστρέφειν ἀξιοῖς. Καὶ μὴν καὶ πλωτικοὶ πολλοῖς κογχυλευτικοῖς πορθμείοις διαπεραιοῦνται πρὸς ἡμᾶς ἔκ τε Χαλκίδος καὶ Καρυστόθεν καὶ Ἀθήνηθεν, ἀντιπνοίας οὐκ ἐμπαζόμενοι, καὶ τὸ ἀνυπόστατον ὕδωρ καὶ ὑπὲρ τοὺς πεντεκαίδεκα πήχεις ὕπερθεν τῶν μεγάλων ὀρέων, ὡς πυνθάνομαι, αὐξόμενον αἴρεται. 3. Ὅ γοῦν ἐστιν ἕτερον τὸ κατέχον οὐκ οἶδα. Σὺ δ' ἂν εἰδείης καὶ λέγοις ἀληθέστατα. Ἡμῖν δὲ λοιπὸν, τοῦ εἰκοτολογεῖν καὶ καταμαντεύεσθαι ἀφεμένους, εὔχεσθαι ῥαγῆναι τὸν κατέχοντα δεσμὸν, ὅστις ποτέ ἐστιν οὗτος καὶ θᾶττον ἀναλῦσαί σε τοῦ θεοῦ εὐοδοῦντος, ἵνα μὴ καὶ ὁ συσπουδαστής σου ἀσχάλλων ἀλύῃ, τῶν ἀναγνωσμάτων εἰς-έτι διὰ τὸ σὸν ἀπόδημον ἐξειργόμενος.

---

2. *ἐπιλελῆσθαι. τινὸς.*

ρλε'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 143,6.

Τίτλος. *καλῷ καιρῷ.*— 5. *μελήσεως.*— 13. *πῆχυς.*— 17. *ὅστις.* — 18. *ἀναλῦσαι.* — 19. *ἀσχάλων.*

Digitized by Google

ρλϛ'. Τῷ βασιλεῖ τῆς Ἀνατολῆς τῷ Λάσκαρι.

www.hbtool.com.cn

1. Τολμήσας ἀναφέρω, κράτιστε αὐτοκράτορ καὶ βασιλέων εὐσεβῶν θειότατε. Πρὸς τῷ τέλει μέν εἰμι τοῦ βίου πλήρης γεγονὼς ἡμερῶν, ἐλπίζω δὲ καὶ εὔχομαι μὴ πρότερον ἰδεῖν θάνατον πρὶν ἂν ὄψωμαι ἵλεων ἡμῖν τὸν θεὸν γενόμενον καὶ πρὸς τὴν ἀρχαίαν εὐδαιμονίαν τὸ ῥωμαϊκὸν πολίτευμα ἐπανάγοντα διὰ τῆς ἀρίστης ἡγεμονίας τῆς σῆς βασιλείας, καὶ δαυτικοῖς || μακαρισμοῖς στεφανώσω τὴν θεοστεφῆ κεφαλήν, ἀνταποδοῦσαν τῇ λατινικῇ ἀπονοίᾳ ὃ ἀνταπέδωκεν ἡμῖν ἀνταπόδομα. 2. Ὃς καὶ νῦν μακαρίζω ὡς εὐλογημένον τῷ θεῷ σπέρμα βασιλείας τεταμιευμένον ἡμῖν, ἵνα μὴ πάντα τοῖς πολεμίοις εὐάλωτα γένηται, μεγαλύνω δὲ καὶ τὸν θεὸν, τοιαύτην περιζωννύοντα τὸ σὸν κράτος δύναμιν, ὥστε καὶ παρὰ πάντων ἐθνῶν σχεδόν τι κυκλοῦσθαι καὶ πάντα γενναίως ἀμύνεσθαι. 3. Μέγας ὁ ἐνισχύων σε Κύριος καὶ οὐκ ἐῶν ἀποκναίειν ἐπὶ τῷ ἐνδελεχεῖ τῶν κακῶν, ἀλλ' ἀφ' ἑτέρου ἀγῶνος εἰς ἕτερον μεταβαίνειν ἀκμῆτα, ὥσπερ θερμοῖς ἱδρῶσιν ἔτι σταζόμενον. Ἀλλ' ὄντως ἥρως σὺ Ἡρακλῆς, ἄλλην ἐπ' ἄλλῃ τεμνομένῃ δυσμενῆ κεφαλὴν φυομένην ἀφαιρεῖσθαι μὴ ἀποκνῶν. Ἵπου τόξον χαλκοῦν ὁ θεὸς τοὺς σοὺς βραχίονας ἔθετο. 4. Ταῦτα τεκμήρια ποιούμεθα τοῦ μὴ εἰς τέλος ἐπιλησθήσεσθαι τὸν θεὸν τῆς κληρονομίας αὐτοῦ. Ταῦτα τῆς ἐσομένης ὁλοσχεροῦς καὶ καθαρᾶς τῶν Ῥωμαίων ἐλευθερίας ἐνέχυρα. Τούτοις ψυχαγωγεῖται πᾶς ὀδυνώμενος καὶ χρησταῖς ἐλπίσιν ἀναζωπυροῦνται οἱ νενεκρωμένοι ταῖς συμφοραῖς, σὲ μόνον σωτῆρα καὶ κοινὸν ἐλευθερωτὴν εἰδότες καὶ ὀνομάζοντες, καὶ ὡς εἰς γαλήνιον λιμένα τὸ σὸν κράτος καταφεύγουσιν οἱ τοῦ οἰκουμενικοῦ κλύδωνος ναυαγοὶ καὶ ἁπλῶς πάντες ποθοῦσιν

ρλϛ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 143,6 - 144,α.

4. *ὄψομαι.*— 7. || Κώδ. 144,α.— 17. *ἐπάλλη.* — 27. *οἰκομενικοῦ.*

Digitized by Google

ὑπὸ τὰς σὰς θάλπεσθαι πτέρυγας. 5. Ὥςπερ καὶ ὁ ἀπ' Εὐρίπου ὁρμώμενος ἄρχων θεματικὸς Χαλκούτζης ὁ σεβαστὸς, ἀνὴρ μισολατῖνος εἴπερ τις ἄλλος καὶ τῇ ῥωμαϊκῇ πολιτείᾳ εὐνούστατος· ὃς οὐχ οἷός τε ὢν καὶ εἰςέτι τῆς λατινικῆς τυραννίδος τὴν ὕβριν βαστάζειν, χαίρειν ἐάσας κτῆσιν παντοίαν, τέκνα, πατρίδα, συγγένειαν, εἵλετο μεταναστεῦσαι καὶ παραρριπτεῖσθαί που ἐν ἀνακτόροις ῥωμαϊκῆς βασιλείας ἢ μένειν ἐν πατρίδι τυραννουμένῃ καὶ ὑπὸ χεῖρα κεῖσθαι λατινικήν. 6. Διὰ ταῦτα ἐθελοντὴς φυγόπατρις γεγονὼς πρὸς τὴν σὴν θειοτάτην ἀνέπλευσε βασιλείαν τὴν πανδοχεύτριαν οὐ μόνον τῶν Κωνσταντίνου πολιτῶν, ἀλλὰ καὶ τῶν λοιπῶν πάντων τῶν ὀθενοῦν προσφευγόντων αὐτῇ. Καὶ οἶδα ὡς καὶ οὗτος ἀπολαύσει τοῦ ἐλέους τῆς φιλανθρώπου βασιλείας σου διατηρουμένης πολυχρονίου καὶ καθυπερτέρας πολεμίου παντός.

ρλζ'. Πρὸς τὸν ἁγιώτατον πατριάρχην κῦρ Μιχαήλ.

1. Ἁγιώτατε καὶ σοφώτατε δέσποτα, συχνὰ τῶν πρὸ ὀμμάτων ἡμῖν κειμένων τῶν ἀφανῶν εἰκόνας προΐσχονται· αὐτίκα ἡ ἀπ' ἀλλήλων ἡμῶν αὐτῶν τοσήδε διάστασις σαφὲς ἂν θεωρηθείη τοῦ μεγάλου ἐκείνου χάσματος ἴνδαλμα, ὅπερ Ἅδου τε μεταξὺ καὶ τῶν ἀβραμιαίων κόλπων ἐστηρίχθαι μανθάνομεν. 2. Οὐχ ὅπως γὰρ ἡμεῖς μὲν ἐν τῷ κατωτέρῳ τούτῳ ζόφῳ καὶ ἐν ταῖς δεῦρο βασάνοις ἐξεταζόμεθα, ὑμεῖς δὲ τὴν ἀνωτέρω καὶ κακῶν ἐλευθέραν καὶ πάμφωτον λῆξιν κατὰ θεῖον λαχόντες ψυχαγωγεῖσθε, ἀλλά γε καὶ ἡ ἑκατέρωθεν ἑκατέρωσε διαπόρθμευσις σχεδὸν οὐχ οἵα τε καὶ γενέσθαι, τὸ μὲν διὰ τὸ τῶν κατεχόντων ἄφυκτον, τὸ δὲ καὶ διὰ τὴν τῶν ἐν

3. *εἴπερ.*— 4. *οἷος.*— 12. *ἀπολαύσας.*

ρλζ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 144,α - 144,β.

17. *ἀπαλλήλων.*— 19. *ἐστηρῖχθαι.*

Digitized by Google

μέσῳ πελαγῶν ἀχάνειαν. 3. Οὕτω χωρὶς καὶ πάντη ἀκοινωνήτως διῳκίσμεθα, πλὴν εἴ ποτε ἀποδήμοις διαλεξόμεθα γράμμασι, κατ' εἰκόνα καὶ τοῦτο τοῦ οἰκτροῦ ἐκείνου διαλόγου ὃν ὅ τε Ἀβραὰμ καὶ ὁ ταλαίπωρος πλούσιος πεποίηνται. Θαῦμα τοίνυν καὶ ἀκοῦσαι, εἴ τις δυνηθείη, τῶν δεῦρο νεκρῶν κευθμῶνα καὶ σκότου πύλας φυγὼν, ἀναπεπλευκέναι πρὸς πατριαρχικοὺς κόλπους καὶ φῶς αἰθριάζον, εἴη δὲ φάναι καὶ ἄδυτον.

4. Ἀλλὰ ‖ τίς ὁ τὸ τοσοῦτον δυνηθείς; Ὁ πανσέβαστος οὗτος ἀνὴρ ἐστιν ὁ κατὰ πατρῴαν ἐπωνυμίαν Χαλκούτζης ἐπιλεγόμενος, ὃς τῶν ἐν Χαλκίδι τῆς Εὐβοίας κτηματικῶν ἀρχόντων τὰ πρῶτα ὢν καὶ τῶν ἐν Ἑλλάδι πάσῃ περιφανεστέρας τύχης λαχόντων προγενὴς, ἐχρήσατο τῇ κοινῇ συμφορᾷ καὶ αὐτὸς καὶ τὸν βαρύτατον τῆς ἰταλικῆς τυραννίδος ὑπέδυ κύφωνα. Καὶ μὲν δὴ πρὸς τὴν δύσοιστον ἀντέχων δουλείαν ἐπὶ χρόνοις συχνοῖς διεγένετο, τὰ μὲν ἐλπίσι μεταβολῆς ἀμείνονος κουφιζόμενος, τὰ δὲ περιβολῇ χρημάτων καὶ δυνάμει περιουσίας ὑπερειδόμενος. 5. Ἐπεὶ δὲ τὰς μὲν ἐλπίδας οὐδὲν ἀλλ' ἢ κατὰ τὸν φάμενον ἐγρηγορότων ἑώρα ἐνύπνια, τοῦ τυραννικοῦ ζυγοῦ ἑστηκότος ἀκινήτου, κατ' ἴσον τῷ τοῦ παντὸς ἄξονι καὶ τῷ τοῦ Ζανὸς πύργῳ φαίη τις ἂν πυθαγορικὸς ἀνὴρ, τὰ δὲ τῆς περιουσίας ἐξεκενοῦτο τῷ μηδ' ἐπὶ βραχὺ στέγοντι πίθῳ τῆς λατινικῆς ἀπληστίας συνεχῶς ἐπαντλούμενα, ἔγνω φυγῇ διαδρᾶναι τὸν τῶν Δαναΐδων ἀνήνυτον ἄθλον, μᾶλλον δὲ τὴν ἐνεγκαμένην ὑπεκδύναι ὡς ἀτεχνῶς ἀνθρωποφάγων ἄλλων σπήλαιον, μήποτε καὶ αὐτὸν μετὰ τὴν τῶν χρημάτων ἁπάντων πρόποσιν πύματον ἔδωνται κατὰ φιλοτησίαν κυκλώπειον. 6. Οὕτω μὲν οὖν καὶ διὰ ταῦτα πατρίδα, παῖδας, κτήσεις παντοίας χαίρειν, μᾶλλον κλάειν, ἀφεὶς, λάθρα εἰς τὰ καθ' ὑμᾶς ἐλεύθερα ἦθη ἀνέπλευσε, μᾶλλον ἑλόμενος ἔλκειν βίον μετανάστην σὺν ἀδείᾳ ἢ οἴκοι

9. ‖ Κώδ. 144,6. — 10. *πρῶαν*. — 20. *κατῖσον*.— 21. *καὶ τὸ τοῦ*.

Digitized by Google

δουλεύειν βαρβαρικὴν θηριότητα. 7. Ὑπὲρ οὗ καὶ δέομαι τῆς μεγίστης καὶ φιλανθρωποτάτης ἁγιωσύνης σου ἀνακτήσασθαι μὲν τὸν ἄνδρα τοῖς ἀπὸ τῆς σοφωτάτης γλώττης ἐπάσμασι καὶ τὸ ἄλγος τῆς αὐτοῦ ψυχῆς κοιμίσαι χρηστοτέρων ἐλπίδων φαρμάκοις, μάλιστα δὲ συστῆσαι τῷ θειοτάτῳ βασιλεῖ, ἅτε τῶν ἐνταῦθα πραγμάτων ἐπίστορα ὄντα καὶ μισολατῖνον ἔλλως καὶ τῇ ῥωμαϊκῇ πολιτείᾳ εὐνούστατον καὶ ζηλωτὴν διάπυρον καὶ ἁπλῶς φάναι ἄξιον μὴ τῆς βασιλικῆς ἀτυχῆσαι φιλοτίμου χρηστότητος. 8. Ταῦτ' ἐμοῦ μὲν ἦν δεηθῆναι, περατωθῆναι δὲ ἔργον τῆς σῆς μεγίστης καὶ φιλανθρώπου ἁγιότητος, ἧς ταῖς θειοτάταις ἐντεύξεσιν, ἐπὶ μήκιστον ταμιευομένης τῇ Χριστοῦ ἐκκλησίᾳ, γένοιτό μοι Κύριος ὁ θεὸς ἵλεως.

ρλη'. Τῷ Κρήτης ἀρχιερεῖ.

1. Εἰ καὶ μηδέπω σωματικοῖς ὀφθαλμοῖς αὐτοπροσώπως ἐθεασάμεθα τὴν σὴν πανυπέρτιμον κεφαλήν, ἐν Κυρίῳ ἀγαπώμενε δέσποτα καὶ ἀδελφὲ, ἀλλ' ἡ ἀγαθὴ καὶ πάγκοινος φήμη διὰ πλειόνων στομάτων τὰς ἀρετὰς τῆς σῆς καλοκἀγαθίας περιαγγέλλουσα καί σου ταῦ ἐντὸς ἀνθρώπου χαρακτῆρας καὶ μορφὴν ὑπογράφουσα ὑπ' ὄψιν οἷον ἡμῖν τὸ θεοειδὲς τῆς ἱερᾶς σου ψυχῆς κάλλος παρέστησε, καὶ γνωστῶς εἴδομέν σε τὸν ἄνθρωπον τοῦ θεοῦ, τὸν κόσμον τῆς καθ' ἡμᾶς ἱερωσύνης, τὸ κοινὸν πᾶσι τοῖς ἐντυγχάνουσι παραμύθιον. Καὶ τὸν θεὸν εὐχαρίστως ὑμνήσαμεν, ταμιευσάμενον ἐν καιρῷ τῇ νῦν γενεᾷ οἰκεῖον θεράποντα, ἔργοις καλοῖς ὡς λύχνον ἐν αὐχμηρῷ τόπῳ διαλάμποντα. 2. Τοῦ γε μὴν καὶ γράμμασιν ἀδελφικοῖς προσφθέγξασθαι καὶ ὁμιλῆσαι ἀπόδημα ὁ πανσέβαστος

3. *τῆς ἀπὸ.*— 8. *φᾶναι.*

ρλη'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 144,6 - 145,α.

14. *Εἰ.*— 17. *καλοκαγαθίας.*

Digitized by Google

ἀνὴρ αἴτιος, ὃς ἐξ Εὐρίπου ὁρμώμενος καὶ τὰ πρῶτα ὢν τῶν ἐκεῖσε θεματικῶν καὶ κτηματικῶν ἀρχόντων, πολλὰ μὲν χρήμασι τοῖς ἐν Εὐρίπῳ τυραννοῦσι κατεβάλετο, ἐπεὶ δ' οὐκ ἦν κόρος χρημάτων τῇ λατινικῇ ἀπληστίᾳ, ἀλλ' ὅσον ἐπήντλει ἀμφοτέραις, τὸ τοῦ λόγου, ‖ τοσοῦτον ἑώρα τούτους μᾶλλον ἐκκαιομένους, ὥςπερ εἰ ἐν ἐλαίῳ φλόγα πυρὸς κατεσβέννυε, τέλος ἀπειπὼν, εἵλετο μεταναστεῦσαι καὶ τῆς ἐνεγκαμένης τὴν ἀλλοδαπὴν μεταλλάξασθαι. 3. Διὰ ταῦτα πατρίδα, κτήματα, παῖδας, περιουσίαν παντοίαν ἀφεὶς, εἰς τὴν αὐτόθι ἐλευθερίαν ἀνέδραμεν, ἐλπίζων εὑρέσθαι τι τῆς ξενιτείας ψυχαγώγημα παρὰ τῆς βασιλικῆς χρηστότητος, καὶ μᾶλλον εἴπερ ἡ σὴ φιλανθρωπία συστήσει τοῦτον τῷ βασιλεῖ, δυναμένη παρ' αὐτῷ μεγάλα δι' ἀρετῆς περιουσίαν πολλὴν, ὡς ἡ φήμη τοῦτο διατεθρύληκεν.

4. Ὅθεν καὶ αὐτὸς, εἰ καὶ περιττὸς δόξω παρακαλῶν εἰς τὸ θάλπειν τὸν ἥλιον, ἀξιῶ δ' ὅμως εἰς τὸ ἀντιλαβέσθαι τοῦ ἀνδρὸς εἰς δύναμιν καὶ ὑπερλαλῆσαι τὰ εἰκότα πρὸς τὸν θειότατον αὐτοκράτορα καὶ ὑπανοῖξαί οἱ τὰ βασιλικὰ καὶ φιλάνθρωπα σπλάγχνα, ὥςτε τὰ τῆς ξενιτείας δυςχερῆ εὐφορώτερον φέρειν καὶ ῥᾴτερον. 5. Τοῦτο γὰρ οἰκονομηθὲν παρὰ τῆς σῆς παρρησίας οὐ μόνον τουτονὶ ψυχαγωγήσει, ἀλλὰ καὶ τοὺς ἐν Ἑλλάδι πάσῃ ἄρχοντας καὶ καθ' αἷμα, προγενεῖς τούτου ἀναζωπυρήσει χρηστοτέραις ἐλπίσι καὶ μᾶλλον εὐνουστέρους ἐργάσεται τῷ κρατίστῳ βασιλεῖ, πρὸς ὃν οἱ ἐνταῦθα πάντες ἀποβλέπουσιν ὡς μετὰ βραχὺ σωτῆρα μόνον σὺν θεῷ καὶ Ῥωμανίας πάσης ἐλευθερωτὴν ἐσόμενον. Ἐρρωμένη καὶ πολυετὴς διαφυλάττοιτο ἡ πανυπέρτιμος ἁγιωσύνη σου εἰς περίθαλψιν πολλῶν ἐπιδεῶν καὶ ὀδυνωμένων παράκλησιν.

---

5. ‖ Κώδ. 145,α. — 10. *εὑρέσθαι*. — 14. *διατεθρύλληκεν*. — 18. *ὑπανοίξαι*. — 25. *μεταβραχὺ*.

Digitized by Google

ρλθ'. Τῷ Ναυπάκτου κῦρ Ἰωάννῃ.

www.libtool.com.cn

1. Τὸ μὲν κατ' οὐρανὸν φαινόμενον καὶ καλούμενον παρὰ τοῖς παλαιοῖς θυτήριον λόγος ἀρχαῖος ἡστροθετῆσθαί φησι τῆς νυκτὸς χαριζομένης τοῖς πολυτλήμοσι πλωτικοῖς. Ἐναργῆ γὰρ περὶ αὐτὸ σημεῖα τῆς τοῦ περιέχοντος διαθέσεως ὁρώμενοι ὅσοις ἡ κυβερνητικὴ πρόρρησις μέμηλε τεκμαίρονται τοῦ ἐσομένου μαντευτικώτερον, πρὸς ὅπερ καὶ τὰ τῶν φορτίδων ὅπλα εὖ τιθέμενοι σώζονται. Καὶ μὲν δὴ καὶ οἱ παλαίταται τῶν Ἀθηναίων ἄλλοτε ἱερὸν θυτήριον, τὸν Ἐλέου βωμόν, κατὰ μέσον ἄστυ ἐστήσαντο, οὐδὲ σοῦτο φαύλην σωτηρίαν πυρσεῦον τοῖς ἐν πολιτείᾳ ὑφισταμένοις χερσαῖα ναυάγια.

2. Σὲ δὲ τὸν τοῦ Χριστοῦ λαμπρότατον θύτην καὶ θυτήριον ἔμβιον θεοῦ καὶ ἄσυλον Ἐλέου βωμὸν πάντες ἂν ἐμοὶ συμφθέγξαιντο, παρὰ τῆς ἀνωτάτω προνοίας ἐν τῷ ὕψει τῆς ἐκκλησίας τεθεῖσθαι λέγοντες, ὅπως μικροῦ πάντες οἱ ναυαγοὶ τοῦ οἰκουμενικοῦ τοῦδε κλύδωνος ἄλλος ἄλλο τι διὰ σοῦ ὄφελος κομιζόμενοι σώζοιντο. 3. Ὥσπερ ἄρα καὶ ἡμεῖς μετὰ μυρίων ὅσων τοῦ σωστικωτάτου πυρσεύματος ἀπωνάμεθα, ἐγώ τέ φημι καὶ οἱ ἐμοὶ ἀδελφόπαιδες, αὐτοὶ μὲν κατ' ἐνδελέχειαν καὶ οὕτως ἄγχιστα ὡς καὶ θέρμης αἰσθάνεσθαι, ἐγὼ δὲ πόρρωθεν καὶ ἄλλοτε ἄλλοις γράμμασι διὰ τοσοῦδε παρὰ σοῦ ψυχαγωγοῦμαι. 4. Πόσης εἰκὸς κατεμφορεῖσθαι τῆς ἀναψύξεως τοὺς ὅσοι τὸ ἱλαρὸν ἱστοροῦσι πρόσωπον καὶ τῆς σοφῆς φωνῆς ἐπαΐουσιν; Εἰ δὲ καὶ ὦτα ἔχουσιν ἔνιοι, ἀκούουσιν ἅμα καὶ ἀντιφθέγγονται, ὥστε καὶ λογικῶς ἐστιωμένους ἐν τῷ μέρει καὶ αὐτοὺς ἀνθεστιᾶν. Ὁποῖος εἴπερ τις ἄλλος ὁ λογιώτατος δεσπότης καὶ ἀδελφὸς, ὁ Τορνίκης κῦρ Εὐθύμιος.

ρλθ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 145,α-145,β.

2. *ἡστροθετῆσθαι φησί.* — 3. *χαριζομένοις.* — 4. *θρώμενοι.* — 7. *καὶ μηδὲν καὶ οἱ.* — 14. *λέγονται.* — 15. *ἄλλό.* — 18. *τὲ φημί.* — 25. *ὁποῖος ἐκ τοῦ τὸ πρῶτον γραφέντος ὁποῖον. εἴπέρ.*

Digitized by Google

5. Βαβαὶ τῆς τοιαύτης συνόδου καὶ συνεστιάσεως, ἣν οὐκ οἶδ' ὅ τι καὶ σεμνολογήσας ὀνομάσαιμι, πότερον σωκρατικὸν διάλογον ἢ Μακάρων συμπόσιον ἢ ἀποστολικὴν ‖ ὁμιλίαν, ὁποίαν εἰκὸς γεγενῆσθαι καὶ ὅτε Παῦλος ἀνῆλθεν ἱστορῆσαι Πέτρον, οὐ μὴν ἀλλὰ καὶ ἡνίκα τὸ εὐαγγέλιον ἑαυτοῦ τοῖς κορυφαίοις ἰδιολογησάμενος ἀνέθετο.

6. Ὦ μακάριοι ὄντως ὑμεῖς, ἀδελφοί, ἰταλικῆς ὕβρεως ὁ μὲν οὐδὲ τὴν ἀρχὴν ἐν πείρᾳ γενόμενος, ὁ δ' ὑπερφρονήτας γενναίως καὶ ὑπερδεξίως ἐκδεδυκώς, ἐπὶ δὲ τὸ αὐτὸ κατοικοῦντες νῦν καὶ ὑπὲρ τὸ μύρον Ἀαρὼν ὡς εὐωδία Χριστοῦ ἀλλήλους τε καὶ ὑμᾶς ἐπιπνέοντες ἥδιστον. Ναὶ καὶ μὴ λήγοιτε οὕτω βιοῦντες καὶ κοινὸν τῇ ἐκκλησίᾳ προκείμενοι ὄφελος.

ρμ΄. Τῷ Βαρδάνῃ.

1. Χάρις τῷ θεῷ, θεοφιλέστατε υἱέ, ῥᾴστην σοι καὶ ἄλλως ἀκίνδυνον χαρισαμένῳ τὴν ἐνθένδε εἰς Ἀθήνας διάβασιν καὶ ἀποδόντι σε τοῖς φιλτάτοις ἀσμένοις ἄσμενον. Ἐπεὶ δὲ τὴν φίλην πατρίδα Αἴγυπτον φευκτέαν ἐνόμισας καὶ γράφων ὠνόμασας διὰ τοὺς εἰςφθαρέντας αὐτῇ δή που βαρβαρικοὺς τυράννους καὶ καταδουλοῦντας τὸν ἐλεύθερον Ἰσραὴλ, βούλομαί σε μωσαϊκόν τι καὶ αὐτὸς ἐνδείξασθαι μεγαλούργημα, εἴπερ γνησίως εἰςεποιήθης, ὡς ἐκεῖνος τῇ βασιλίδι, οὕτω καὶ σὺ τῇ σεμνοτάτῃ φιλοσοφίᾳ, καὶ μέγας ἐντεῦθεν γενόμενος ἐξῆλθες εἰς τὴν τῶν ἀδελφῶν ἐπίσκεψιν κατὰ τὴν τοῦ νομοθέτου ὁμοίωσιν. Καὶ μὲν δὴ τὸν πόνον κατανοήσας αὐτῶν ὄψει που πάντως Αὐγύπτιον, εἶτ' οὖν αἰγυπτιάζοντα ἐργοδιώκτην τινὰ τῶν σεαυτοῦ ἀδελφῶν τύπτοντα. 2. Ὃ γοῦν δράσεις ἐν τούτοις;

3. ‖ Κώδ. 145,6.— 9. *τοαυτὸ*.— 10. *μῦρον*.

ρμ΄. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 145,6 - 146,α.

20. *αὐτὸν*.

Digitized by Google

πότερον ὑπερόψει σιγῇ τὴν ἄδικον ὕβριν; Οὐκ εὐδοκεῖ ἐν αὐτῷ ἡ ψυχή μου. Οὐκοῦν ἀνδριστέον, ὦ γενναῖε, καὶ μισοπονήρῳ ζήλῳ μετιτέον τὰδίκημα καὶ χωρητέον ὁμόσε τοῖς ἀλιτηρίοις τοῦ θεοῦ, οὐ βαρείᾳ λέγω χειρί· ἀπάλαμνοι γὰρ οἱ τοῦ Εὐαγγελίου μαθηταὶ εἰς ἔμπρακτον κακοῦ τινος ἄμυναν· ἀλλὰ λόγοις ἀντιτύποις καὶ σφοδροῖς ἐλέγχοις καὶ σιδήρου δριμύτερον βάλλουσιν ἐπιπλήγμασιν, εἴπερ καὶ Σολομῶν τοὺς ἐλέγχους ἀτεχνῶς εἶναι τῷ ἀσεβεῖ μώλωπας ἀποφαίνεται. Οὕτω καὶ Μωσῆν ζηλώσειας καὶ ὑπὲρ νόμον εὐαγγελικῶς ἀριστεύσειας. 3. Ἀλλ' οἷον ἠγνόησα, μᾶλλον δ' ἐλαθόμην, οὐκ ἠγνόησα, ὡς ἄρα μετὰ τῶν λοιπῶν πρεσβυτικῶν κακῶν καὶ τὸ κάκιστον, λήθη, τῷ γήρᾳ πρόσεστιν, εἰ μή τις καὶ τοῦτο τῆς καθ' ὑπόληψιν ἀπάτης φήσει ἀγνόημα. 4. Εἰδὼς γάρ σε πάλαι ὄντα ἤθους εὐλαβοῦς τε καὶ περιεσκεμμένου, εἶθ' ὑπεσταλμένου καὶ πρὸς αὐτούς γε τοὺς ὁμοφύλους καὶ ὁμοταγεῖς, νῦν ὡς νεανικὸν καὶ θερμόν τινα ἐπὶ θηριομαχίαν μόνον οὐκ ἐκκαίων παραβολώτερον, ἐλαθόμην εἶτ' οὐκ ἐνόησα. Οὐκ ἐν καιρῷ γὰρ οὐδὲ καθηκόντως προὐβαλόμην τὸ τῶν γενναίων στωϊκῶν ἀπόφθεγμα· «δὸς περίστασιν καὶ λάβε τὸν ἄνδρα». 5. Πλὴν οὐδ' οὕτως ἀσυντελής σοι πάντη πρὸς τὰ παρόντα ἐσεῖται ἡ προτροπή, ἐκ τοῦ κάρτα ψοφοδεοῦς καὶ ὑπεσταλμένου πρὸς τὸ πλεῖστον ἀντικείμενον ἀνθέλκουσα καὶ οὕτω τῇ κατὰ τὸ σύμμετρον ἀποκαθιστῶσα μεσότητι· ὡς καὶ τὰ ἑτεροκλινῆ φυτὰ οἱ γηπόνοι οὐκ εἰς ὄρθιον στάσιν τὰ πρῶτα εὐθύνουσιν, ἀλλ' εἰς τὸ ἀντικείμενον ἀποβιάζονται κάμπτοντες καὶ οὕτω μόλις πείθουσιν ἰθυτενῶς ἀνατρέχειν αὐξόμενα. 6. Οὕτω καὶ σὺ, ἐκ τῆς ἐλλείψεως ἐς ὑπερβολὴν προκαλούμενος, ἥξεις ἐπὶ τὴν μεσότητα, καὶ εἰ μὴ ἀντιστῇς τοῖς κακοῖς, ἀλλ' οὖν οὐδὲ ὑπείξεις δουλείας ἀνεχόμενος ἐθελήμονος καὶ πρὸ τῆς ἐν λόγοις ἠθικῆς φι‖λοσοφίας ἐμπράκτως πεφι-

1. *σιγῇ*. — 13. *τοῖς*. — 16. *οὐκεκκαίων*. — 20. *πάντα*. — 21. *προτροπῇ*. — 24. *στάσιν* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *στᾶσιν*. — 30. Ἐν τῇ ὧᾳ τῆς ἀναφερόμενον εἰς τὸ τῆς τοῦ κειμένου, τὰ νῦν ἔχον τὸν τόνον ἐπιγεγραμμένον ἐπὶ διαξέσματος. ‖ Κώδ. 146, α.

Digitized by Google

λοσόφηκας καὶ τὴν τῶν μεθ' ἡμῶν συνουσίαν οὐκ ἠσχυνας.

7. Ναὶ καὶ γένοιτό σοι μὴ μόνον θεωρητικῆς, ἀλλὰ καὶ πρακτικῆς φιλοσοφίας ἐπιβατεῦσαι καθαρῶς καὶ ἀνοθεύτως ὡς οἷόν τε. Προσειρήσθωσαν οἷς ἡ παρ' ἡμῶν ἀπροσηγορία βαρύ τι χρῆμα δοκεῖ. Ἔρρωσο καὶ πρὸ παντὸς ἰατρικοῦ βοηθήματος.

ρμα'. Τῷ αὐτῷ Βαρδάνῃ.

1. Ὅταν πυνθανόμενοί μού τινες περὶ τῆς σῆς πρὸς ἡμᾶς ἀναλύσεως, ἐρωτῶσιν «ἆρα γε ἐπανελεύσεται ὁ ὑπομνηματογράφος ἢ οὔ, ποθῶ μὲν τῇ τῶν πάλαι σκεπτικῶν ἀποχῇ χρήσασθαι, φυλαττόμενος μὴ ψεύδους ἅλῶ, θάτερον τῆς ἀντιφάσεως μόριον προπετῶς καὶ ἀνεπικρίτως ἀποκρινάμενος· ἵνα δὲ μὴ ἀλλόκοτός τις νομιζοίμην ἐπέχων τρόπον ἕτερον, οὐδὲ αὐτὸν τῆς σκεπτικῆς φιλοσοφίας ἀλλότριον, τὸ τῆς ἐρωτήσεως φεύγων ἀμφίκρημνον, τάχα μὲν ἐλεύσεταί, φημι, τάχα δὲ οὔ. 2. Φθέγγομαι δὲ οὕτως οὐκ ἀλογίστως, οἶμαι, οὐδ' ὡς τῆς τοιαύτης φιλοσοφίας σπουδαστὴς, ἀλλὰ τὰ μὲν αὐτὴν τὴν φύσιν τοῦ ἐρωτωμένου πράγματος εἰδὼς, τὸ ἐπαμφοτερίζον τοῦτο ἐνδεχομένην, τὰ δὲ καὶ τῆς σῆς ψυχῆς τοὺς ἀνθέλκοντας ἑκατέρωθεν ἐπισπασμούς. 3. Οὐκ ἀγνοῶ γὰρ ὡς ὁ μὲν ἔρως τῶν τε μαθημάτων καὶ τοῦ συνεῖναι ἡμῖν, ἀπηλλαγμένον τοῦ ἐν Ἀθήναις καπνοῦ καὶ πυρὸς, μόνον οὐκ ἀνίπτασθαί σε πείθει καὶ πρὸς ἡμᾶς διαέριον φέρεσθαι, τὸ δ' αὖ γε μητρὸς φίλτρον καὶ ἀδελφῶν ὡς ἄλλος δεσμὸς ἀτεχνῶς ἀδαμάντινος οἴκοι μένειν βιάζεται.

4. Μανθάνω γὰρ τῶν πάλαι ἀηττήτων ἀνδρῶν ἐνδεδωκότας ἐνίους τοῖς περὶ τὰ φίλτατα πάθεσιν. Ἀλέξανδρος μὲν γὰρ ὁ μέγας, παρ' Ἀντιπάτρου καὶ τῆς Ὀλυμπιάδος δεδε-

4. *οἷον.*

ρμα'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 146,α.

6. *μου τινὲς.*

www.libool.com.cn

Digitized by Google

γμένος γράμματα, ἀγνοεῖν ἔφησεν Ἀντίπατρον ὡς πολλὰ πράγματα οἷόν τέ ἐστιν ἀπαλεῖψαι ἐν μητρὸς δάκρυον, ὁ δὲ θεσπέσιος Ἰωσὴφ πρὸς βραχὺ σκηνικευσάμενος τὸν ἀλλοτριούμενον καὶ χολούμενον τοῖς ἀδελφοῖς, θᾶττον τὸ δρᾶμα τῆς προσποιήσεως ἔλυσε καὶ τὸν Ἰωσὴφ αὐτοῖς ἀνεγνώρισεν.

www.libtool.com.cn

5. Οὕτως ἄμαχόν τι χρῆμα τῆς φύσεως ἡ τυραννίς. Ἄπερ εἰδὼς, ναὶ μὴν καὶ ἀγνοῶν εἰ τοῦ διοχλοῦντος ἄλγους καθαρῶς ἀπήλλαξαι, δικαίως περὶ τῆς σῆς ἐπανόδου ἀμφιβόλως ἔχω. Ἐρρωμένος φυλάττοιο ψυχῇ τε καὶ σώματι.

ρμβ'. Τῷ αὐτῷ.

1. Τί σοι καὶ τῇ ὁδῷ Ἀθηνῶν, θεοφιλέστατε ὑπομνηματογράφε; Ὑπαλλάξω γάρ τοι μικρὸν τὸ προφητικὸν λόγιον, εἰ μήτε διὰ τῶν ἐκ τῆς τέχνης φαρμάκων τὴν κεφαλὴν τοῦ διοχλοῦντος ἄλγους ἀπήλλαξας, ὡς ἐπέστειλας, μήτε τῷ ἐμῷ τε καὶ σῷ Ἰωάννῃ τῷ Συρινῷ μνηστεύσας ἐνυμφαγώγησας. Οὐ σὺ μὲν διὰ τῆς πνευματικῆς ὠδινούσης κολυμβήθρας πατὴρ, ἐγὼ δὲ πάτρων κατά τι ῥωμαϊκὸν ἀρχαΐζον προσφώνημα. Δυεῖν γὰρ τούτων ἕνεκα παρεβιάσθης ἐνθένδε ἀπορραγεὶς μεθορμίσασθαι. 2. Εἰ γοῦν τούτων οὐδέτερον προῦργου σοι γέγονεν, ἐφ' ὅτῳ ἄλλῳ τὴν Ἀθήνησιν ἀγαπῴης ἂν οἴκησιν; Οὐ γὰρ δὴ ἵνα παῖς μητρὶ φίλῃ οἰκουρῇς κατὰ τὸν παρ' Ἡσιόδῳ ἀτάλλοντα ᾧ ἐνὶ οἴκῳ μέγα νήπιον, ἢ ἵνα τῷ τῆς κεφαλῆς ἄλγει λάθῃς προστιθῇς καὶ τὸ τῆς καρδίας ἄλγος δριμύτερον, ὀφθαλμοῖς αὐτοῖς ὁρῶν τὴν ἐνεγκαμένην καὶ τὰ φίλτατα τυραννούμενα καὶ τὰ σπλάγχνα περιαλγῶς σπαραττόμενος. 3. Ὁ δὴ φυλαττόμενοι καὶ οἱ πάλαι, τὸν σχολαστὴν βίον καὶ θεωρητὴν ὡς ἀτάραχον ἀσπαζόμενοι, τὴν

2. *οἷον*.— 9. *φυλάττοι*.

ρμβ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 146,α - 147,α.

13. *ἀπέστειλας*.— 17. *παρεβιάσθεις*.— 22. *προστιθεῖς*.

Digitized by Google

μοχθηρίαν τῶν τυραννουμένων πόλεων περίσταντο. Καὶ, ἵνα μὴ λέγω τοὺς διαφανεστέρους τῶν τοιούτων, Ἠλίαν τὸν πάνυ καὶ τὸν ἄλλον ἐν πνεύματι καὶ δυνάμει Ἠλιοὺ, Ἰωάννην τὸν
www.libtool.com.cn
‖ βαπτιστὴν, Πυθαγόρας μὲν φυομένης ἤδη τῆς Πολυχράτους τυραννίδος, εἰς Ἰταλίαν ἐκ Σάμου μετὰ Παλαιστίνην καὶ Αἴγυπτον μεθωρμίσατο, ἣ καὶ μεγάλη Ἑλλὰς [διὰ] τὴν ἐξ αὐτοῦ ῥυεῖσαν σοφίαν ἀποκέκλητο. Ξενοκράτης δὲ, ἐπεὶ πρὸς Ἀντίπατρον ἐστείλατο, καὶ μὴ δυνηθεὶς τῆς μακεδονικῆς ὕβρεως ἀπαλλάξαι Ἀθήνας, οὐκ ἠνέσχετο μετασχεῖν πολιτείας ἐν αὐταῖς· ὑπὲρ ἧς ὥστε μὴ γενέσθαι διεπρέσβευσεν. Οὐ γὰρ ἐν πενθούσαις πόλεσιν γεωμετρεῖν ἐξῆν, παρὰ τὸ παροιμιακὸν βούλημα, ἢ ἄλλο τι θεωρεῖν μάθημα διὰ σχολῆς ἀτυρβάστου θηρώμενον.

4. Οὔκουν οὐδὲ σοὶ, ἐπεὶ τὰ δοκηθέντ' οὐκ ἐτελέσθη, τὰ τῆς καθόδου ἐπί τι ἄμεινον ἐπιδέδωκεν, ἀλλ' ἐπὶ τὰ Μανδραβόλου, τὸ τοῦ λόγου, κεχώρηκεν. Ἀλλὰ τὸ μηδέπω ταῖς ἰατρικαῖς μηχαναῖς ἐκμοχλευόμενον ὑπείκειν τὸ ἄλγος ἐνιδρυμένον ὥσπερ ἀκροπόλει τῇ κεφαλῇ τυραννικώτερον, εἰς πολλὰ ἄν τις ἔχοι ἀναφέρειν καὶ οὐκ εἰς μόνον τὸ ἁμαρτάνειν, ὡς ἔγραψας, ὅτι μηδὲ πᾶσα νόσος ἁμαρτίαν ἔχει προκαταρκτικὸν αἴτιον, ἀλλ' ἐνίοις μὲν σκόλοπι νοσημάτων κολαφίζεται τὸ σῶμα ἵνα μὴ ὑπεραίρωνται, ἄλλοι δὲ τληπαθοῦσιν ἵνα ἀναφανῶσι δίκαιοι καὶ λαμπρότερον ἐκστίλψωσι, πυρωθέντες μὲν ὡς χρυσίον τοῖς πειρασμοῖς καὶ διακωδωνισθέντες μηδὲν ὑπόχαλκον ἀπηχήσαντες· ἄλλοι δ' αὖ τῆς ἐνταῦθα ταλαιπωρίας ἢ λύσιν πλημμελείας ἢ λῆξιν ἀβραμιαίαν ἄρνυνται. Τάχα δ' ἂν καὶ ἕτερ' ἄττα τοιαῦτα εὕροι τις ζητῶν. 5. Τοῦ γε μὴν μὴ συζεῦξαι τὸν Ἰωάννην γυναικὶ, καὶ τοῦθ' ἡνίκα διψῶσιν εἴπερ ποτὲ πατέρες τὰς ἑαυτῶν ἐκγαμίζειν παρθένους διὰ τὸ τοῦ καιροῦ παγχάλεπον, τί ποτ' ἂν καὶ αἰτιασαίμεθα; Ἢ τίς ἡμᾶς ἐλεήσειεν εἴπερ, ὡς πυνθάνομαι, διαμαρτὼν τῆς

4. ‖ Κώδ. 146. *6.*— 6. *διὰ* λείπει.— 12. *ἄλλό.*— 14. *οὐκετελέσθη.* — 27. *ἑτεράττα. τίς.* — 29. *εἴπέρ ποτε.* — 31. *διαμαρτῶν.*

Digitized by Google

κατεχούσης αὐτὸν ἐλπίδος διαπλευσεῖται οἴκαδε, μᾶλλον δὲ
τὴν ὁλοὴν τῆς πατρίου θρησκείας ἀναμετρήσει Χάρυβδιν, καὶ
πένθος ἡμῖν καταλίποι ἄπαυστον καὶ τὸ ἐν Εὐαγγελίοις οὐαὶ
ὡς ἂν ἕνα ποιησαμένοις προσήλυτον, εἶτα καὶ τοιοῦτον υἱὸν
γεέννης ἀποτελέσασιν. 6. Ἆρα τῆς τοιᾶσδε συμφορᾶς αἴ- 5
τιον λέγοντες τὸν Νυκτωπᾶν, ὡς δεδήλωκας, πιθανὴν ἀπο-
λογίαν δόξομεν τοῖς εὖ φρονοῦσι προβάλλεσθαι ἢ συγγνώμης
ἡστινοσοῦν παρὰ θεῷ τευξόμεθα; Ἐγὼ μὲν οὐκ οἶμαι, μᾶλ-
λον δὲ ἀκριβῶς οἶδα ὡς οὔτε θεῷ οὔτ' ἀνθρώποις τῆς ἐθελο-
κάκου πλημμελείας συγγνωστοὶ κριθησόμεθα. Ἐροῦσι γὰρ 10
ὡς εἴπερ ἡ τοῦ Νυκτωπᾶ γλίσχρος καὶ ἀσύνθετος κακοήθεια
προσίστατο, ἀλλ' ἐξῆν Νυκτωπᾶν μὲν κλάειν ἐᾶν αὐτῇ θυγα-
τρὶ καὶ κατὰ σκότον ἠλάσκεσθαι καὶ μὴ πρὸς τὸ κῆδος πара-
καλεῖν οὐκ ἀκούοντα ὡς ἀμβλυήκοον καὶ ὑπόκωφον. 7. Εἰ
γὰρ εἶχεν ὦτα ἀκούειν, ἤκουεν ἂν ὅπως ὑπὸ σχήματι γάμου 15
τὰς κόρας οἱ Λατῖνοι βιάζονται, ἑτέρωθεν δ' ὅθεν ἡμερινή τις
εὐθύτης ὑπηύγαζεν ἀγαγέσθαι νύμφην τῷ παιδὶ καὶ εἰ πόρ-
ρωθεν ἔδει μεταπέμψασθαι ὥςπερ καὶ ὁ θεῖος Ἀβραὰμ Χανα-
ναίαν καὶ Χαναναίων κόρας παριδὼν ἐκ τῆς Μέσης τῶν πο-
ταμῶν τὴν Ῥεβέκκαν μετεστείλατο, εἴ γε μὴ κατὰ πίστιν 20
μόνον τέκνα ἐσμὲν Ἀβραὰμ, ἀλλὰ καὶ τοῖς ἔργοις πατρῴζο-
μεν. 8. Εἰ τοιαῦτα θεὸς ἢ ἄνθρωπος ἐρεῖ πρὸς ἡμᾶς, τί ἂν
ἀπολογισαίμεθα; Ἀλλ' ὅπως, ὦ θαυμάσιε, μὴ τὰ ἀναίτια
αἰτιώμεθα· καὶ ἡμεῖς μὲν ἴσως οὐκ ἐμπεδῶμεν ὅ τι κεν κε-
φαλῇ κατενεύσαμεν τῷ Ἰωάννῃ χαρίσασθαι κληροδότημα 25
καὶ παρὰ τοῦτο καὶ τὸν Νυκτωπᾶν παρασκευάζωμεν ἀναβάλ-
λεσθαι τὴν τῆς θυγατρὸς κατεγγύησιν, εἶτα τὸ ἡμῶν αὐτῶν
ἀβέβαιον ἄλλοις προσάπτωμεν. 9. Τὸ μὲν γὰρ τῆς σῆς γνώ-
μης πρεσβυτικὸν καὶ ἐν νεότητι ἱδρυμένον καὶ πάγιον πάλαι
οἶδα μαθὼν, καὶ τὸ ἐπ' αὐτῷ θαρρῶν οὔ ‖ ποτέ τι ἀνάξιον τοῦ 30
σοῦ ἤθους ὑπόψομαι. Δειναὶ μέντοι αἱ οὐκ ἀγαθαί φησιν ἐμι-
λίαι ὑποφθεῖραι ἦθος χρηστὸν καὶ τὸν ἀπὸ γραμμῆς φασι λί-

15. *ὑποσχήματι*.— 30. ‖ Κώδ. 147,α.

www.inpool.com.cn

Digitized by Google

θον κινῆσαι καὶ μάλιστα αἱ παρὰ τῶν οἰκειοτάτων ὑφέρπουσαι καὶ τῷ τῆς εὐνοίας προσχήματι κλέπτουσαι. 10. Ἀμέλει καὶ ἡ εὐαγγελικὴ νομοθεσία τοὺς οὕτως λοιμώδεις, κἂν καὶ ὀφθαλμῶν αὐτῶν εἶεν φίλτεροι, κἂν ὡς δεξιαὶ χρειωδέστατοι, σκανδαλίζοντας ἐκκόπτειν διακελεύεται καὶ οὐδὲ τὸ θάψαι πατέρα ἐφίησιν ὡς μὴ τοῦ συνεχῶς ἕπεσθαι θεῷ ἠντινοῦν δοίη διέχειαν, οὐδὲ παιδαγωγικῶς νομοθετῶν ἐν οἷς εὐλογεῖ τὸν Λευὶ ὁ λέγων φησὶ τῷ πατρὶ αὐτοῦ καὶ τῇ μητρὶ αὐτοῦ «οὐχ ἑώρακά σε» καὶ τοὺς ἀδελφοὺς αὐτοῦ οὐκ ἔγνω, ὅτι ἐφύλαξε τὰ λόγιά σου.

11. Ἀλλ' ἵνα μὴ δόξωμεν διὰ τῶν τοιούτων λόγων ἀλείφειν σε εἰς περιφρόνησιν γονικοῦ καθήκοντος κατὰ τοὺς πάλαι παιδοτριβοῦντας τοὺς υἱοὺς λέγειν τῷ πατρὶ ἢ τῇ μητρὶ δῶρον ὃ ἂν ἐξ ἐμοῦ ὠφεληθῇς, ἐκεῖνο ἐπειπὼν παύσομαι, ὡς ἀγαθὸν ἦν μὴ εὔξασθαι τὴν ἀρχὴν ἢ εὔξασθαι καὶ μὴ ἀποδοῦναι.

12. Ἔπεισι δέ μοι ὑπὸ θερμότητος καὶ τόδε παραλλήλως εἰπεῖν. Ἀγαθὸν ἦν μὴ προσήλυτον εἰςποιεῖν τῷ Χριστῷ ἢ εἰςποιεῖν, εἶτα υἱὸν γεέννης ποιεῖν. Σοὶ δ' ἀλλ' ἐπεύχομαι ὥςπερ τἆλλα πάντα τὰ πρὸς θεὸν δι' εὐλαβείας ἄγεις πολλῆς, οὕτω καὶ τὰς εὐχάς σου ἀφοσιοῦσθαι καὶ ἀποδιδόναι τῷ Ὑψίστῳ καὶ οὕτως ἐπικαλεῖσθαι αὐτὸν ἐν ἡμέραις θλίψεως καὶ ἐξαιρεῖσθαί σε. Καὶ εἴη ἐξαιρούμενός σε ἀπὸ παντὸς πειρασμοῦ.

ρμγ'. Τῷ αὐτῷ.

1. Οὐχ ὡς ψελλίσμασι παιδικοῖς τοῖς σοῖς ἐπιγαννύμεθα γράμμασιν, ὡς αὐτὸς ἔφης, ὦ κατὰ λόγον καὶ πνεῦμα φιλούμενε υἱέ, ἀλλ' ὡς νεανικοῖς ἤδη ῥητορικῶν χαρίτων στωμύλμασι καὶ τὸ ἐν σοφιστικῇ ἄνδρα ὑπισχνουμένοις οὐκ εἰς

8.9. *αὐτοῦ*. — 18. *γεεέννης* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *γενέννης*.— 21. *ἐξαιρεῖσθαι*.

ρμγ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 147,α.

www.ftptool.com.cn

Digitized by Google

μαχρὰν ἀποτελεσθησόμενον. 2. Καὶ τοῦ λόγου μοι αὐτόθεν ἀπόδειξις· τοῖς μὲν γὰρ ἀσημότερον παππάζουσιν ἢ καὶ παρακεκομμένα ψελλιζομένοις ἢ καὶ τυχὸν βαρβαρίζουσιν οὐκ ἐπιτιμῶσιν οἱ τεκόντες ὡς παναφήλιξιν, οὔτε μὴν ἐπιπλήττουσιν. Ἐγὼ δὲ τοσούτου δέω ἀνεπίπληκτον παρορᾶν εἴ τι τῶν πρὸς ἐμέ σου γραμμάτων ἢ λήθῃ ἢ ἀγνοίᾳ παρολισθαίνῃ τῆς ὀρθότητος, ὥςτε καὶ διδασκαλικώτερον ἰδοὺ ἐμβριμῶμαί σοι ὡς ἤδη περὶ τὸ λογογραφεῖν ἀνδρόπαιδι, οἷς ἅπαξ καὶ δεύτερον παρὰ τὴν ὀρθολεκτικὴν ἀκρίβειαν ἔγραψας, ἐν μὲν τῇ προτέρᾳ ἐπιστολῇ λόγοις ἐπιμήκοις· ἡ γὰρ εὐθεῖα οὐκ ἔστιν ὁ ἐπίμηκος, ἀλλ' ἐπιμήκης καὶ ἡ πληθυντικὴ δοτικὴ ἐπιμήκεσιν· ἐπ' αὐτῷ δὲ καὶ τὸ δεδίττεσθαι ἐνεργητικῶς τέθεικας δεδίττειν. Τοῦτο δὲ καὶ ἐν τῇ δευτέρᾳ γέγραφας ὡςαύτως, καὶ οὐκ οἶδ' εἴτε ἐλάθου εἴτε ἠγνόησας. Ἀλλὰ μὴ οἷου ὅτι ὡς πολλὰ τῶν παθητικῶν ἐνεργητικῶς ἐκφέρονται κατὰ ζῆλον ἀττικισμοῦ, οὕτω καὶ τὸ δεδίττεσθαι· ἀλλὰ δὴ οὕτως οἱ παλαιοὶ γράφουσιν ὡς ἄλλα τε μυρία καὶ τὸ μορμολύττεσθαι.

3. Ἀτὰρ δὴ τοῦτον τὸν ἔλεγχον ὡς σοφὸς δεξάμενος καὶ ἀγαπήσας ἡμᾶς ἔχε τεκμήριον σαφὲς τοῦ μήτε ὡς νηπίαχα πρὸς ἡδονὴν ἡμῖν φαίνεσθαι τὰ σὰ γράμματα, ἀλλ' ὡς ἀνδριάντος μεγάλου σοφιστοῦ κατὰ τὸν εἰπόντα τμήματα, μήτε θωπευτικῶς ἐπαινεῖν, ὁπηνίκα ἂν αὐτὰ ἐπαινοίημεν. 4. Πολλῶν γὰρ ὄντων καὶ ἄλλων τῶν διακρινόντων ἀπὸ τοῦ φίλου τὸν κόλακα, ὡς μαθήσῃ τοῖς τῶν παλαιῶν ἐντυγχάνων συγγράμμασιν, αὕτη μᾶλλον ἐναργεστέρα διαφορά ἐστι τῶν τε ἀληθῶς φιλούντων καὶ τῶν προσποιουμένων φιλεῖν, τὸ τοὺς φίλους μὲν ἐπαινεῖν τὰ τῶν φίλων ἔργα καὶ πράξεις ἔσα δήπου θαυμάζεσθαι ἄξια καὶ ψέγειν ἔσθ' ὅτε πρὸς διόρθωσιν εἴ ποτε πίπτοιεν ἔξω τοῦ δέοντος, κόλακας δὲ πάντα τὰ τῶν κολακευομένων θαυμάζειν, εἴτε φαῦλα εἴτε σπουδαῖά εἰσι. Καὶ ταῦτα μὲν οὕτως.

---

7. *ἐμβριμῶμαι.*— 8. *ἀνδρόπαιδα.*— 9. *ἔν.* — 15. *τῶν ἐνεργητικῶν παθητικῶς.*— 17. *ἀλλὰ εἰ οὕτως.*— 31. *σπουδαῖα εἰσί.*

Digitized by Google

www.libtool.com.cn

ρμδ'. || Τῷ σακελλαρίῳ τῷ Πλευρῇ.

1. Ἤδη σχεδὸν ἑναυτὸν ὅλον ἀποδημοῦντι οὐδέν τι γράμμα Ἀθήνηθεν προσέπτη μοι, ἐγχώρια προσᾄδον καὶ ἀττικὰ καὶ οἷα μουσικοί τινες ὄρνιθες τερετίζουσι· καὶ τὸ αἴτιον ὁ ἐπισκήψας δή που κρυμώδης χειμών. 2. Ἀλλὰ σὺ, γενναῖε, καὶ τοῦ καιροῦ δυναστεύοντος ἔτι, τοὺς τῆς ἀφωνίας δεσμοὺς ἔρρηξας καὶ οἷόν τινα ἔαρος ἄγγελον ἐπαφῆκας ἐπιστολήν, ἥτις ἠβούλετο μὲν ἔαρ ψυχαγωγίας ἡμῖν ποιεῖν, οὐχ οἷα τε δὲ ἦν, τὰ μὲν μία οὖσα, τὰ δὲ καὶ ἐπίκλαυτον ᾄδουσα, μᾶλλον δὲ ἐκτραγῳδοῦσα ἐλεεινῶς οὐ τὰ μηκέτι ἐνοχλοῦντα χειμέρια ἀλγεινὰ, ἀλλὰ καὶ ἔτι πιέζοντα μηδέπω μὲν, ὅσον δὲ οὐκ ἤδη ἑπόμενα. Ἀμέλει τοι καὶ παραμύθιόν τι τέλεον ἠτεῖτο παρ' ἡμῶν ταὐτὸν ὥςπερ εἴ τις παρὰ τοῦ ἐκλείποντος δίψει ἐζήτει ποτὸν ἢ ἵαμα πρὸς τοῦ βρύοντος ἕλκεσιν ἢ ἐπικουρίαν παρὰ τοῦ δεομένου ἐπιμαχίας ἡστινοςοῦν.

3. Καί μοι ταὐτὰ συνηνέχθη τῷ τῆς αἰσωπείας γλαυκός. Ἀλλ' ὅπως μὴ καταμωκήσῃ μου τὸ τῆς παροιμίας ἐκεῖνο γλαῦξ εἰς Ἀθήνας, ὡς παρειςκυκλοῦντος λογοποιίας γλαυκῶν τῷ πρὸς σέ μου γράμματι. Οὐ γὰρ ἀλλοδαπὴ αὕτη ἡ γλαῦξ παρεισάγεται τῇ παρωνύμῳ, εἴτ' οὖν ἐπωνύμῳ πόλει τῆς γλαυκώπιδος, ἀλλ' οἰκοθέν φασιν οἰκαδε, εἴπερ καὶ ὁ παραφέρων ἐγὼ ταύτην ἐνδαπὸς ἱερεύς, εἰ καὶ φθόνος, μᾶλλον δὲ φόρτος βαρὺς ἁμαρτιῶν αὐτόθεν ἐξήλασεν. 4. Ἀλλὰ τίς ὁ μῦθος ὁ τῆς γλαυκός; Ἦν ὅτε ἐδόκει σύμβουλος ἡ γλαῦξ ἀγαθὴ τοῖς ὄρνισι καὶ ἐπείθοντό οἱ ὑποτιθεμένῃ τὰ συνοίσοντα. Ὡς δὲ ἔσπαρτο τὴν ἀρχὴν παρ' ἀνθρώπων τὸ λίνον καὶ ἤδη ἔβλαστεν, ἐφύετο δὲ καὶ ἡ δρῦς, συνεῖδεν ἡ

ρμδ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 147, ε.

Τίτλος. || Κώδ. 147, ε.— 2. *προσάδον.*— 7. *οἷα.*— 10. *πιέζοντα.*— 12. *ταυτὸν. ἐκλίποντος.* — 15. *ταυτὰ.* — 19. *τῷ.*— 20. *οἰκοθεν φασιν.*— 26. *λινον.*

Digitized by Google

γλαὺξ ὡς οὐ τὰ τυχόντα πράγματα ἔξουσιν ἐντεῦθεν τὰ πτηνά, εἴπερ τοῦ λίνου μὲν αὐξηθέντος πλακήσεται δίκτυα, τῆς δὲ δρυὸς δενδρωθείσης ἐκφυήσεται ὁ ἰξός. Ὑπεδείκνυε τοίνυν ταυτὶ τὰ φυτὰ καὶ συνεβούλευε τοῖς ὄρνισι θᾶττον ἀνασπᾶν τε καὶ ἐκριζοῦν καὶ παντὶ τρόπῳ ἀφανίζειν ἔτι φυόμενα, πρὶν ἀνδρυνθέντα τελεσφόρα γένηται. Ταῦτα ἡ μὲν ὑπετίθει, οἱ δὲ οὐ προσεῖχον τῇ ὑποθήκῃ τὸν νοῦν ὡς περιέργῳ καὶ καταμαντευομένῃ τοῦ μήπω παρόντος μήτ' ἴσως παρεσομένου τὴν ἀρχήν. Χρόνος οὐχὶ συχνὸς καὶ τὸ λίνον μὲν ἐχορήγει τοῖς ὀρνιθοθήραις τὰ δίκτυα, τοὺς δὲ ἰξοφόρους λύγους ἡ δρῦς, καὶ τῶν πτηνῶν τὰ μὲν τούτοις, τὰ δ' ἐκείνοις ἐμπίπτοντα ἐζωγροῦντο καὶ κακῶς ἔπασχον, καὶ τηνικαῦτα σοφὴν εἶναι τὴν γλαῦκα ἐγίνωσκον. Ὅτε καὶ περὶ αὐτὴν ἀγειρόμενα τὰ μήπω ἐζωγρημένα λύσιν ἠξίουν τῶν δεινῶν εὑρέσθαι. Ἡ δὲ ὡς ἀμηχάνων καὶ οὐκέτι φευκτῶν ὄντων τῶν δεινῶν οὔθ' ἑαυτῇ προσβοηθεῖν, οὔτε τοῖς ἄλλοις ἔχουσα ᾤχετο καὶ κοίλην εἰςέπτατο πέτρην.

5. Ἔοικε δὲ καὶ τὰ νῦν γινόμενα τῷ μύθῳ προσμαρτυρεῖν. Ἐν αἰθρίῳ γάρ ποτε φανείσῃ γλαυκὶ προςίπτανται <καὶ περιίπτανται> τὰ πτηνά, οἰόμενα ἐκείνην εἶναι τὴν πάλαι συνετὴν καὶ σοφὴν καὶ ὡς παρ' αὐτῆς νοήσονταί τι τυχὸν οὐ μικρόν. Ἡ δὲ τοσαῦτά γε λυσιτελεῖν οἷα τέ ἐστιν τῇ πτηνῇ φύσει ὅσα καὶ ἐγὼ νῦν τοῖς παρ' ἐμοῦ τι ζητοῦσιν ὄνασθαι.

6. Οὐκοῦν μηδ' αὐτὸς ζήτει παρ' ἡμῶν παρηγόρημα ὁτιοῦν, δεομένων ὅ τι πλείστης ψυχαγωγίας, μᾶλλον μὲν οὖν αὐτὸς σὺ παραμυθοῦ τὰ ἡμέτερα, γράμματά τε συνεχῆ ἐπιστέλλων καὶ ἀποστέλλων βιβλία. Οἶδας γὰρ ὅτι καὶ τῶν τοιούτων σπανίζομεν.

---

9. οὐ συχνὸς. *Iror.*— 22. οἷα.— 23. τί.

Digitized by Google

ρμε'. Τῷ Μακρεμβολίτῃ κῦρ Δημητρίῳ.

www.libtool.com.cn

1. Οἴμοι, οἴμοι ὅτι τῆς ὑπερορίας μου μακρυνθείσης περὶ τῶν ἄλλων μὲν συνήθων καὶ ἑταίρων ἔχω τι ‖ μανθάνειν πολλάκις ὅπως καὶ οἵοις διαύλοις κυμάτων τοῦ κοσμικοῦ τοῦδε κλύδωνος φέρονται, περὶ δὲ σοῦ αὐτοῦ, τῆς φίλης μοι κεφαλῆς, οὐδέν τι πυνθάνομαι σαφὲς οὔτε παρὰ γραμμάτων, οὔτε παρ' ἀνδρῶν εὖ εἰδότων τὰ κατὰ σέ. Αὐτίκα οὐδὲ ἔνθα διατρίβεις οἰκῶν ἢ παροικῶν ἀκριβῶς ἴσμεν· ἀμφιγνοοῦμεν δὲ πότερον ἐν Ἀθήνησι διάγεις ἢ ἐν Χαλκίδι τῆς Εὐβοίας ἢ ἐν Θήβαις τῆς Βοιωτίας. Αἱ μὲν γὰρ γενεῖθέν σοι προσήκουσι, Θῆβαι δὲ διὰ τὸ κῆδος ὕστερον ᾠκειώσαντο. 2. Ἡ γάρ τοι πονηρὰ τυραννὶς καὶ ἡ πάλαι τεθρυλημένη τῶν Ἑλλήνων ἀποβαρβάρωσις παραβιάζεται πλείστους μεταναστεύειν ἐκ πόλεως ἐπὶ πόλιν καὶ τῆς ἐνδαπῆς τὴν ἀλλοδαπὴν ἀλλάττεσθαι. Οὐδ' οὕτως μέντοι πόρρω Διός τε καὶ κεραυνοῦ φασι βιοτεύειν οἷοί τέ εἰσιν, ἀλλὰ ταὐτὰ τοῖς ἐν κύρτῳ ἢ ἀλλοίῳ λινέῳ κύκλῳ ζωγρουμένοις ἰχθῦσι δρῶσι καὶ πάσχουσιν. 3. Ἐκεῖνοι γὰρ ὡς ἑάλωσαν συναισθόμενοι πειρῶνται μὲν διαφυγεῖν καὶ οἴονται ὑπεξαλυσκάζειν τῷ τῇδε κἀκεῖσε τῶν δικτυωτῶν κόλπων μετανηχόμενοι καὶ ἀγχιστρόφως διολισθαίνοντες, λανθάνουσι δ' ὅμως καὶ οὕτως, εἴσω τῶν αὐτῶν ἀμφιβλήστρων ἐνισχόμενοι. Τούτοις παραπλησίως καὶ οἱ νῦν τυραννούμενοι τὰ ἄφυκτα φεύγουσιν ὡς εἴ τις φεύγοι κατὰ τὰ γραφικὰ λόγια ἀπὸ προσώπου λέοντος, εἶτα συναντήσει αὐτῷ ἄρκτος, ὁ δὲ, ταύτην διαδρὰς, εἰσελεύσεται εἰς τὸν ἑαυτοῦ οἶκον καὶ ἐπερείσει τὴν ἑαυτοῦ χεῖρα ἐπὶ τὸν τοῖχον καὶ δήξεται αὐτὸν ἐκεῖ ὄφις. 4. Αὐτὸ τοίνυν ἐρωτῶ πρῶτον διδαχθῆναι, ποῖ ποτε ἄρα συνέσταλσαι καὶ εἰ τοῦ θεοῦ ῥυομένου

ρμε'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 147,6 - 148,6.

2. *τί.* ‖ Κώδ. 148,α. — 6. *οὐδὲ ἔνθα.* — 9. *γενεῖθεν.* — 11. *τεθρυλλημένη.* — 15. *οἷοι. ταυτὰ.* — 22. *φεύγει.*

Digitized by Google

σε διαπέφευγας τοὺς ἐπιδιώκοντας λέοντας, τὰς συναντώσας ἄρκτους καὶ τοὺς ὄφεις τοὺς δάκνοντας; Τὸ δὲ ἐρωτῶ ὡς βουλητόν σοι νόει μοι εἴτε εὐαγγελικῶς ἀντὶ τοῦ παρακαλῶ, εἴτε ἑλληνιστὶ ἀντὶ τοῦ πυνθάνομαι· ἀμφοτέραις γὰρ τὸ ῥῆμα ταῖς σημασίαις ἐφήρμοσται. 5. Εἶτα ποθοῦμεν γνῶναι πῶς ὑπήνεγκας τὴν κοινὴν ταύτην συμφορὰν εἶπω ἢ ἀποστροφὴν θεοῦ ἢ ἐγκατάλειψιν ἢ μαστίγωσιν ἢ παίδευσιν ἢ ἔλεγξιν ἢ πήρωσιν. Ἆρα μεγαλοψύχως καὶ φιλοσόφως ἢ, οἰκειότερον εἰπεῖν, εὐσεβῶς τε καὶ φιλοθέως; 6. Ἆρα τοὺς ἀμφὶ τὸν θεῖον Ἀζαρίαν ἁγίους νεανίσκους μιμούμενος καὶ ἐν αὐτῇ τῇ καμίνῳ τῶν πειρασμῶν εὐχαρίστοις χείλεσιν ὑμνεῖς τὸν θεὸν «δίκαιος εἶ, Κύριε» ὑποψάλλων «ἐπὶ πᾶσι καὶ πᾶν εἴ τι ἂν εἴποις, ἐπὶ πᾶσιν οἷς ἐποίησας ἡμῖν· κρίματα γὰρ ἀληθείας ἐποίησας κατὰ πάντα ἃ ἐπήγαγες ἡμῖν καὶ ἐπὶ τὰς πόλεις ἡμῶν διὰ τὰς ἁμαρτίας ἡμῶν, ὅτι ἡμάρτομεν καὶ ἠνομήσαμεν καὶ ἠδικήσαμεν καὶ τῶν ἐντολῶν σου οὐκ εἰσηκούσαμεν, καὶ παρέδωκας ἡμᾶς εἰς χεῖρας ἐχθρῶν ἐχθίστων καὶ μισανθρώπων παρὰ πᾶσαν τὴν γῆν. 7. Ἆρα καὶ τὴν ἀγαθὴν βοηθὸν τοῦ βίου καὶ κοινωνὸν τὰ αὐτὰ συνάδουσαν εἶχες ὡς τὴν αὐτὴν συνδιαφέρουσαν φλόγωσιν ἢ νυσταζούσης τῆς ψυχῆς αὐτῆς ἀπὸ ἀκηδίας· οὐ γὰρ ἂν εἴποιμι μικροψυχούσης ἢ λαλούσης τὰ τῶν ἀφρόνων γυναικῶν, σῆς μὲν οὔσης ὁμοζύγου, θυγατρὸς δὲ τοῦ σοφοῦ καὶ θεοφιλοῦς Κοψηνοῦ· ἐβεβαίους ἔν τε θείοις ἄλλοις λόγοις καὶ μέντοι καὶ ἐν τοῖς τοῦ πολυτλήμονος καὶ ἀηττήτου Ἰὼβ, «εἰ τὰ ἀγαθὰ, ὑποφωνῶν, ἐκ χειρὸς Κυρίου ἐδεξάμεθα, τὰ κακὰ οὐχ ὑποίσομεν;» Καὶ πρὸς τούτοις κἀκεῖνα ἐπισυνείρων τὰ ἀποστολικὰ ‖ «εἰ ἐκτὸς παιδείας ἐσμὲν, ἄρα νόθοι ἐσμὲν καὶ οὐχ υἱοὶ κληρονόμοι μὲν θεοῦ, συγκληρονόμοι δὲ Χριστοῦ». Τίς γάρ ἐστιν υἱὸς ὃν οὐ παιδεύει πατήρ; Καὶ γοῦν ὁ θεὸς καὶ πα-

5. *ἐφήρμωσται.* — 8. *πήρωσιν.* — 16. Πρὸ τῆς λέξεως *ἐντολῶν* ἀναγινώσκονται διεξεσμέναι αἱ λέξεις *ἐν τῶν. εἰσακούσαμεν.* — 19. *συνάδουσα.*— 28. ‖ Κώδ. 148,6.

Digitized by Google

τὴρ δν ἀγαπᾷ παιδεύει, μαστιγοῖ δὲ υἱὸν δν παραδέχεται.

8. Τοιούτοις μὲν οὖν οἶδ' ὅτι θεοπνεύστοις ῥήμασιν ὅσα καὶ δρόσου πνεύμασιν ἀνεψύχεσθε καὶ καιόμενοι οὐ κατεκαίεσθε, τοῦ θεοῦ τὰ πάλαι καινίζοντος θαύματα. 9. Τί δὲ τὰ κάλλιστα παιδία ἅσοι δέδωκεν ὁ θεός; πῶς ἀπαλώτερα ὄντα καὶ τρυφερὰ τὸν σκληρὸν τοῦτον καὶ τραχὺν καιρὸν διανύουσιν; Ἅπερ ἐχρῆν μὲν ὡς ἀμφιθαλῆ νεόφυτα ἐλαιῶν καὶ ἄνθει λευκῷ βρύοντα κύκλῳ τῆς τραπέζης σου κούφοις, ὡς ἔφη τις, πνεύμασι τρέφεσθαι· ὁ δ' ἐπιπνεύσας ἄγριος τυφὼν καὶ καταρρακτὴρ παντὸς ἀγαθοῦ ἴσως καὶ αὐτὰ κατακλᾷ περικραδαίνων καὶ προσαράσσων καὶ οὐκ ἀνίησιν εὐγενῶς καὶ ἐλευθερίως αὐξάνεσθαι ἱδρυμένα ἐν τῇ νεότητι αὐτῶν. Πῶς ἂν, τῆς ῥίζης κακῶς πασχούσης, τοὺς ὄρπηκας εὖ παθεῖν οἷόν τέ ἐστιν καὶ κατὰ λόγον ἡλικιοῦσθαι φυτηκομούμενα; Εἰ γὰρ καλῶς ἡ εἰρήνη τῶν πόλεων κουροτρόφος εἴρηται, ἔπεται δήπου κουροφθόρον καλεῖσθαι τὴν πολεμοποιὸν ταύτην καὶ βαρβαρικὴν ἔφοδον.

10. Περὶ τῶν τοιούτων ἁπάντων δήλωσον ἐν συνοπτικωτέρῳ γράμματι· δόξομεν γὰρ αὐτοπροσώπως ἐντυχεῖν σοι καὶ ψυχαγωγηθῆναι οὐ μικρῶς, καὶ μᾶλλον εἰ χρηστότερα καὶ ὡς ἐν κακοῖς ἀμείνονα ἔσται τὰ ἀγγελθησόμενα. Κύριος ὁ θεὸς εἴη μετὰ σοῦ, ἐξευμαρίζων τὰ δυσχερῆ, κουφίζων τὰ ἀνιαρά, ἀναψύχων καὶ πλατύνων ἐν θλίψεσι καὶ πανοικίᾳ διατηρῶν σε τῶν λυπούντων ἀνώτερον.

---

3. *κατακαίεσθε* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *κατακαίεσθαι*. — 10. *καταρακτὴρ*. — 12. *αὐτῶν*. — 13. *οἷον*.

www.liptool.com.cn

Digitized by Google

ρμς'. Τῷ Εὐρέπου κῦρ Θεοδώρῳ.

www.libtool.com.cn

1. Μέγα μὲν τὸ φέρειν μεγαλοψύχως ὀντιναοῦν πειρασμὸν ἐπιόντα δι' ἔκτισιν ἁμαρτημάτων εἴτε καὶ πήρωσιν, τὸ σπανιώτερον· μεῖζον [δὲ] πολλῷ τὸ καὶ ἄλλοις πειραζομένοις προσβοηθεῖν καθ' ὅσον οἷόν τε. Ὁποῖον ὁ παρὼν καὶ σὲ καιρὸς ἐγνώρισεν, ἱερώτατε καὶ ἀγαπητὲ ἀδελφέ. Τήν τε γὰρ ἐπικειμένην σοὶ καὶ τῷ κατὰ σὲ λάχει βαρβαρικὴν τυραννίδα μεγαλοψύχως ὑποφέρεις καὶ τοὺς πάλαι συνήθεις ἄλλονδε ἀλλαχόσε πεφευγότας διὰ τὴν αὐτὴν ἐπήρειαν παραμυθεῖσθαι φιλοτίμως ἐσπούδακας. 2. Ταύτην, οἶμαι, τὴν ἀρετὴν ᾐδέσθη καὶ κλύδων θαλάσσιος, καὶ παρὰ τοῦτο, τὸ Ἀθήνηθεν πρὸς ἡμᾶς περαιούμενον πλοιάριον συντρίψας, τὸν ἄλλον μὲν πάντα φόρτον διαύλοις κυμάτων δέδωκε φέρεσθαι, τὸ παρὰ σοῦ δὲ πεμφθὲν δῶρον οὐχ ὅπως ἐφύλαξεν ὡς φελλὸν ἀβάπτιστον, ὡς εἰπεῖν κατὰ Πίνδαρον, ἀλλὰ καὶ νοτίδος ἁπάσης ἄψαυστον. Ὅπερ καὶ παραπεμφθὲν τῷ ἀνδρὶ πρὸς ὃν καὶ ἀπέσταλται οὐ μικρᾶς χάριτος ἐσεῖταί σοι πρόξενον.

3. Ἐπεὶ γοῦν τοιαύτην ἐλευθεριότητα καὶ περὶ ἡμᾶς εὐγνωμοσύνην ἐπεδείξω ἐν τοιῷδε καιρῷ, οὐκ ὀκνήσω καί τι ἄλλο πρὸς τὴν σὴν ἱερότητα παρρησιάσασθαι, τὸν φόρτον παραιτησάμενος. Ὃ δὲ ἔχω εἰπεῖν ἔστι τοιόνδε. Πολλὰ καὶ παντοῖα, ὡς οἶδας, βιβλία ἔκ τε τῆς μεγαλοπόλεως κατήγαγον καὶ ἐν Ἀθήναις προσεκτησάμην, κατὰ τὸν παρὰ τῷ θείῳ Δαυὶδ μάτην ταραττόμενον ἄνθρωπον θησαυρίζων τὰ τοιαῦτα καὶ οὐ γινώσκων τίνι συνάξω αὐτά. 4. Ποῦ γὰρ ἂν καὶ τὴν ἀρχὴν εἰς νοῦν ἐβαλόμην ὁ δείλαιος ὡς οὐδὲ ὁμογλώττοις ἀνδράσιν, ἀλλὰ βαρβάροις Ἰταλοῖς ταμιεύσομαι; Οἳ μήτε τὰ ἐν

ρμς'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 148,6 - 149,α.

Τίτλος. *εὐρίπω.*— 2. *πήρωσιν.*— 3. *δὲ* λείπει.— 4. *καθόσον οἷόν τε.*— 6. *σοι.*— 7. *ἄλλον δὲ.*— 16. *ἐσεῖται.* — 17. *τοιαύτοις ἐλευθεριότητος.*— 24. *συνάξει.*

Digitized by Google

αὐτοῖς γεγραμμένα ἐπιέναι οἷοί τε ὄντες, μήτε δι' ὑποβολέως ἀμφιγλώττου συνιέντες· μᾶλλον γὰρ ὄνοι λύρας καὶ κάνθαροι ‖ μύρου αἰσθήσονται ἢ οὗτοι ἁρμονίας λόγου καὶ χάριτος· ὅμως καὶ τῆς ἀπ' αὐτῶν ἡμῖν ψυχαγωγίας ἐφθόνησαν ὡς καὶ διὰ τῆς ἀπεμπολήσεως αὐτῶν οἱ ἄπληστοι κερδάναι διὰ σπουδῆς θέμενοι. 5. Ἀφ' ὧν δὴ βιβλίων ἔνιοι τῶν πριαμένων ὀλίγ' ἅττα κομιδῇ ὡς ἑαυτῶν ἴδια ἡμῖν ἐχαρίσαντο, καὶ ἡμεῖς χάριτας τοῖς ἀνδράσιν ὡμολογήσαμεν. Ἐπεὶ οὖν πυνθάνομαι περιελθεῖν καὶ τῇ σῇ ἱερότητι βιβλίον τοῦ μακαρίου Βουλγαρίας Ἐξηγητικὸν τῶν ἐπιστολῶν τοῦ Ἀποστόλου, ὅπερ μεταγράψας ἰδίαις χερσὶν ἤλπιζον ἐν γήρᾳ παραμυθίαν ἔχειν, ἀξιῶ ἀποσταλῆναί μοι οὐχ ὡς ἐμόν· πάλαι γὰρ ἀπεβαλόμην τοῦτο ἄκων καὶ ὑπὸ δεσποτείαν ἑτέρῳ μεταπέπτωκεν· ἀλλ' ὅσον ἤδη καὶ ἴδιον. Καὶ ἡμεῖς οὐκ ἀποβαλόντες τοῦτο, ἀλλὰ λαβόντες, εἰ μὲν βούλει ἀποχαρισθὲν τελείως, εἰ δ' οὖν καὶ αὖθις ἀντιστραφησόμενον ἡνίκα ἂν ἐθελήσῃς, εὐχαριστήσομεν τῇ σῇ ἱερότητι.

ρμζ'. Τῷ Τορνίκῃ κῦρ Εὐθυμίῳ.

1. Νῦν εὐμαθές σου τὸ φώνημα, λογιώτατε δέσποτα, νῦν ὁ σὸς ἐπιστολιμαῖος χαρακτὴρ δεινὸς ὁμοῦ καὶ ἐπίσημος ἐπιγράμματι, ἀλλ' οὐχ ὡς τὸ πρῶτον ἀνώνυμος καὶ ἀμφίβολος. Ὡς γὰρ πάλαι γυμνωθεὶς ῥακέων πολύμητις Ὀδυσσεὺς καὶ τοῖς μνηστῆρσι τίς ὢν ἐλάνθανε πτωχεύων ἐξέφηνεν, ὥσπερ καὶ μικρῷ πρότερον τὸν ἐπὶ τῷ Οὔτιδι κεκρυμμένον τῷ Κύκλωπι κατεμήνυσεν, οὕτω καὶ ὁ περιώνυμος Εὐθύμιος σὺ τὸ τῆς ἀνωνυμίας ῥάκος ἀποθέμενος, γυμνῇ κεφαλῇ καὶ ὀνομαστῷ προσεφθέγξω τῷ γράμματι. Οὐ γὰρ ἠνέσχετο τὸ γενναῖον

1. *οἷοι*. — 3. ‖ Κώδ. 149,α. — 6. *ἐφ' ὧν*. — 7. *ὀλιγάττα*. 11. *γήρει*.— 12. *ἀποσταλῆναι*.

ρμζ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ.149,α.

Digitized by Google

τῆς σῆς ψυχῆς ἐπὶ πολὺ τὸ δρᾶμα τῆς ἐπιστολῆς ὑποκρίνεσθαι καὶ τὸ πάλαι πολλοῖς ἱδρῶσι καὶ κινδύνοις μεγάλοις κτηθὲν ἐπ' ἀρετῇ λαμπρὸν ὄνομα ἀνώνυμον οἴχεσθαι ἢ κρύπτεσθαι. 2. Ἦκε τοίνυν ἐπὶ τὰς ἡμετέρας χεῖρας ἐπιστολὴ τῆς προτέρας ἀδελφὴ καὶ τοῦ αὐτοῦ πατρὸς, καὶ πάντα μὲν τὰ ἐκείνης προϊσχομένη, τὸ κάλλος, τὸ ἦθος, τὴν φυὴν, τὴν εὐγένειαν, πλὴν ὅσον ἐκείνη μὲν ὑπ' εὐλαβείας αἰδήμονος· ὀκνῶ γὰρ εἰπεῖν δειλίας, ἵνα μὴ ἐντρέψω τὴν σώφρονα· ὅτου πατρὸς ἦν ἀπεκρίνατο, οὐκ αἰσχυνομένη τὸ γένος ὡς ἀγενὲς, φυλαττομένη δὲ μᾶλλον μὴ διὰ τὸ τοῦ γειναμένου μεγαλώνυμον πράγματα ἔξει καὶ παρέξει τῷ γεννησαμένῳ καὶ στείλαντι. Αὕτη δὲ ἀνδρική τις καὶ ἀκατάπληκτος καὶ τὰ πάντα πατρῴζουσα καὶ οὐκ ἀνεχομένη μὴ οὐ φέρειν ὥςπερ ἐπὶ μετώπῳ γεγραμμένον τοῦ τεκόντος [τὸ] περίπυστον ὄνομα, Ἠλέκτρα τις ἄλλη ἀγαπῶσα ὑπὲρ πατρὸς καὶ διὰ τὸν πατέρα κινδυνεύειν, εἰ δεήσει, τὰ ἔσχατα καὶ τοῦτό γε τῆς ἀδελφῆς Χρυσοθέμιδος διαφέρουσα, τὴν τῶν ἐχθρῶν δυναστείαν ὑποστελλομένης καὶ βουλευομένης ἀσφαλέστερα μᾶλλον ἢ εὐγενέστερα. 3. Καὶ ἵνα πρὸς σεμνότερον ἀρχέτυπον ἀφομοιώσας ἐξευγενίσω τὴν εὐγενῆ τελεώτερον, ὡς τὸ σκεῦος τῆς ἐκλογῆς ἐβάσταζε τὸ ὄνομα τοῦ Σωτῆρος ἐνώπιον ἐθνῶν καὶ βασιλέων, οὕτω καὶ αὕτη τὸ πατρικὸν ἐβάσταζεν ὄνομα, οἰμώζειν καὶ κλάειν πολλὰ τοῖς ἀπαρεσκομένοις λέγουσα, ἐπεί τι καὶ γελοῖον ἀντιπάσχουσα ἐλάνθανεν εἰ οὕτως ἀττικίζουσα τῇ φωνῇ τὸν γεγεννηκότα τῇ τῆς γλώττης εὐγενείᾳ καταμηνύουσα, εἶτα πρὸς τὸν Ἀθηνῶν ἠρνεῖτο περίπατον ἢ καὶ μὴ εἰδέναι τὸν ἄνθρωπον ἐπώμνυτο. Ὅπερ καὶ ὁ μέγας Πέτρος πειρώμενος ποιεῖν τῇ γαλιλαίᾳ λαλιᾷ διηλέγχετο. 4. Ἐπεὶ γοῦν, λογιώτατε δέσποτα, τοιαῦτα λόγου τέκνα πέφυκας ἅμα καὶ ἐζησκήσω γεννᾶν, μὴ κατόκνει πολυτοκεῖν, ἀμφότερον προσθήκῃ τε τῆς ἑρμαϊκῆς καὶ φιλομούσου χάριτος ‖ καὶ ἡμῖν οὐ

8. *σώφρονα*.— 14. *τὸ* λείπει.— 15. *τὶς*.— 20. *εὐγενὴν*. — 23. *τῆς ἀπαρεσκομένης*. — 31. ‖ Κώδ. 149,6.

www.libtool.com.cn

Digitized by Google

τὸ τυχὸν ψυχαγώγημα. Προειρήσθω ὁ αὐτόθι λογιώτατος χορὸς, ὡς μακαριστοὶ ὑμεῖς ἐν ἀθλίοις καιροῖς ἀλλήλοις ὁμιλοῦντες καὶ τὰ δυσχερῆ συνδιαφέροντες, ἡμεῖς δὲ καὶ τοῦδε τοῦ καλοῦ στερούμεθα ἐνταυθοῖ ἐρημάζοντες. Ἐρρωμένος διαφυλάττοιο, χαριέστατε καὶ λογιώτατε δέσποτα.

www.libtool.com.cn

ρμη'. Τῷ Βεριβόῃ κῦρ Μανουήλ.

1. Νῦν σε καὶ μᾶλλον θαυμάζομεν, ἀνδρῶν λογιώτατε, καὶ οὐκ ἔσται ὅτε μὴ καὶ εἰς ἔπειτα θαυμασόμεθα, οἷς, ἐπαινούμενος ὡς ἥδιστα ἐπιστέλλων ἡμῖν, οὐχ ὅπερ ἄν τις τῶν ῥᾳδίως ἐπαίνοις χαυνουμένων ἐπεπόνθει φρονηματισθείς, τοῦτο καὶ αὐτὸς ἔλαθες σαυτὸν πεπονθὼς, ἀλλὰ μεμνημένος δήπου τοῦ σοφοῦ παραγγέλματος ἐκείνου «ὅσῳ μέγας εἶ, τοσούτῳ ταπείνου σαυτὸν» ὕλην μετριοφροσύνης τὸ εὖ ἀκοῦσαι παραπεποίηκας, εὖ μὲν εἰδὼς τὰ καθ' ἡμᾶς οὐ θωπευτικὰ ὄντα καὶ πρὸς χάριν ἄλλως φθεγγόμενα, φυλαττόμενος δὲ ὅμως μὴ ἄρα ὡς τὰ δῶρα ἐκτυφλοῦσιν ὀφθαλμοὺς σοφῶν, τὸ μωσαϊκὸν, καὶ φιλία τὸν φιλοῦντα, τὸ πλατωνικὸν, οὕτω καὶ ἡμεῖς περὶ σὲ τὸν φιλούμενον ὑπὸ τοῦ ἄγαν φιλεῖν ἐπισκοτούμενοι τὰς τῶν ἐπαίνων ψήφους δεκάζωμεν. 2. Ταῦτ' ἄρα τῷ κουφίζοντι τῶν ἐγκωμίων πνεύματι βάρος φρονήσεως ἐπιτειχίσας, ἀντίρροπον ἐπελάβου ταπεινοφροσύνης οὐκ ἐώσης μετεωρίζεσθαι τοῖς ἐπαίνοις φυσώμενον, κἀντεῦθεν τὰ παρ' ἡμῶν ἐπαιρόμενα καταβάλλων αὐτὸς δι' ἐσχάτης ταπεινορρημοσύνης οὐκ ὤκνησας σεαυτὸν μὲν σκώληκος ὀνομάζων ἀκιδνότερον καὶ φυτὸν αὖον καὶ ῥαχίαν ἄγονον, τὰ δὲ σαυτοῦ γράμματα γλαυκὸς ἀπηχῆ κακκάσματα καὶ Ἰκάρου σεσοφισμένα πτερυγίσματα καὶ Σαλμωνέως ἐμβροντήτου νεανιεύματα. Καὶ τί

ρμη'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 149,6.

7. *εἰσέπειτα*.— 9. *χαυνομένων*.— 13. *θωπευτικὸν*.— 22. *ταπεινορημοσύνης*.— 25. *κηκάσματα*. — 26. *σαμμωνέως*.

Digitized by Google

ἂν πάντα καταλέγοιμι τὰ ὑψοποιὰ μὲν ὄντως καὶ ταπεινολόγα ἄλλως ὀνόματα ὅσα τὸ σεμνὸν στόμα ἐκ τοῦ περισσεύματος τῆς πτωχευούσης τῷ πνεύματι καρδίας λελάληκεν;

3. Ὥστ' ἐπῆλθέ μοι ταὐτὰ παθεῖν τοῖς τὸν Ἀρχιμήδην θαυμάζουσιν. Ὡς γὰρ ἐκεῖνοι ἐθαύμασαν μὲν τὰ παρ' ἐκείνου εὑρημένα μηχανήματα ἅπερ γεωμετρίας παιζούσης εἰσὶ πάρεργα, δι' ὧν πολιορκοῦντας ἐκ γῆς καὶ θαλάσσης τὰς Συρακούσας Ῥωμαίους ἀπώσατο, ὡς ἄλλον πεφοβημένους καὶ ὀνομάζοντας γεωμετρικὸν Βριάρεων ἑκατόγχειρα· συνιδόντες δὲ ὅμως ὅπως οὐκ ἠξίωσε συγγραφῆς τὰ τηλικαῦτα, ἐφ' οἷς ἂν εἶναι δαιμονίας ἐνομίσθη φύσεως τὸ βάθος τοῦ φρονήματος τοῦ ἀνδρὸς, ἐξεπλάγησαν.

4. Οὕτω καὶ αὐτὸς θαυμάσας ἃ γράφεις πρὸς ἡμᾶς, τὴν ἐπ' αὐτῆς μετριοφροσύνην μᾶλλον ἐθαύμασα. Καὶ βάλλ' οὕτως, φίλη μοι κεφαλὴ, βαρβαροφώνους δὲ Ἰταλοὺς ἔα φθινύθειν, τὴν τοῦ Χριστοῦ λατρείαν εἰς χρυσολατρείαν μεταθεμένους καὶ παρασυμβληθέντας τοῖς χρυσωρυχοῦσι μύρμηξιν· ὡς εἶθε καὶ Μίδου τοῦ Φρυγὸς τὰ κατ' εὐχὴν ἀποτελέσματα τοὺς ἀσεβεῖς καταλάβοιεν. 5. Καὶ μή σε τοῦ φιλοσοφεῖν ἐκκρουέτω ἡ τούτων τυραννὶς, ὅτι μηδὲ τὸν ῥηθέντα σοφὸν, διαγράμματι γεωμετρικῷ τινι ὄψιν καὶ διάνοιαν ἐνεπερείδοντα, βάρβαρος ξιφήρης ἐπιστὰς ἀπήγαγε τοῦ θεωρεῖν, ἑλόμενον κεφαλὴν προδοῦναι καὶ μὴ γραμμὴν, κατ' ἐκεῖνον εἰπεῖν. Προσειρήσθωσαν καὶ οἱ κάλλιστοι αὐτάδελφοί σοι.

---

4. *ἐπῆλθε. ταυτὰ.* — 7. *πολυορκοῦντας.* — 16. *χρυσολατρίαν.* — 18. *μίδου του.* — 21. *διαγραμμάτων. ἐναπερείδοντα.* — 24. *αὐταδέλφοι.*

Digitized by Google

www.libtool.com.cn

ρμθ'. Τῷ Δαλέᾳ κῦρ Μανουήλ.

1. Ἄργυρον μὲν καὶ χρυσὸν τὸ πῦρ δοκιμάζει ὡς καὶ κυβερνήτην ὁ κλύδων καὶ ἀθλητὴν ὁ ἀγὼν καὶ στρατιώτην ὁ πόλεμος, ψυχὴν δὲ θεοφιλῆ πειρασμὸς, καὶ πειρασμὸς ὀλίγοις κομιδῇ φορητὸς, ὁποῖος καὶ σὲ, πανσεβάστη μοι κεφαλὴ, κατέλαβεν, ἵνα ὥσπερ καλοῦ παντὸς παράδειγμα περιφανὲς ἔστηκας φρονήσεως, εὐσεβείας, δικαιοσύνης, πραότητος, ἐλευθεριότητος, ἡμερότητος, οὕτω καὶ τῆς περὶ τὰ ἀλγεινὰ καρτερίας, μεγαλοψυχίας, εὐχαρίστου πρὸς θεὸν εὐγνωμοσύνης. 2. Στήλη ζῶσα ἔμπνους παραινέσεως γένοιο. Τίς γὰρ καὶ παγχάλεπα ἀποδυσπετήσει κατὰ τῆς Προνοίας ἢ ἀγενὲς προσφθέγξεταί τι πενθῶν ἀπαράκλητα, ὁρῶν ἢ ἀκούων ὅπως φιλοσόφως καὶ εὐγενῶς ὑπήνεγκας τοσῆσδε συμφορᾶς μέγεθος, υἱοῦ τὰ πάντα καλλίστου καὶ φιλτάτου στέρησιν, υἱοῦ τὸ ἔαρ τῶν ἡλικιῶν ἄγοντος καὶ τὴν χαριεστάτην ἥδην ἀνθοῦντος καθ' Ὅμηρον καὶ ψυχῆς καὶ σώματος διαστράπτοντος κάλλεσιν. Ὃν εἶχες ὀφθαλμὸν, ἔναυσμα γένους, σπέρμα διαδοχῆς, κληροῦχον ὑπάρξεως· ὑφ' οὗ καὶ ζῶν διπλοῦς εἶτ' οὖν πολλαπλοῦς ἐγίνου καὶ θανὼν τὴν ἐπισκευαστὴν ἀθανασίαν ἤλπιζες ἐπικτήσασθαι.

3. Τοιούτῳ δοκιμαστηρίῳ πυρὶ βεβασάνισαι καὶ οὐκ ἠλεγξέ σε ὑπόχαλκον ἡ μολιβδώδη ἡ τοιάδε πύρωσις, ἀλλὰ ὅλος εὑρέθης χρυσίον καθαρόν τε καὶ ἀμειαγώγητον, εὐχαρίστῳ ἀποστίλβων μεγαλοψυχίας καὶ ὑπομονῆς ἱλαρότητι, ὡς ἀπό τε τοῦ σοῦ γράμματος διορᾶν ἔχομεν καὶ ἀφ' ὧν ἀκούειν ἐξῆν τῶν αὐτόθεν δεῦρο διαπορθμευθέντων καὶ ἀπαγγειλάντων ὅπως ἄλλους μὲν ὀδυνωμένους ἐπὶ τῷ πάθει παρεκάλεσας, αὐτὸς δὲ ὡς τοῦ πενθεῖν ὑψηλότερος ἀπεπέμψω τοὺς παρακλήτορας. 4. Οὐκοῦν οὐδὲ αὐτὸς παραμυθεῖσθαι θαρρῶ

ρμθ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 149,6 - 150,α.

10. προσφθέγξεται. — 14. ἔχοντος, ἐν δὲ τῷ ὧφ ἄγοντος.

Digitized by Google

τοῦ λοιποῦ τὸν ἀπὸ γενναίας ψυχῆς ὡς ἀπὸ ἰδίας πηγῆς ἀρυόμενον εὐθυμοποιὸν ἀνάψυξιν. Εὔχομαι δὲ διὰ τῆς εἰς ἔπειτα καθωμαλισμένης παρὰ θεῷ ζωῆς καὶ ἀπροσκόπου διανύειν τὸ λοιπὸν τοῦ βίου ἀλυπότερον καὶ ψυχαγωγεῖσθαι κρείττοσιν ἐλπίσι καὶ μὴ καταισχυνούσαις τὸν προσανέχοντα.

www.tibtool.com.cn

ρν'. Τῷ Μακρεμβολίτῃ κῦρ Δημητρίῳ.

1. Ἀνέπνευσα, μᾶλλον δὲ καὶ μετρίως ἐψυχαγώγημαι, γράμμα σὸν, τῆς φίλης ἐμοὶ ψυχῆς, δεξάμενος χρόνιον· δι' οὗ νῦν ἐπέγνων ὅσα καὶ πρότερον μαθεῖν διψῶν ἀπεπνιγόμην ἄντικρυς· καὶ ὡς τὰ κατ' εὐχὴν ἐμοὶ διὰ βραχέων δεδήλωκας ἀνεζωπύρησάς με πάλαι τοῖς ἀνιαροῖς ἐκλείποντα. 2. Ἔχουσι γάρ σε καὶ πάλιν Ἀθῆναι, τὸ πατρῷον καὶ φίλον ἔδαφος, πανοικέα εὖ καὶ ὡς ἐν κακοῖς ἄμεινον ἔχοντα, τοῦ θεοῦ μὲν ἐκεῖνα ἀτεχνῶς πρὸς σὲ λέξαντος «ἐπαίδευσά σε καὶ ἐλιμαγχόνησά σε, ἵνα εὖ σε ποιήσω ἐπ' ἐσχάτων», τοῖς θηρίοις δὲ τοῦ καλάμου ἐπιτιμήσαντος. Ἔνθεν τοι ὁ μέν τις τῶν λεόντων ἠδέσθη σου τὸ πρόσωπον, ὡς οἶδε θὴρ αἰδεῖσθαι πρόσωπον θεοσεβοῦς, καὶ τὴν αἴτησίν σου προσήκατο, τῶν δὲ τὰς μύλας ἀοράτως συνέθλασε καὶ ἐκ μέσου τοῦ φάρυγγος αὐτῶν τὰ πατρῷά σου κτησείδια ἐξέσπασεν. 3. Αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ Ὑψίστου, ἀνακαινίζοντος τὰ ἑαυτοῦ ἀρχαῖα θαύματα. Εἴη τὸ ὄνομα αὐτοῦ εὐλογημένον εἰς τὸν αἰῶνα, ὅτι διὰ πυρὸς καὶ ὕδατος ἐλθόντα σε ἐξήγαγεν εἰς ἀναψυχήν. Κύριε, Κύριε τίς ὅμοιός σοι, ῥυόμενος πτωχὸν ἐκ χειρὸς στερεωτέρων αὐτοῦ καὶ πτωχὸν καὶ πένητα ἀπὸ τῶν διαρπαζόντων αὐτόν;

4. Ἀνέψυξα μὲν οὖν ἐπὶ τούτοις, θαυμασία καὶ φίλη μοι

2. *εἰσέπειτα.*

ρν'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 150,α - 150,β.

15. *ἔνθέν.* — 19. *πατρῶα.*

Digitized by Google

κεφαλὴ, προσθήκη δὲ γέγονε παρακλήσεως τῇ κατωδύνῳ μου ψυχῇ τὸ ἐγγύτερον τοῦ ἐμοῦ τούτου φυγαδευτηρίου νῦν ἢ πρότερον κατοικῆσαί σε ||. Οὐκέτι γὰρ πράγματα ἔξω πυνθανόμενος δι' ἄγνοιαν ὁποίποτε συνεστάλης λαθών. Εἰ γὰρ καὶ νῦν μεγάλῳ πελάγους χάσματι διειργόμεθα, ἀλλ' οὐχὶ καὶ διιστάμεθα ἐπὶ τοσοῦτον, ὥστε μήτ' ἀκοῇ μήτε γράμματι περὶ ἀλλήλων πυνθάνεσθαι συνεχέστερον καὶ ἀκριβέστερον. 5. Ἐμοὶ μὲν οὖν καὶ ταῦτα μόνα ἀπέχρη εἰς λόγον εὐθυμοποιοῦ παρακλήσεως τὰ ἀγαθὰ, μεθ' ὧν τὸ εὐαγγέλιον γράμμα ἡμῖν ἐλήλυθεν. Σὺ δὲ ἀλλ' ἐκ περιουσίας μὲν τῆς ψυχικῆς ἑστιάσεως καὶ τέρψεως καὶ τὴν σωματικὴν ἡμῖν ἐλίπανας τράπεζαν, ἰχθύας τεταριχευμένους οὓς Προποντίς τε καὶ ποταμοὶ βόσκουσιν ἀπεσταλκὼς, σὺν αὐτοῖς δὲ καὶ τροχὸν κηροῦ, ὃν καὶ σύμβολον ἐποιησάμην ὑποθήκης φιλικῆς. 6. Ἔδοξας γάρ μοι ὑποτιθέναι νήφειν ἐν πᾶσι καὶ μὴ ἀπὸ ἀκηδίας ἐπινυστάζειν τῇ θεηλάτῳ μάστιγι, ἀλλ' ἐν τῇ μελέτῃ τοῦ θανάτου ἐκκαίειν ἄσβεστον πῦρ καὶ ὑπὸ λύχνῳ διακρίσεως τοὺς ὀφθαλμοὺς τῆς ψυχῆς περιλάμπεσθαι, μὴ καὶ λάθωμεν εἰς θάνατον καθευδήσαντες. Ἀπεδεξάμην τοίνυν καὶ τὴν διὰ συμβόλου τούτου σὴν ὑποθήκην ὡς λυσιτελοῦσαν τὰ μέγιστα, καί σοι ὑπὲρ πάντων καὶ διὰ πάντων ἐπεύχομαι πάντα τὰ ἀγαθὰ ὅσα τε τῆς γῆς καὶ ἐγκόσμια καὶ ὅσα κατὰ τὴν ἀψευδῶς ἐπηγγελμένην παλινζωίαν τοῖς θεοσεβέσιν ἀπόκειται. 7. Προειρήσθω παρ' ἡμῶν ἡ ἀγαθὴ τοῦ βίου κοινωνός σοι καὶ βοηθὸς, καὶ τὰ παιδία τὰ χρυσᾶ καὶ σὰ μὲν σαρκὶ, ἐμὰ δὲ πνεύματι κατασπάζομαι. Εἴη Κύριος ὁ θεὸς μεθ' ὑμῶν ἐξομαλίζων τὴν τοῦ καιροῦ τραχύτητα, ἐπακούων ὑμῶν ἐν καιρῷ θλίψεως καὶ ῥυόμενος μὲν ἀπὸ πειρατηρίου παντὸς, εὐλογῶν δὲ τὰ ἔσχατα τοῦ καθ' ὑμᾶς βίου μᾶλλον ἢ τὰ ἔμπροσθεν.

---

3. *κατοικῆσαι.* || Κώδ. 150,6.— 6. *ἀκουῇ.*

www.libtool.com.cn

Digitized by Google

ρνα'. Τῷ Πιστοφίλῳ κῦρ Νικολάῳ.

1. Ἤδη μὲν καὶ ἄλλοτε γράψας οἶδα τῇ σῇ λογιότητι, πανεντιμότατε δέσποτα, οὐκ οἶδα δὲ εἴτε καὶ ἀπέλαβες τὸ γράμμα εἴτε καὶ οὐχί, μᾶλλον δὲ πείθομαι μὴ ἀπολαβεῖν σε. Οὐ γὰρ ἂν δεξάμενος ἠνέσχου τὸ μὴ οὐκ ἀντιφθέγξασθαι φυλαττόμενος καὶ τῆς ἠχοῦς δεύτερος ἐλθεῖν περὶ τὰς ἀντιφώνους ἀμοιβὰς τῶν προσρήσεων, ἀνὴρ εἴπερ τις εὖ ἔχων καὶ γλώττης σοφιστικῆς καὶ νοῦ ἐπιστήμονος, ἄλλως τε καὶ εἰς ἄκρον, ὡς ἔφη τις, μυελὸν ψυχῆς κατὰ τὴν ἐν Χριστῷ φιλίαν συντακεὶς ἡμῖν καὶ οἷόν τινα κλῆρον πατρῴων καὶ πολυτελῆ ταύτην ἐκδεξάμενος. 2. Πλὴν ὁποτέρως ἔχοι, ἐγχαράττω σοι καὶ τοῦτο, ὡς πρῶτον μὲν, εἴπερ οὐκ ἔφθης ἀπολαβών, ὡς οἶομαι, τὸ ἤδη πεμφθὲν, εἰ δ' ἀπειλήφεις, ὡς δεύτερον. Σοῦ δὲ καὶ ἅπαξ ἀντίφθογγα λαλήσαντος, οὐ δύο μόνα κατὰ τὸν θεῖον Δαυὶδ ἀκουσόμεθα, ἀλλὰ καὶ τρία καὶ τρισσάκις πολλά· καθότι πρῶτον μὲν βάπτεις εἰς νοῦν, εἶτα δὲ φθέγγῃ ἐν βραχεῖ ὡς μὲν πλείονα, ὡς δὲ καίρια, ἀπ' ἐναντίας τοῦτο ἐπιτηδεύων τοῖς λαλοῦσι μὲν πολλὰ, λέγουσι δὲ ὀλίγα.

3. Εἶπω τὸ μεῖζον, κἂν μηδὲ ἅπαξ λαλήσῃς, οὐχ εὑρήσεις ἡμᾶς τὰ τῶν πολλῶν μικροψύχως πάσχοντας, ὧν ἀρρήκτοις δεσμοῖς ἥνωται ἅπερ οὐχ ὅπως ἀπροσηγορία λύειν οἷα τέ ἐστιν, ἀλλ' οὐδὲ ἡ μεταξὺ Ἰνδῶν καὶ Βρεττανῶν διάστασις. Ἐπαΐομεν γὰρ καὶ σιωπῶντός σου τῆς περὶ ἡμᾶς ἐν τῷ ταμιείῳ τῆς ψυχῆς σου θαλαμευομένης εὐνοϊκῆς διαθέσεως καὶ μόνον οὐκ ἀκροώμεθα φωνούσης τε καὶ ὑπηχούσης ἀεὶ φίλα μοι καὶ προσήγορα.

4. Ἔχω μὲν οὕτως ἐγὼ περὶ σοῦ, ἔχοις δὲ ‖ καὶ περὶ ἡμῶν

ρνα'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 150,6 - 151,α.

5. *δευτέροις ἐλθοις.* — 6. *εἴπέρ.* — 10. *ἔχει.* — 13. *μόνα* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *μόνον.* — 14. *τρισάκις.* — 16. *ἀπεναντίας.* — 20. *οἷα.* — 21. *βρεταν̃ων.* — 26. ‖ Κώδ. 151,α.

Digitized by Google

ὡσαύτως καὶ σύ· γράμματα δὲ παρ' ἀλλήλων δεχόμενοι ἀγαπήσημεν ἂν καὶ μὴ δεχόμενοι δὲ τὴν αὐτὴν ἀγάπην ἐν Χριστῷ συντηροίημεν. Ἐρρωμένη διαφυλάττοιτο ἡ λογιότης σου.

ρνϐ'. Τῷ Βεριϐόῃ κῦρ Μανουήλ.

1. Τὸ γράμμα σου δεξάμενοι, πανεντιμότατε καὶ λογιώτατε δέσποτα, τόσον παρ' αὐτοῦ ψυχαγωγηθέντες ἀνεζωπυρήθημεν ὅσον ἐπὶ τῇ προτέρᾳ σου σιωπῇ μόνον οὐκ ἐκλείποντες ἠσχάλλομεν. Ὡς γάρ τις ὑετὸς ὀψιαίτερος ἐληλυθὼς ἠδίων ἐπιπίπτει διψώσῃ τῇ γῇ, οὕτω καὶ ἡμῖν πάλαι τὰ ἐπιστολιμαῖά σου ῥήματα προσδοκώμενα, εἶτα ὀψέποτε περιφλεγέσιν ἐπικαταρραγέντα ἄλλη τις ὑμνουμένη παρὰ τῷ θείῳ Δαυὶδ Ἀερμὼν δρόσος καὶ μύρον Ἀαρὼν ἀτεχνῶς ἔδοξε.

2. Τὰ πρὸς ἡδονὴν γὰρ ἡδέα μὲν τοῖς φιλοτοιούτοις καὶ αὐτὰ καθ' αὑτά, ἡδίω δὲ καὶ μᾶλλον μελλήσαντα καὶ τῇ ἀναβολῇ τὸ ἐπιθυμοῦν τῆς ψυχῆς ἐκκαύσαντα, ἀμέλει τοι καὶ καθ' Ὅμηρον ἐζώγρει με πῶς ἂν εἴποις ὀλιγοδρανέοντα, ὁμοῦ μὲν ἀναψύχοντα ὡς δροσόεντα, ὁμοῦ δ' εὐωδιάζοντα ὡς ἡδύπνοα. 3. Εἰ γάρ τοι καὶ δακνῶδες παρεμίγνυεν οἷς ἐτραγῴδει τὰς ἰδίας καὶ κοινὰς συμφοράς, ἀλλ' οὐδὲ τὸ ὑποκνίζον τοῦτο καὶ ἀγλευκὲς ἦν πάντη καὶ ἄχαρι. 4. Ὡς δὲ τὸ ἰνδικὸν εἴτε καὶ ἀράϐιον ξύλον· κινάμωμον τοῦτο καλοῦσιν οἱ ὀνομάτων θετικοί· κεκραμένον ἔχει τὸ γλυκάζον τῷ στύφοντι, οὕτω κἀκεῖνο τὸ μέρος τοῦ γράμματος τῷ δακεθύμῳ συνέπλεκε τὸ τερψίθυμον. Καὶ οὐ μᾶλλον παρελύπει οἷς ἐθρήνει περιπαθέστερον ἢ παρεμυθεῖτο οἷς ἐσεμνολόγει φιλοσοφώτερον, τά τε ἄλλα καὶ δι' ὧν πρὸ τῆς ἐνεγκαμένης καὶ θρεψα-

1. *παραλλήλων*.— 3. *ἐρρωμένος*.

ρνϐ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 151,α - 151,ϐ.

8. *ἐπιστολιμαῖα*.— 10. *τίς*.— 13. *μελήσαντα*.— 15. *ἐζρώγρει*.— 20. *ἀρράϐιον*. — 21. *κεκραμένον*.

Digitized by Google

μένης ἐπένθεις τὴν ἀρετῆς καὶ λόγου διδάσκαλον, τὴν αἰτίαν τοῦ ἁπλῶς εἶναι ἐν δευτέρῳ τῆς χαρισαμένης τὸ εὖ εἶναι εὐγνωμόνως τιθέμενος. Καὶ τὴν μέν, καλῶς λέγων, βασιλίδα καὶ πόλιν γραμμάτων καὶ τροφὸν ἀγαθῶν ἀνδρῶν ὠνόμαζες, τὴν δὲ ἐσχατιὰν καὶ ἀγροικίαν καὶ νῆσον Κυκλώπων ἀνδροφάγων, οὐκ οὖσαν χθὲς καὶ πρώην τοιάνδε· ὥς που τὴν ἑαυτοῦ πατρίδα πεποίηκεν Ἡσίοδος ἐν χειμῶνι μὲν ψυχράν, ἐν δὲ θέρει πνιγηράν, τουτέστιν οὐδέποτε ἐσθλήν· τῇ δὲ βαρβαρικῇ κακουμένην ἐφόδῳ καὶ παρὰ τῶν ἄλλων βαρβαριζόντων κακυνομένην οἷα λοιμῶν ἀνδρῶν καὶ οὐκ εἰδότων τὸν Κύριον.

5. Ἐντεῦθεν καὶ τὴν ἐκ Βυζαντίου εἰς τὴν Εὔβοιαν ἐπάνοδον οὐ κάθοδον ἐπὶ πατρίδα ἢ ἀνάκαμψιν οἰόμενος ὠλοφύρου, ὡς ὀστρακισμὸν δὲ καὶ ἄλλην ἐπ' ἀλλοδαποὺς φυγήν. Οὐ γὰρ ἀγαπᾷς οἰκῶν πάτριον ἔδαφος, δυσκολαίνεις δὲ μᾶλλον ὡς παροικῶν καὶ κατὰ τὸν δίκαιον Λὼτ τὴν ψυχὴν τοῖς ἔργοις τῶν ἀθέσμων βασανιζόμενος. 6. Τῆς γὰρ κρείττονος πατρίδος ἐφιέμενος, ξένον σεαυτὸν τῶν παρόντων νομίζεις καὶ παρεπίδημον, τοῦτο δὴ ὅπερ ἡ ἀποστολικὴ μεγαληγορία τοῖς περὶ τὸν θεῖον Ἀβραὰμ φιλοσόφοις πατράσιν ἐπεμαρτύρησεν· οἷς διὰ πίστεως εἰςποιηθεὶς βεβαιοῖς τὴν υἱοθεσίαν διὰ τῶν ἔργων τῆς πίστεως. 7. Ἀτὰρ οὑτωσὶ ξενουμένῳ φιλοσόφως τί σοι καὶ τοῖς ἐν Χαλκίδι δασμολογουμένοις τυραννικῶς τε καὶ βαρβαρικῶς, ὡς εὔχεσθαι διατηρεῖσθαι τῆς ἐπηρείας τῆςδε ἀνώτερον, εἰ μή γε ἄρα τῶν ἀδελφῶν οἰκειούμενος ὡς φιλάδελφος ἢ τὰ τῶν ἐμο ‖ γενῶν ἁπλῶς ὡς φιλάνθρωπος ἀπηύξω τὴν τῶν ἐράνων πολυάριθμον ἐνδελέχειαν; 8. Τοῦτό γε μὴν δρῶν τε καὶ πάσχων εἰς ταὐτὸν πάλιν ἥκεις, ὦ θαυμάσιε, τοῖς μακαρίοις ἐκείνοις ἀνδράσιν, οἳ, μηδὲν κακὸν ἴδιον ἔχοντες ὥστε θρηνεῖν, τὰ τῶν ὁμοφύλων πενθοῦντες ἐδάκρυον, καὶ ὡς ἂν αὐτοὶ πρωτοπαθοῦντες, οὐκ ἄλλοις συμπάσχοντες,

4. *ὀνόμαζες.* — 14. *ἀλλοδαποῦς.* — 26. ‖ Κώδ. 151,6. — 28. *ταυτὸν.*

Digitized by Google

τὴν ὑπὲρ ἐκείνων ὑπὲρ σφῶν αὐτῶν ἱκετηρίαν τῷ θεῷ προσέφερον.

www.libtool.com.cn

9. Ναὶ καὶ εἴης μοι, φίλη κεφαλή, οὕτω διακείμενος καὶ τῇ τραχύτητι τοῦ καιροῦ ὕλῃ τελεωτέρας φιλοσοφίας χρώμενος, ἵνα τῷ κατὰ σὲ αὐτὸν ὑποδείγματι ὅσα καὶ τηλεφανεῖ πυρσῷ ἐπὶ λιμένα τοῦ καλοῦ καθορμίζοις τοὺς ναυαγοῦντας ἐν τῷ κοσμικῷ τούτῳ κλύδωνι, διαπραύνοις δὲ καὶ τὸ ἄλγος τῆς ἡμετέρας ψυχῆς ὥσπερ τισὶ σοφαῖς ἐπῳδαῖς τοῖς σοῖς γράμμασι. Προσειρήσθω παρ' ἡμῶν ὁ τῶν καλλίστων ἀδελφῶν κἀμοὶ φιλούμενος χορός. Ὁ Κύριος εἴη μεθ' ὑμῶν.

ρνγ'. Τῷ Τορνίκῃ κῦρ Εὐθυμίῳ.

1. Ἀψευδὲς καὶ τοῦτο, σοφὴ καὶ φίλη μοι κεφαλή, εἴρηκας ὡς ὀψὲ καὶ μόγις ἀντιπέμπομεν ἀλλήλοις τὰ ἐπιστολιμαῖα προσρήματα. Ὃ γὰρ καὶ δράσομεν, τόσον διαστάντες ἀλλήλων ὅσον τὸ ἀπὸ τῆς σῆς Χαλκίδος ἀναχεόμενον πέλαγος μεταξὺ τῶν τε μεσημβρινῶν τῆς Εὐβοίας καὶ τῶν ἀρκτικῶν τῆς Ἀττικῆς εἰς τὰς ἐν Αἰγαίῳ Κυκλάδας νήσους καὶ ἐμὰς ξεναγοὺς διαμηκύνεται; Ὅπερ καὶ δι' αὐτὸ μὲν τὸ μακροπόρον εἶναι ἄπλωτον ὡς τὰ πολλὰ τοῖς ναυτιλλομένοις ἀπόκειται, μάλιστα δὲ ὅτι καὶ οἱ κάκιστ' ἀπολούμενοι πειραταὶ, οὕτω τὰς νήσους ταύτας ὁσημέραι περιστοιχίζονται ὡς αὗται δῆλον ἐκυκλώσαντο, ὅθεν καὶ τὴν ἐπωνυμίαν κεκλήρωνται.

2. Οὕτω γοῦν καὶ διὰ ταῦτα σπανιώτατα διακομισταῖς γραμμάτων ἐντυγχάνοντες ἀγαπῶμεν καὶ τὰ ὀψέποτε διαπεμπόμενα ἀπολαμβάνοντες. Ὡς ἔγωγε δέος εἶχον οὐκ ἀδεὲς μὴ καὶ τὰ χρόνια ταυτὶ τέλεον ἡμᾶς ἐπιλίπωσι, τὴν σὴν ὑφο-

5. *αὐτὸν*.— 8. *ὥσπέρ τισι*.

ρνγ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 151,*c* - 152,*a*.

Digitized by Google

ρώμενος ἐπὶ τὴν Βιθυνίαν διάβασιν. 3. Ἐπεὶ δὲ, ὡς ἀπέσταλκας, εἴασας τῷ τέως ἐκεῖθεν μεθορμίσασθαι, ἐγὼ μὲν εὐθὺς ἀνεθάρσησα, τὴν ἐπὶ τῷ πορρωτέρω ἀποικισμῷ δειλίαν ἀποβαλόμενος, σὲ δὲ τοῦ γενναίου καὶ μωσαϊκοῦ τεθαύμακα λήμματος. Ὃ γὰρ ἐκεῖνος εἵλετο, συγκακουχεῖσθαι τῷ λαῷ τοῦ θεοῦ, φησὶν ὁ Ἀπόστολος, ἢ πρόσκαιρον ἔχειν ἀπόλαυσιν ὡς θυγατριδοῦς Φαραὼ βασιλείοις Αἰγύπτου ἐνδιαιτώμενος, οὕτω καὶ σὺ πρὸ τῆς Ἀσιανῆς μακάρων εὐωχίας καὶ τῆς ἐκεῖ που ἀνειμένης ἀδείας ἔθου τὸ συντληπαθεῖν τυραννουμένοις ὁμογενέσι, σοφὸν κἀκεῖνο τοῦ Σολομῶντος ἡγησάμενος παράγγελμα «ἀγαθὸν εἰς οἶκον πένθους ἢ εἰς οἶκον πότου πορεύεσθαι. 4. Ἡδὺ μὲν γὰρ ὁρᾶν πολίτευμα τῆς οὐρανοπόλεως ἀντίτυπον καὶ συγχαίρειν βασιλείῳ ἱερατεύματι χαίροντι, ὡς ἐξὸν χαίρειν τὸν μέτοικον μὲν, οὐκ ἐπὶ γῆς δὲ ἀλλοτρίας καθήμενον, οὐδὲ τὰ ὑμνῳδὰ σχασάμενον ὄργανα, ὡς θεμιτὸν ᾄδειν τὴν ᾠδὴν Κυρίου τοῦ λοιποῦ. Τοῦ μικρολόγου γὰρ νόμου τὸ ἐν μιᾷ πόλει τὰ θεῖα θρησκεύεσθαι, τὸ δέ γε πανταχοῦ λατρεύειν ἐν πνεύματι καὶ ἀληθείᾳ τῆς ἀπεριγράφου καὶ νέας χάριτος. 5. Κερδαλεώτερον δ' ὅμως τὸ κλαίειν μετὰ κλαιόντων ἀδελφῶν καὶ ξυναυλίαν πενθικὴν ἁρμόττεσθαι, καθότι τοὺς μὲν πενθοῦντας μακαρίζειν, τοὺς δὲ γελῶντας ταλανίζειν οἶδεν ὁ λόγος, καὶ σοφός τις διδάσκαλός φησιν ἔστι ποτὲ ἡδονῆς λύπη τιμιωτέρα καὶ κατήφεια πανηγύρεως καὶ γέλωτος οὐ καλοῦ δάκρυον ἐπαινούμενον. Καὶ οὐ μόνον ταῦτα λέγων, ἀλλὰ καὶ πάσχων ‖ δημοσιεύει τὸ πάθος οἷς ἐπιφέρει «ἀνιᾷ με τὰ τῶν ἄλλων τερπνὰ καὶ τέρπομαι τοῖς ἑτέρων ἀνιαροῖς». 6. Ταῦτ' εἴπερ τις εἰδὼς καὶ τῷ Σωτῆρι προτρεπόμενος, διὰ τῆς στενῆς εἰσιέναι πειθόμενος, συγκλήτου μὲν καὶ συνόδου κύκλους καὶ τὴν μετ' ἐκείνων γλυκύθυμον διατριβὴν χαίρειν εἴασας, συντυραννεῖσθαι δὲ Χαλκιδεῦσιν ἠγάπησας. Ἀλλὰ δοίη θεὸς καὶ συγχαρῆναι

2. *τωτέως*. — 20. *ἁρμιόττεσθαι*. — 22. *διδάσκαλος φησὶν*.— 25. ‖ Κωδ.152,α.— 27. *εἴπέρ*.

www.libtool.com.cn

Digitized by Google

τῆς καθαρᾶς τῶν λυπούντων ἀπαλλαγῆς, παρὰ τῆς οἰκείας ἀγαθότητος ἵλεως γενόμενος καὶ οὐχὶ πᾶσαν τὴν ὀργὴν αὐτοῦ ἐκκαύσας· ὃς καὶ τὴν σὴν πανυπέρτιμον κεφαλὴν διατηροίη ἐρρωμένην ψυχῇ τε καὶ σώματι.

www.libtool.com.cn

ρνδ'. Τῷ Εὐρίπου κῦρ Θεοδώρῳ.

1. Οὐκ ἔμελλες, ἱερώτατε, φύσει μισανθρώπους θῆρας λεοντοκομῶν ἐς τέλος διατηρηθῆναι τῆς ἀπ' αὐτῶν λύμης ἀνέπαφος, οἳ μετὰ τῆς ἄλλης θηριωδίας κἀκεῖνο ἐκμεμαγμένοι λεοντῶδες φαίνονται, τὸ θερμῆς ἀεὶ θήρας ἐφίεσθαι, χθιζὴν δὲ καὶ δαψιλῆ παρακειμένην μὴ προσποιεῖσθαι ὡς ἔωλον. 2. Εἴθε δὲ καὶ ἐπαύοντο ἐμφορούμενοι· ἦν γὰρ ἂν τὸ κακὸν τῇ διακοπῇ ἀνεκτότερον, ὡς νῦν γε τὸ ὁσημέραι τοῦτο καὶ ἄσβεστον τοῦ ἐκμυελισμοῦ ἕως πότε οἴσουσιν οἱ ἐν βρώσει ἄρτου κατεσθιόμενοι; Καὶ τὸν μὲν ὀφειώδηκτον ἐπαοιδὸν τίς ἐλεήσει, φησί τις σοφὸς, καὶ δικαίως ὁ τοιοῦτος οὐκ ἐλεεῖται ἐκὼν κατεπάδων καὶ προσεπαρώμενος τῶν ἰοβόλων καὶ τῆς τῶν τιθασευομένων παραπολαύων καταλλήλου ἀντιδεξιώσεως. 3. Σὲ δὲ, ἄκοντα μὲν καὶ πρὸς βίαν ἠναγκασμένον ἐκμειλίσσεσθαι θηρία ὧν τοὺς ὀδόντας, τὸ μωσαϊκὸν εἰπεῖν, ἐπαπέστειλεν ὁ θεὸς διὰ τὰς ἐμὰς παμπληθεῖς ἁμαρτίας, ἔπειτα δὲ μετὰ θεραπείαν τοσούτων ἐτῶν ἄντικρυς κυκλώπειον εὑρηκότα φιλοτησίας δεξίωσιν, ἐλεῶ καὶ οἰκτίζομαι καὶ πίστευσόν μοι. 4. Τοῦ παπᾶ Βασιλείου τὸν ἐν γράμματι διὰ βραχέων δεδηλωμένον πειρασμὸν πλατύτερον διηγησαμένου, πικρίας ἐνεπλήσθην καὶ κατήνεγκα ἐξ ὀφθαλμῶν δάκρυα, καὶ πρὸς ἐμαυτὸν οἰμώξας εἶπον· ποίαν ὁδὸν βαδιεῖταί

ρνδ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 147,α.

8. *κἀκεῖνοι*. — 13. *ὀφιόδηκτον*. — 15. *προσεπαφώμενος*. — 16. *τιθασσευομένων*. *καταλλήλου* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *κατ' ἀλλήλου*.

Digitized by Google

τις ; οὐ καταδουλοῦται καὶ ὡς ἀνδράποδον τὰ ἐπιτεταγμένα παρὰ τῶν τυραννούντων διυπηρετεῖται, καὶ παρὰ χρῆμα ὡς δυσμενὴς ἀπελαύνεται ὑπερόριος· ἐξαγοράζεταί τις τὸν καιρὸν καὶ τοῖς θηρσὶ τὰ φίλα παρατίθεται βρώματα ἀμφοτέραις, ὅ φασιν, ἐπαντλῶν χερσὶ καὶ οὐδ' οὕτως ἀπομειλίσσεται εἰς τέλος τὴν θηριώδη γενεὰν καὶ μισάνθρωπον. Τοῦτο δὲ μόνον τῆς ἀτίμου δουλείας κερδαίνει, τὸ παραπεμφθῆναι τῇ παμφάγῳ γαστρὶ κατεδηδεσμένον πύματον.

5. Φεῦ τῶν ἀμηχάνων κακῶν, φεῦ τῆς ἀφύκτου συμφορᾶς. Ποῦ τις καὶ φεύξεται; Τοιαῦτα μὲν καὶ τηνικαῦτα ὠλοφυράμην, ἐπιθήκην τῶν ἐμῶν κακῶν τὸν σὸν πειρασμὸν ἡγησάμενος, μᾶλλον δὲ πάσης παραψυχῆς ἀφαίρεσιν. 6. Τὰ νῦν δὲ οὐχ οἷός τε ὢν ἀντίρροπον τῇ τοσῇδε θλίψει παράκλησιν ἐπιφέρειν σοι, τὸν θεὸν τῆς ὑπομονῆς καὶ παρακλήσεως ἐπιδοῶμαι ἄψασθαί σου τῆς καρδίας ἠρέμα, καὶ πρῶτα μὲν τὸ ὑποικουροῦν αὐτῇ ἄλγος ἐξῶσαι, εἶτα καὶ χαρὰν ἐμπνεῦσαί οἱ καὶ δύναμιν ὡς ἀντέχειν πρὸς τὰς ἐπαγωγὰς τῶν δεινῶν γενναιότερον. 7. Πάλιν δὲ περὶ τῆς ὑποθέσεως τοῦ ἀνεψιοῦ μου ἀξιῶ φροντίσαι ὡς οἷόν τε· εὐχαριστῆσαι γὰρ τῇ ἱερότητί σου καὶ ὑπὲρ τούτου ἔχει μεθ' ἡμῶν καὶ ὁ πατὴρ αὐτοῦ, μαθὼν τὴν ὑπὲρ τοῦ πράγματος ἐν καιρῷ, καὶ τούτῳ τοιούτῳ, σπουδήν σου. Ὁ ἀνθοσμίας καὶ τἄλλα διεκομίσθησαν, καὶ θαῦμα πῶς καὶ τοῖς ἀπλήστοις τοῦ Ἅδου χάσμασιν ἐπαντλεῖς ὁσῶραι καὶ οὐδὲ ἡμῶν ἐπιλέλησαι.

ρνε'. Τῷ Πιστοφίλῳ κῦρ Γεωργίῳ.

1. Βαρύ τι χρῆμα τὸ ὄφλημα· διὰ τοῦτο καί τις σοφὸς ἔλεγεν, αἰτεῖν ὑγίειαν πρῶτον, εἶτ' εὐπραξίαν ‖, τρίτον δὲ χαί-

2. *παραχρῆμα*.— 13. *οἷος*.— 19. *οἷον*.

ρνε'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 152,6 - 153,α.

26. *ὑγείαν*. ‖ Κώδ. 152,6.

Digitized by Google

ρειν, εἶτ' ὀφείλειν μηδενί. Εἰ δὲ καὶ αὔξεται τὰ τῆς ὀφειλῆς καὶ ταῖς ἄλλοτε ἄλλαις προσθήκαις ἀεὶ ἐπιδίδωσι, τοῦτο ἤδη ἄλλο φορτίον καὶ ψάμμου βαρύτερον. Εἴη δ' ἂν καὶ λέγοιτο εὐλόγως ὀφειλὴ οὐ μόνον ἀργυρίου χρέος ἢ χρυσίου ἢ ἑτέρου οἱουδήτινος χρήματος, ἀλλὰ καὶ χάρις τις καὶ φιλοφρόνησις οὐκ ἀντίδοσιν δεχομένη, ἀλλ' ἀναπότιτος μένουσα. Ὁποῖον δή τι καὶ περὶ ἡμᾶς συμπέπτωκεν, ὦ θαυμάσιε. 2. Σὺ μὲν γὰρ συχνὰς ἡμῖν ἐπαντλεῖς τὰς χάριτας, ἐν γέ τι τῶν ἐπιτηδείων καὶ ὧν σπανίζομεν ἐνταῦθα παροικοῦντες στέλλων ἀεὶ διαπόντιον καὶ καθιλαρύνων τὸ παραλυποῦν τοῦ ἐνδέοντος. Ἡμεῖς δὲ μηδὲν ἔχοντες ἀντιχαρίζεσθαι μηδ' ὁπωσοῦν ἀμειβόμενοι, ἀχθόμεθα κατάχρεῳ γινόμενοι καὶ βαρυνόμενοι συχνοῖς χαρίτων ὀφλήμασι καὶ ὧν ἡ διάλυσις ἀπογνωστέα ἡμῖν ὥςπερ καὶ τῷ ἐν Ψαλμοῖς ἁμαρτωλῷ, ὃς δανείζεταί φησι καὶ οὐκ ἀποτίσει.

3. Σὺ δὲ οὐ πρὸς ἡμᾶς μόνους οὕτως ἐλευθερίως καὶ φιλοφρονητικῶς ἔοικας διακεῖσθαι, ἀλλ' ὡς ἡ παρὰ πολλῶν ἀπαγγέλλει φήμη καὶ εἰς ἑτέρους πολλοὺς ἐξαπλοῖς τὴν χρηστότητα. Τὸν δὲ διακομιστὴν τῶν σῶν μὲν ἀποστολῶν, τῶν δ' ἡμετέρων κενῶν ἐπιστολῶν, τὸν Συρόπουλόν φημι Ἰωάννην, οὕτως οἰκτείρεις, ὡς αὐτὸς διόμνυται, καθὼς ἂν ὁ γεννήσας αὐτὸν πατὴρ ᾤκτειρε. 4. Γένοιτό σοι τοιγαροῦν ἀγαθὰ πολλὰ καὶ μᾶλλον τὰ τῆς ἄνω Ἱερουσαλὴμ, ὅτι ἡνίκα σχεδὸν πάντες τὴν τῶν ἀρχόντων ἀπληστίαν καὶ ἀπανθρωπίαν ζηλοῦσι, τότε σὺ τῶν πάλαι προσόντων σοι μετρίων μεταδίδως τοῖς χρῄζουσιν. Οὗ καὶ πολλὴν ἐκδέχου τὴν θεόθεν ἀντιμισθίαν, πολλαπλασίονα δὲ μάλιστα τῆς ἐπὶ τῷ Συροπούλῳ φιλανθρωπίας ἀντίδοσιν. Ἐρρωμένος ψυχῇ τε καὶ σώματι σώζοιο.

---

4. ὀφειλὴν. — 5. τίς. — 11. μηδ' ὁποσοῦν. — 14. δανείζεται φησί. — 20. συρόπουλον φημί.

Digitized by Google

www.libool.com.cn

ρνζ'. Τῷ καθηγουμένῳ τῆς σεβασμίας μονῆς τῆς Καισαριανῆς.

1. Ἔδει, τιμιώτατε καθηγούμενε τῆς σεβασμίας μονῆς τῆς Καισαριανῆς, καὶ τοὺς παρόντας μὲν δεσπότας θεραπεύειν παντοίως καὶ ἀποπληροῦν τὰ καταθύμια αὐτοῖς, μεμνῆσθαι δὲ ὅμως καὶ τῶν παρελθόντων, εἴτε ἤδη τεθνήκασιν εἴτε καὶ μικρὸν ἔτι ἐμπνέουσιν, ὥςπερ καὶ ἡμεῖς· οἵτινες καὶ ὡς νεκροὶ ἀπὸ καρδίας τῆς σῆς ἐπελήσθημεν, ὡς αὐτὰ μαρτυροῦσι τὰ πράγματα, καὶ οἱ συνόντες μὲν ἡμῖν ἐν τῇ ὑπερορίᾳ ταύτῃ, τῆς σῆς δὲ ἀποστροφῆς, ἵνα μὴ λέγω ἀστοργίας, συναπολαύοντες. 2. Τίνες οὗτοι; Ὁ ὑπομνηματογράφος κῦρ Γεώργιος ὁ Βαρδάνης, ὁ πτωχοηγούμενος τοῦ ἐνταῦθα μοναστηρίου καὶ ὁ δουλευτὴς ἡμῶν μοναχὸς Πέτρος. 2. Ὧν ὁ μὲν ἡγούμενος ἀπὸ τοῦ ὑστερήματος αὐτοῦ ὠνησάμενος δέκα μελισσῶν κυψέλας παρέδωκε τῇ σῇ ὁσιότητι ὥςτε ἐν τῷ κατὰ σὲ Ὑμηττῷ νέμεσθαι καὶ ἐπιδιδόναι εἰς αὔξησιν, λαμβάνειν τε τὸν ἡγούμενον τὴν αὐτῶν ἐτησίαν πρόςοδον. Σὺ δὲ τεσσάρων ἤδη παρελθόντων ἐνιαυτῶν οὐ μόνον οὐκ ἀποδέδωκας καρπόν τινα, ἀλλὰ καὶ αὐτὸν τὸν μελισσῶνα λέγεις διαφθαρῆναι.

3. Καὶ τῷ μὲν συνηγουμένῳ σοι τούτῳ τοιαύτην ἀγάπην καὶ πίστιν τετήρηκας. Τὰ δέ γε παρ' ἡμῶν ἀνατεθέντα μοναστήρια τῷ τε Βαρδάνῃ καὶ τῷ μοναχῷ Πέτρῳ εἰς μικρὰν αὐτῶν ψυχαγωγίαν αὐτός καὶ ταῦτα ὁλοκλήρως ὠκειώσω, τοῦ φίλου καιροῦ κατεμφορούμενος. 4. Περὶ ὧν καὶ διὰ γραμμάτων καὶ διὰ μέσων ἀνδρῶν ἀξιοῦντες ποιῆσαί τινα οἰκονομίαν ὥςτε παρανοσφίζεσθαί τι ἀπ' αὐτῶν τοὺς δηλωθέντας, οὐδ' ἀποκρίσεως ψιλῆς ἠξιώθημεν. Καὶ θαυμαστὸν οὐ-

ρνζ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 152,6 - 153,α.

12. *αὐτοῦ*.— 13. *κυψέλλας*.— 24. *ποιῆσαι τινὰ*.

Digitized by Google

δέν· ἴσως γὰρ καὶ σὺ τὰ καθ' ἡμᾶς ἀγνοεῖς καὶ νομίζεις ὥσπερ καὶ τῶν Λατίνων καὶ τῶν Ῥωμαίων τινὲς, ὅτι τὸν τοσοῦτον χρόνον ὃν ἐν Ἀθήναις ἀρχιερατεύων διεγενόμην, πλεῖστα ‖ ἐταμιευσάμην ἀποθησαυρίζων χρήματα, ἃ καὶ φεύγων αὐτόθεν ἐπεφερόμην ὑπερορίας ἐφόδια, ὧν καὶ οἱ μεθ' ἡμῶν παραπολαύουσι πλουτοῦντες καὶ τρυφῶντες.

5. Ἀλλ' εἴπερ τοιαῦτα καὶ σὺ διαλογίζῃ περὶ ἡμῶν, εὖ ἴσθι ὡς πεπλάνησαι, ἀδελφέ. Οἶδε γὰρ ὁ καρδίας καὶ νεφροὺς ἐτάζων Κύριος ὡς ἀργύριον ἢ χρυσίον οὐκ ἐπεθύμησα ἀποθησαυρίσαι ὥστε ἔχειν εἰς ἔπειτα, ἀλλ' ἅμα τῷ εἰσκομισθῆναι, πολλάκις καὶ πρὶν εἰσκομισθῆναι τὰς τῆς ἐκκλησίας εἰσόδους, εἰς τὰς δεούσας χρείας ἀνήλισκον. 6. Ὅτε δὲ τῶν Ἀθηνῶν ἐξήειμεν ὅσα δαπάνης ἕνεκα ἐκομιζόμεθα, ταῦτα ἐπαναπλεύσαντες εἰς Θεσσαλονίκην παρὰ τὸν καρδινάριν καὶ πάλιν κατελθόντες εἰς Εὔριπον, κἀκεῖθεν δεῦρο διαπλωιζόμενοι ἀνηλώσαμεν πάντα ἐντὸς ἐνιαυτοῦ. Ἔκτοτε δὲ εἰς τοὺς ἀκενώτους τῆς θείας Προνοίας θησαυροὺς ἀπείδομεν καὶ οὐδενὸς τῶν ἀναγκαίων ἄχρι τοῦ δεῦρο καιροῦ ἐστερήθημεν διὰ τοὺς ἀπείρους οἰκτιρμοὺς τοῦ θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. 7. Ὥστε μήτε ἐν τῇ σῇ καρδίᾳ, μήτε ἔν τινι ἄλλῃ τοιοῦτοι λογισμοὶ ἀναβαινέτωσαν, μᾶλλον δ' ἕκαστος ὅπερ ἂν βούλοιτο καὶ διαλογιζέσθω. Καὶ οὐδὲν ἐμοὶ μέλει εἴ τις οἴεταί με πυρέττειν ὑγιῶς ἔχοντα Χριστοῦ χάριτι, ὃς καὶ τῇ σῇ τιμιότητι ἵλεως γένοιτο.

---

4. ‖ Κώδ. 153,α. — 8. *πεπλάνησε*. — 10. *εισέπειτα*. — 14. *καρδιῶν*. — 15. *κακεῖθεν*. — 16. *ακενώτους καὶ θείας*. — 22. *μέλλει*.

Digitized by Google

ρνζ'. Τῷ καθηγουμένῳ τῆς σεβασμίας μονῆς τοῦ ἁγίου Μελετίου κῦρ Ἰωαννικίῳ.

1. Πατάξω, φησί, τὸν ποιμένα καὶ διασκορπισθήσονται τὰ πρόβατα τῆς ποίμνης. Ταῦτα τὰ τῆς θείας ἀπειλῆς εἴπερ τινὶ κἀμοὶ τῷ ψευδοποίμενι συμπέπτωκεν, ὦ θεία καὶ φίλη μοι κεφαλή. Παταχθέντος γάρ μου ὡς ἀπείρου ποιμένος σκεύεσι χρωμένου κατὰ τὸ γεγραμμένον καὶ ψευδομένου τὰ τοῦ ἐπαγγέλματος, τῶν προβάτων ἃ μὲν κατάβρωμα τοῖς θηρσὶν ἔκκειται, ἃ δὲ διασκίδναται ὅποι τύχῃ ἕκαστον. 2. Ἀλγῶ μὲν οὖν ἐπὶ τούτοις ἐγὼ καὶ πηγὰς δακρύων ζητῶ παθαινόμενος, ψυχαγωγοῦμαι δ' ὅμως μετρίως εἴποτε πυθοίμην προσπεφευγέναι τι τῶν ἡμετέρων ἢν ὅτε τουτωνὶ λογικῶν θρεμμάτων τῇ κατὰ σὲ φιλοσόφῳ μάνδρᾳ καὶ ὑπὸ σοὶ καλῷ ποιμένι εἰς τόπον χλόης τῆς πρακτικῆς ἀρετῆς καὶ ἐπὶ ὕδατος ἀναπαύσεως τῆς θεωρητικῆς ἀποχρώντως ἐκτρέφεσθαι. 3. Ὥσπερ ἄρα καὶ ἐπὶ τῷ ἡμετέρῳ ἐντιμοτάτῳ πρωτεκδίκῳ, τῷ Ὀρφανῷ, παρεκλήθημεν, πεφευγότι μὲν τὸ δουλικῶς ὑποδρηστεύειν τυραννίδι βαρβαρικῇ, ἑλομένῳ δὲ κατὰ θεὸν συγκακουχεῖσθαι τῷ ὑπὸ σὲ ἱερῷ τάγματι, μᾶλλον δὲ συγκατατρυφᾶν τοῦ Κυρίου, εἰπεῖν τἀληθέστερον, δν καὶ ἡ σὴ τελειότης καὶ ἡ ὑπ' αὐτὴν ἀδελφότης ὑποδέξεται δήπου ἀσμενέστατα δι' ἣν καὶ ἐν κλήρῳ ἐκκλησιαστικῷ τεταγμένος ἐπεδείκνυτο ἀρετήν. Εἰ γὰρ καὶ πρότερον εὐλαβῶς καὶ ὑποσέμνως βεβίωκε, πολλῷ γε νῦν μᾶλλον, ὅτε εἰς μείζονα καὶ ἀκριβεστάτην φιλοσοφίαν ἑαυτὸν ἐπέτεινεν. 4. Ἀλλὰ μέμνησθε καὶ ἡμῶν, ὦ μακάριοι, ἐν ταῖς πρὸς τὸν Κύριον ἐπάρσεσι τῶν ὑμετέρων ὁσίων χειρῶν, οἳ καὶ θυσιαστηρίων ἐξώσθημεν ὧν ἀναξίως κατετολμῶμεν ἀνάγνοις ψυχαῖς καὶ χερ-

ρνζ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 153,α - 153,6.

2. *εἴπέρ τινι.*— 10. *προσπεφευγέναι.*

Digitized by Google

σὶν ἀνίπτοις, ὃ λέγεται, προσαπτόμενοι καὶ οὐδ' ἐν φροντιστηρίῳ ἀσκητικῷ τὸ τῆς ζωῆς ὑπόλοιπον ἀποπλῆσαι ἠξιώμεθα. 5. Ὥσπερ δὲ πορθμεῖον σαπρὸν ἀνέμων βίαις βασανισθὲν, εἶτα τελευταῖον ἀκτῇ τραχείᾳ προσαραχθὲν διαλελυμένον ἐκβράσσεται, οὕτω καὶ ἡμεῖς ἐν τῇ νήσῳ τῇδε λείψανον ἐλεεινὸν ναυαγίας παρὰ τοῦ δεινοῦ κλύδωνος προσεπτύσθημεν ‖ καὶ ὡς σκεῦος ἀπολωλὸς ἐλογίσθημεν. 6. Εἴη εὐλογητὸς ὁ θεὸς μαστιγώσας ὀλίγα ὧν ἡμαρτήκαμεν· ὃς καὶ ἵλεώς μοί ποτε διὰ τῶν ὑμετέρων εὐχῶν γένοιτο. Ἡ ὑπὸ τὴν σὴν τελειότητα πανευδαίμων συνοδία προσειρήσθω παρ' ἡμῶν ἐν ἀγάπῃ πνεύματος.

ρνη'. Τῷ ὑπομνηματογράφῳ κὺρ Γεωργίῳ τῷ Βαρδάνῃ.

1. Ὅμηρος μὲν ἀπὸ δυεῖν πίθων τῶν τε ἀγαθῶν καὶ κακῶν τὰ τοῖς ἀνθρώποις διδόμενα κίρνησιν, ἀποφαινόμενος δήπου τὸ μηδὲν εἶναι τῶν ἀνθρωπίνων τοῦ ἐναντίου καθαρῶς ἀνεπίμικτον. Σὺ δὲ, φιλομαθέστατε υἱὲ, οὐ μίαν τινὰ ἐπιστολὴν ἐξ ἑκατέρων τῶν ἐναντίων κεκραμένην, δύο δὲ ἀνὰ μέρος ἀμιγεῖς ἀλλήλων ἀκραιφνῶς μοι ἐνέχεας. 2. Ὧν ἡ μὲν προτέρα ἐγχειρισθεῖσά μοι ἔδοξεν ἀτεχνῶς εἶναί τις φιάλη, ἣν Πίνδαρος πρὸς λύραν ἄδων φησὶ δωρεῖσθαι παρὰ κηδεστοῦ προπίνοντος νυμφίῳ παγχρύσεον ἔνδον ἀμπέλου κοχλάζουσαν δρόσῳ· τῷ τε γὰρ ἔξωθεν χρυσαυγεῖ τῆς φράσεως ἤγαλλε, πῶς εἴποις, καὶ τῷ ἔνδον καχλάζοντι φρενὸς γλυκεῖ καρπῷ ὡς ἄλλῳ νέκταρι Μουσῶν, κατὰ τὸν αὐτὸν εἰπεῖν καὶ ταυτὶ, γάνος τῇ καρδίᾳ ἐνεστάλαττεν ἄρρητον.

3. *ἀνέμω.*— 4. *προσαρραχθὲν.*— 7. ‖ Κώδ. 153,6. — 9. *μοι ποτὲ. γένοιτο ὑπὸ.*

ρνη'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 153,6 - 154,α.

12. *δοιεῖν.*— 14. *μηδὲν.* — 18. *ἐγχειρισθεῖσα.*

www.liptodl.com.cn

Digitized by Google

3. Ἔχαιρον οὖν διὰ ταῦτα καὶ μάλισθ' ὅτι μηδὲν περὶ τῆς νόσου ὅλως ἀπήγγελλεν, ὅτι μὴ μόνον πικροχύμου τινὸς ἰατρικῆς παρεμέμνητο κύλικος παρεσκευασμένης καὶ ὅσον οὐδέπω προσφερομένης σοί· ἀφ' ἧς καὶ συλλογίζεσθαι ἐπῆλθεν ὡς καὶ καθαρτηρίῳ φαρμακοποσίᾳ ἐχρήσω καὶ τοῦ λυποῦντος ἀπήλλαξαι, οὕτως ἀχράντου ψυχαγωγίας κατεμφορούμενος ὡς τὰ καθ' ἡδονὴν καὶ εὐχήν μοι ἀπέχων ἱλαρῶς εἴπερ ποτὲ καὶ ἥδιστα εἶχον. 4. Οὔπω δὲ τρεῖς ἢ τέτταρας τῆς ἡμέρας ὧραι παρῴχοντο καὶ δεύτερον ἐγχειρίζεταί μοι γράμμα, ποτήριον ἄντικρυς ἀκράτου πλῆρες πικράσματος. Ἅμα γὰρ χεῖρας καὶ ὄψιν ἐπέβαλον αὐτῷ καὶ παρὰ χρῆμα τοῦ ἐκεῖθεν ἀποβλύζοντος ἀψινθιώδους ἀναπέπλησμαι χυμοῦ. Οὐδὲν γὰρ ὑγιὲς εὐθὺς ἀρχῆς ἀπ' ἄκρης ἀπήγγελλεν ἡ κακάγγελος ἐπιστολή, ἀλλὰ τοὐναντίον ἅπαν, τὸ ἔτι δῆλα δὴ νοσεῖν σε κἀν τοῖς αὐτοῖς εἶναι κακοῖς, μᾶλλον δὲ ἀλγεῖν εἴπερ ποτέ. Ἐντεῦθεν ἀπὸ ἀκοῆς ταύτης πονηρᾶς τε καὶ παλιμφήμου ἀθρόα μοι καὶ ἀδόκητος μεταβολή τις ἐμπέπτωκε, τὸ τῆς ψυχῆς ἵλεων ἐκτραχύνουσα καὶ ἐξ ἄκρας γλυκυθυμίας εἰς ἄκραν ἀηδίαν καταβάλλουσα. 5. Καὶ σὺ μὲν φιλανθρωπότερα μᾶλλον ἢ σοφώτερα περὶ ἡμῶν βουλευσάμενος παρὰ τὴν ποιητικὴν εἰκονογραφίαν προὐνοήσω ἁπλῆς με τέρψεως γεῦσαι καὶ εἰλικρινοῦς ἀκριβῶς καὶ παρὰ τοῦτο τὴν καλὴν τὰ πάντα καὶ τῶν ἐναντίων ἀσύμπλοκον προέπεμψας ἐπιστολήν. Ἔλαθες δὲ σαυτὸν οὐκ εἰς μακρὰν διὰ τῆς δευτέρας ἐπεγχέας μοι λύπην ἀντίζυγον. Ὡς ἄμεινον ἦν κρᾶμα προτείνειν γλυκύπικρον· συμμέτρως γὰρ ἂν εἶχε, τῶν ἐναντίων ὑπ' ἀλλήλων ἀμβλυνομένων ὡς ἠρέμα ἥδεσθαί τε καὶ ἐν μέρει ὡσαύτως ἀηδίζεσθαι· ἢ διακεκριμένον ἄκρως θάτερον παρὰ θάτερον, καὶ νῦν μὲν ὡς εἰς σταθηρὰν μεσημβρίαν εὐθυμίας ἐξάγειν καὶ πάντη ἀνέφελον ἢ μετεωρότερον ἐπαίρειν εἰς ἡδονήν, νῦν δὲ εἰς λύπης ἀλαμπῆ ζόφον ῥιπτάζειν ἢ χαμαὶ καταρράσσειν ἐξάπινα πρὸς τὸ δύσθυμον.

7. εἴπέρ ποτε.— 11. παραχρῆμα.— 14. δηλαδὴ.— 15. καὶ τοῖς. εἴπέρ ποτε.— 21. εἰκονογραφίαν. — 27. ἠρέμα ἥδεσθήτε.

Digitized by Google

6. Οὕτως ἀκράτου πικρίας ἐπλήσθην, ὁμοῦ δὲ καὶ ἀμηχάνου ἀπορίας, πυθόμενος ἔτι τῷ αὐτῷ ἄλγει προσταλαιπωρεῖν σε μετὰ τὰ ἰατρικὰ φάρμακα, μετὰ τὴν χρηστοτέραν δίαιταν καὶ τὴν ἐν πατρίδι διατριβήν, εὖ ἐχούσῃ τοῦ περιέχοντος, καίτοι τοῦ κεφαλαλγοῦς πάθους ἀπαλλαγέντι, ὅπερ ἔχων ἐνθένδε μετέβης Ἀθήναζε. Ἀπέχρη σοι εἰς λόγον κακώσεως τὸ τοῖς πολίταις συναλγεῖν, ὧν πᾶσα μὲν κεφαλὴ εἰς πόνον, πᾶσα δὲ καρδία εἰς λύπην, προφητικῶς εἰπεῖν.

7. Νῦν δ', ὡς ἀπέσταλκας, οὐκ ἐν τοῖς αὐτοῖς κακοῖς ‖ ἐταζόμενος διατελεῖς, ἀλλ' ἐν πολλῷ χείροσι καί σοι τὰ τοῦ ἄλγους ἐπέδωκεν, εἴπερ πρὸς τῷ ἐντεῦθεν ἄλγει τῆς κεφαλῆς καὶ τὸ αὐτόθεν ἐπιτιθὲν εἰς διπλάσιον κεκορύφωται. Καὶ σὺ μὲν τοῦ πειρασμοῦ τὴν αἰτίαν εἰς τὴν κάκιστ' ἀπολουμένην ἁμαρτίαν ἀναφέρεις φρονῶν, τοῖς γραφικοῖς λόγοις ἑπόμενος, τοῖς τε ἄλλοις καὶ τῷ «ὁ ἁμαρτὼν εἰς θεὸν ἐμπεσεῖται εἰς χεῖρας ἰατροῦ». 8. Μήποτε δὲ καὶ καθ' ἣν μεμάθηκας ἀναλυτικὴν ἀντιστροφὴν χρὴ λέγειν, ὅτι εἴ τις ἁμαρτὼν εἰς θεὸν εἰς χεῖρας ἐμπίπτει ἰατροῦ, καί τις ἐμπεσὼν εἰς χεῖρας ἰατροῦ, ἐκὼν δῆλον ὅτι καὶ δι' ὀλιγοπιστίαν, ἁμαρτάνει εἰς θεὸν καὶ παρὰ τοῦτο ἰώμενος μένει ἀνίατος. Οὕτω γὰρ καί τις τῶν Ἰσραηλιτῶν βασιλέων τοὺς πόδας ἀλγήσας καὶ μὴ πρὸς θεὸν καταπεφευγὼς, ἀλλ' εἰς ἰατροὺς, τόν τε θεὸν παρώξυνεν, ὡς ἀνέγνωμεν, καὶ τῶν ἰατρῶν οὐκ ἀπώνατο. 9. Πολλὰ δὲ ἦν δεῦρο τὰ σὲ μὲν συνωθοῦντα προσκαταφεύγειν καὶ μὴ δοκεῖν ὑπέρφρονα ὡς οὐκ ἐπιδεόμενον δῆθεν ἀνθρωπίνης καὶ τεχνικῆς βοηθείας, τὸν δὲ θεὸν κάμπτοντα εἰς τὸ θᾶττον ἰάσασθαι. Τίνα δὲ ταῦτα; ἡ ἐπὶ ξένης τληπάθεια, τὸ μοχθηροδίαιτον, τὸ τῆς νόσου δυσχείμερον καὶ παρ' ἅπαν ἀψυχαγώγητον καὶ ὅλως ἀνίατρον. Ὡς γὰρ ἐν ταῖς ἀσθενείαις ἡ δύναμις τοῦ θεοῦ τετελείωται, οὕτω καὶ κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν αἱ παρακλήσεις αὐτοῦ παραμυθοῦνται τὰς ὀδυνωμέ-

5. *ἀπαλαγέντι.*— 9. ‖ Κώδ. 154,*c*. — 18. *τίς*. — 19. *δηλονότι.*— 28. *παράπαν*.

Digitized by Google

νας ψυχάς. 10. Πλὴν ἀλλὰ καὶ νῦν καταφευκτέον ἐπὶ τὸν ἰατῆρα ψυχῆς ὁμοῦ καὶ σώματος, κἀκεῖνος μετὰ τὸ ἐλεγχθῆναι τὴν ἀνθρωπίνην βοήθειαν ἐπορέξει σοι τοῦ ἄλγους ἀπαλλαγὴν καὶ δείξει εὐφραινομένην ἐπὶ σοὶ καὶ τοῖς λοιποῖς τέκνοις τὴν σεμνοτάτην μητέρα καὶ καλλίπαιδα· ἥτις καὶ παρ' ἡμῶν προσειρήσθω.

11. Ἐπλάτυνας τὰ διαβήματά μου ὑποκάτω μου, ἀποστείλας μοι φελλωτὰ καὶ εὐρύχωρα σανδάλια. Οὔκουν ἀσθενήσουσι τοῦ λοιποῦ τὰ ἴχνη μου τῇ στενότητι πλέον τῶν ἐμβάδων ἢ τῇ ψυχρότητι τῆς ὥρας πιεζόμενα καὶ συμπιλούμενα. 12. Τὸ πρὸς τὸν ἰατρὸν κῦρ Νικόλαον γράμμα λαβὼν ἔπελθε· οὐκ ἄχαρι πάντη δόξει τῇ σῇ ἀκοῇ, ὡς οἶμαι, εἴ γε μὴ χαυνωθεὶς παρὰ τοῦ φιλεπαινέτου Καλοκαιροῦ ἡπάτημαι καὶ τὸ μὴ ὂν εἶναι οἶομαι, ἢ καὶ αὐτὸς σὺ τοιοῦτον οἰηθῇς ὑπὸ τοῦ ἄγαν φιλεῖν. Οὐ γὰρ δῶρα μόνον, ὡς γέγραπται, ὀφθαλμοὺς σοφῶν ἐκτυφλοῦσιν περὶ τὸ δίκαιον, ἀλλὰ καὶ φιλία ἀκραιφνὴς περὶ ὁποτοῦν φιλούμενον. Ἐρρωμένος ψυχῇ τε καὶ σώματι σώζοιο.

ρνθ'. Πρὸς τὸν κῦρ Εὐθύμιον.

1. Ὡς σπαρτίον κόκκινον χείλη σου καὶ ἡ λαλιά σου ὡραία. Τοῦτο, οἶμαι, Σολομῶν πρὸς τὴν ἐπιστημονικὴν ψυχήν, εἴτ' οὖν νύμφην, εἴρηκε, καθότι οἷόν τι σχοινίον φοινικοβαφὲς διὰ τῶν χειλέων ἕλκουσα ἡ φωνὴ τό τε ἐξέχον ἐλέγχουσα καὶ τὸ εἰςέχον εἰς ἰθυτενῆ γραμμὴν ἀποξέει· διὰ τοῦτο καὶ ἐπάγει εὐθὺς «καὶ ἡ λαλιά σου ὡραία». Κατὰ καιρὸν δὲ πάντα φθέγγεται. 2. Ἐπεὶ γοῦν καὶ ἡμεῖς, ἴχνεσιν ἀμυδροῖς τῶν τῆς ψυχῆς καὶ σώματος ἀντιθέσεων ἐπακολουθήσαντες, φιλο-

7. *ὑποκάτω*.— 10. *τῆς ψυχρο* .— 13. *καλοῦ καιροῦ*.

ρνθ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 154,α - 154,6.

Τίτλος. *τοῦ αὐτοῦ πρὸς τὸν κῦρ εὐθύμιον*.— 23. *ἀποξέειν*.

www.libtool.com.cn

Digitized by Google

τιμότερον ἐπετάθημεν εἰς τὸ ἀρχιτεκτόνημα τοῦτο, δέον ἐκρίναμεν ἐμφανίσαι τοῦτο τῇ σῇ λογιότητι καὶ ποτὶ σπάρτᾳ τῇ σῇ παραθεῖναι καὶ γνωριεῖν ὅπως ἄρα καὶ ἔχει. 3. Καὶ εἰ μὲν κρίνεις ἄξιον ἀκοῆς διάδος καὶ τοῖς αὐτόθι φιλολόγοις, εἴπερ μὴ ἀπεβαρβαρώθησαν ὑπὸ τῆς κρατούσης ἰταλικῆς τυραννίδος ἢ καὶ εἰς ἀλλοτρίαν ἀπῳκίσθησαν. Ὥσπερ ὁ Πυθαγόρας μὲν διὰ τὴν τυραννίδα τοῦ Πολυκράτους εἰς Ἰταλίαν μετῴκησεν, ἀφ' οὗ καὶ μεγάλη Ἑλλὰς ἡ Ἰταλία ὠνόμαστο. Ἀριστοτέλης δὲ, τὰς Ἀθήνας λιπὼν, εἰς τὴν κατὰ σὲ Εὔβοιαν μετέβη, τὴν τυραννικὴν συκοφαντίαν περιιστάμενος, ἄλλην ἐπ' ἄλλῃ ὁρῶν ὡς ‖ ὄγχνη ἐπ' ὄγχνῃ γηράσκει σῦκόν τ' ἐπὶ σύκῳ συνεχῶς ἐπανατέλλουσαν· εἶχε δὲ πρὸ ὀφθαλμῶν τὸ τοῦ Σωκράτους κώνειον. Εἰ δ' ἄλλως σοι δόξει ἔχειν, ἀνάπεμψον αὖθις πρὸς τὸν πέμψαντα. Ἔρρωσο ἡ τῶν καθ' ἡμᾶς φιλολόγων ἐπιφυλλίς.

ρξ΄. Τῷ χαρτοφύλακι κῦρ Γεωργίῳ τῷ Βαρδάνῃ.

1. Βαβαὶ τῆς τόλμης ὅτι καὶ νῦν χειμῶνος ἤδη προςέρποντος ὅτε πᾶς σωφρονῶν ναυτίλος ὑπὲρ καπνοῦ τίθησι τὸ πηδάλιον, αὐτὸς θαλάσσης καταθαρσεῖς καὶ τὸν ἐξ Ἑλλάδος ἄχρι καὶ Προποντίδος ἀνάπλουν οὔμενουν οὐκ ὀκνεῖς. Τίς σοι τοσοῦτον μένος καὶ θάρσος ἐνέπνευσεν, ὦ γενναῖε; Πότερον ἔρως τις θερμότερος, ᾧ πάντα τολμητέα καὶ βάσιμα, μὴ ὅτι πλεῖν σφαλερῶς ἀναπείθοντι, ἀλλὰ κατὰ ξιφῶν, ὅ φασι κυβιστᾶν, ἢ ἡ κατὰ τὸν παριόντα χειμῶνα ἐπὶ τὸ Βυζάντιον ἄνοδος, πολλοῖς καὶ ποικίλοις ἐγγυμνάσασα ναυαγίοις, ἐμπειρόπλουν τινὰ καὶ θαλάττιον ἀπετέλεσε καὶ οἷον κατατολμᾶν μεγάλων πελαγῶν καὶ ὅτε νότος ἔσχατα φυκία κινεῖ; Πλὴν

9. *λοιπὼν*.— 11. ‖ Κώδ. 154,6. *σύκον*.— 13. *ἄλλος*.

ρξ΄. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 154,6.

21. *τίς*.

www.libtool.com.cn

Digitized by Google

ἐνθυμητέον ὡς οὐδὲ τοὺς τοιούτους αἰδεῖται κλύδων ὅτε σφο-
δρὸς ἐμπεσὼν ὅπλα πάντα ταράξει νηὸς καὶ αὐτοῖς ἀνδράσι
καταδῦσαι φιλονεικεῖ. 2. Ἀτὰρ τί ταῦτά σοι ὥςπερ δεδιτ-
τόμενος ἐπιστέλλω ἅπαξ ἅπερ προέθου ἐξανύσαι δήπου σπεύ-
δοντι; Οὐκοῦν εὐοδά σοι γένοιτο τά τε βουλητέα καὶ τὰ
τοῦ πλοὸς, τοῦ θεοῦ διευθύνοντος. Εἴης ἐρρωμένος ψυχῇ τε
καὶ σώματι.

ρξα'. Τῷ καθηγουμένῳ τῆς μονῆς τοῦ ἁγίου Μελετίου κῦρ Ἰωαννικίῳ.

1. Ἄγευστος μέν εἰμι τῆς μοναχικῆς φιλοσοφίας τὸ παρ'
ἅπαν, ὁσιωτάτη μοι κεφαλὴ, ὡς ἐν κοσμικῷ τυρβασμῷ παρ'
ὅλον μου τὸν βίον πολιτευσάμενος. Πλὴν ἐκεῖνο καὶ σφόδρα
ἀκριβῶς ἐπίσταμαι ὡς ὅσα τῶν ἱερῶν φροντιστηρίων φιλοπο-
νώτερον αἰτοῦνται τὴν βασιλείαν τῶν οὐρανῶν καὶ βραχὺν
λόγον τίθενται γῆς ἀροσίμου καὶ οἰνοφύτου καὶ θρεμμάτων
παντοδαπῶν μὴ τὴν σπάνιν τῶν ἀναγκαίων τετρεμαίνοντες,
τούτοις καὶ τὰ πρὸς τὸ ζῆν ἐπιτήδεια προςτίθησιν ὁ Κύριος
δαψιλέστερον καὶ ταῦτα εὖ πράττουσι καὶ ἐν ἀφθονίᾳ ὧν οὐκ
ἄνευ οἷόν τε ζῆν βιοτεύουσιν· ὁποῖον εἴπερ τι ἄλλο καὶ τὸ
κατὰ σὲ σεμνεῖον ἅπαντες οἴδαμεν. 2. Πῶς οὖν ἐδόξαμεν
τῇ σῇ τελειότητι διὰ πενίαν παραδραμεῖν τὴν κατὰ σὲ ἱερὰν
μονὴν καὶ πορρωτέρω πορεύεσθαι; Ἆρ' οὖν οὐκ ἀποχρώντως
ἐν τῷ τῆς ὑπερορίας χρόνῳ [περὶ] τῆς πενίας φιλοσοφεῖν ἐδι-
δάχθημεν, ὡς σφόδρα ἂν ἦμεν δυςμαθεῖς καὶ νωθεῖς, εἰ μὴ
δι' ὅλων δώδεκα ἐνιαυτῶν τὴν στενὴν πρὸ τῆς πλατείας τέ-
μνειν μετεδιδάχθημεν. 3. Οὔκουν παρὰ τοῦτο δεῦρο ἐκτε-
τοπίσμεθα, ἀλλ' ἕτερα παρεδιάσαντο, ὧν ἕνια οὐδὲ ἡ σὴ σύ-

ρξα'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 154, 6.

8. *παράπαν*. — 14. *τετρεμμαίνοντες*. — 17. *οἷον. εἴπέρ*. — 21. *περὶ* λείπει.

www.libtool.com.cn

Digitized by Google

νεσις ἀγνοήσασα παρεδήλωσεν. Ἡμῖν δ' ὅμως εἰ καὶ τῇ διαστάσει ἄστροις τὴν καθ' ἡμᾶς λῆξιν, ὅ φασι, τεκμαιρόμεθα, ἀλλὰ καὶ τῇ κατὰ πνεῦμα διαθέσει συναπτόμεθα καὶ οὐ πάντη ἀπ' ἀλλήλων διεστήκαμεν. Διὰ μνήμης γὰρ συνεχοῦς καὶ μᾶλλον τῆς ἐν προσευχαῖς ὁρᾶν τε <καὶ> ἀλλήλους καὶ ὑπ' ἀλλήλων ὁρᾶσθαι νοερῶς δυνάμεθα· ὅπερ καὶ ποιεῖν τὴν σήν τε ὁσιότητα καὶ τὴν ὑπὸ σὲ ἀδελφότητα ἀξιοῦμεν. Ἵλεως εἴη μοι Κύριος διὰ τῶν ὑμετέρων ἐντεύξεων.

www.libtool.com.cn

ρξϐ'. Τῷ Βεριβόῃ κῦρ Νικηφόρῳ.

1. Ὄντως λογισμοὶ ἀνθρώπων, κατὰ τὸ ἱερὸν λόγιον, δειλοὶ καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν· ἡ δὲ βουλὴ τοῦ Κυρίου εἰς τὸν αἰῶνα μένει. Ὁποῖοι καὶ οἱ ἡμέτεροι οὕτω ταχέως ἠλέγχθησαν, ὦ φίλη μοι κεφαλή. Ὅσην γὰρ σπουδὴν καὶ περίνοιαν συνεισηνέγκαμεν, ἐγὼ μὲν ὑπὲρ ἀδελφιδῆς, ἵνα συνάψωμεν αὐτοὺς νομίμως κοινῷ τοῦ βίου ζυγῷ ‖ ὑποζεύξαντες· ὅπερ οὐκ ἀμογητὶ ἐξανύσαντες ἐλάθομεν οὐδὲν ἐσπουδακότες ἀλλ' ἢ ὀνείρων ἀθύρματα, ἅπερ μετὰ τὴν λύσιν τοῦ ὕπνου φροῦδα καὶ ἄφαντα τοῦ λοιποῦ. 2. Ποῦ γὰρ ἡ νεόνυμφος ἡ τοσοῦτον μὲν χρόνον ἐκδεχομένη τὸν νυμφευθησόμενον, εἶτα μετὰ τὸ νυμφευθῆναι οὐκ εἰς μακρὰν συμβιώσασα τούτῳ οὐδὲ τῆς γλυκυπίκρου ζωῆς ἐφ' ἱκανὸν συναπολαύσασα, αἴφνης οὕτως ἀπέπτη, καὶ, τὸ σχετλιώτατον, οὐδὲ τῷ συζύγῳ ἐγγύς που διατρίβοντι τὰ ἐπιτελεύτια προσωμίλησεν ἢ τὰ ὕστατα συνετάξατο, ἀλλ' ὡς ἡ σελήνη ἐμπίπτουσα τῷ τῆς

ρξϐ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν τῷ λαυρεντιακῷ κώδικι (Λ), φ. 154,ϐ - 155,α καὶ τῷ βαροκκικῷ (Β), φ. 157,ϐ - 158,α.
9. *οὕτως* Β. *ἱερὸν εὐαγγέλιον* Β. — 10. *βουλὴ* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *βουλῇ* Λ. — 11. *ταχέως οὕτω* Β. 12. *γὰρ* λείπει Β. *καὶ περίνοιαν* λείπουσι Β. — 14. ‖ Κώδ. 155,α. — 15. *ἐξανύσαντες* Β. — 19. *μακρὰ* : *νυμφευθησόμενον*· ἐν δὲ τῇ *ὥς συμβιώσαντα* Β.

Digitized by Google

γῆς ἀποσκιάσματι καὶ ἀντιφραττομένη φωτὸς ἐκλείψει ἀφανίζεται, οὕτω καὶ ἥδε ἐξαπίνης θανάτου καλυφθεῖσα σκιᾷ παρῴχετο καὶ ἠφάντωται. Καὶ μήτηρ μὲν γηραλέα προαπιοῦσαν ἰδοῦσα ὑφ' ἧς προπεμφθῆναι ἤλπιζε, θαῦμα ὅτι μὴ συναπέψυξεν, ἀνὴρ δ' ἐκείνης ὅτι μηδὲ θνησκούσῃ παρῆν μόνον οὐ τέθνηκεν. 3. Ὦ παραλόγου καὶ ἀώρου θανάτου καὶ πικραίνοντος πλέον ἢ θάνατος! Εἶεν· τὸ μὲν δὴ πάθος οὕτως ἐλεεινὸν καὶ ἄξιον οὐκ ἐν μέρει ἐπιστολῆς, ἀλλὰ καταλογάδην θρηνεῖσθαι μακρότερα. 4. Τί δὲ καὶ δράσομεν ἡμεῖς, ὦ ἄριστε ἀνδρῶν καὶ πολλὰς ἀνατλὰς προσγενῶν συμφορὰς φιλοσόφως; Ἆρα πέρα τοῦ δέοντος πενθήσομεν ἢ ἀποδυσπετήσομεν πρὸς τὴν Πρόνοιαν; Ἀλλ' οὐ παῖδες Χριστιανῶν ἐκ μειρακίων τοιάδε διδασκόμεθα, ἐπιδακρύειν τε τοῖς ἀπιοῦσι διὰ τὸ τῆς φύσεως συμπαθὲς, καὶ πένθος ἀφοσιοῦν ὅσον μέτριον παιδευόμεθα, εἶτα καὶ παραμυθεῖσθαι ἡμᾶς αὐτοὺς, τοῦτο μὲν ἐλπίδι τῆς πιστευομένης ἀναβιώσεως ψυχαγωγούμενοι, τοῦτο δὲ καὶ διανοούμενοι ὡς οὐδὲν τῶν ὁρωμένων ἀθάνατον, οὐδὲ αὐτὴ σελήνη, οὐδ' αὐτὸς ἥλιος. Ὁ γάρ τοι πᾶς οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται καὶ ἡμεῖς δὲ οὐκ εἰς μακρὰν τῶν ἀποδημούντων ἀπολειψόμεθα, ἀλλ' ὅσον οὐδέπω τὴν αὐτὴν βαδιούμεθα καὶ εἰς τὸ αὐτὸ κοινὸν καταγώγιον καταλύσομεν.

5. Τοιαῦτα οἶδ' ὅτι σεαυτῷ τε καὶ τοῖς συγγενέσι προσεπάδων τὴν φλεγμονὴν τοῦ πάθους καταστελεῖς ὡς ἐξόν. Πλείοσι δὲ χρῆσαι ἐπάσμασι καὶ φαρμάκοις πρὸς τὸν μειζόνως πεπληγότα καὶ μᾶλλον ὀδυνώμενον, τὸν σόν φημι μέχρι τοῦ νῦν γαμβρόν· ὦ φθόνου δεινοῦ· καὶ ἐμὸν ἀδελφιδοῦν. 6. Καὶ εἰ μὲν ὑπ' ὄψιν σοι γένηται, διὰ ζώσης φωνῆς, εἰ δὲ καὶ τοῦτο ὁ φθόνος ἀπείργει καὶ ἡ χαλεπότης τοῦ καιροῦ, συχνοτέροις

3. *ἠφάντωτο* B. — 4. *ἤλπιζεν* B. — 9. *μακρότερον* B. — 10. *συμφορὰς* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *συμφορῶν* B. — 11. *ἄρα* B. — 13. *δὲ* B. — 18. *οὐδαὐτη* B. — 19. *παρελεύσεται ἡμεῖς* B. — 24. *καταστέλλης* Λ. *καταστέλλοις* B. *ὡς ἐξὸν* λείπει B. — 25. *μειζονα* Λ. — 26. *φημὶ* B. — 27. *ἀδελφιδὸν* Λ. *καὶ* λείπει B.

Digitized by Google

κἂν γράμμασιν. Ἐπὶ πᾶσι δὲ σπούδασον μὴ στερηθῆναι αὐτὸν τῶν ἀνηκόντων αὐτῷ ὡς οἰκείων. Οἶδας γὰρ ὅσα ἐζημιώθη ἐν Εὐρίπῳ ὑπὲρ τῆς γυναικείας ὑπάρξεως· μὴ γοῦν καὶ τῶν ὑπολειφθέντων ὀλιγοστῶν στερηθεὶς ἀπέλθῃ γυμνός. Εἶης ἐρρωμένος ψυχῇ τε καὶ σώματι.

www.libtool.com.cn

ρξγ'. Τῇ Βεριβοήσσῃ.

1. Ἔδει μὲν ἄρτι παρεῖναι κἀμὲ ἐν Εὐρίπῳ καὶ συμπενθεῖν ὑμῖν τὴν κοινὴν συμφορὰν καὶ τῶν κοινῶν παίδων τὸν ἀφανισμόν. Ὧν ἡ μὲν θανάτῳ ἀπορραγεῖσα τοῦ συζύγου αἴφνης καὶ ἀπροσδοκήτως ᾤχετο, ὁ δὲ, διχοτομηθεὶς ἀντικρυς, ἡμιθνὴς ὑπολέλειπται, τὸ δὲ δεινότερον, οὐδὲ θνησκούσῃ τῇ ὁμοζύγῳ παρῆν, οὐδὲ τελευταίου ἠξιώθη προσφθέγματος ἐκείνης.

2. Ἔδει μὲν οὖν, ὡς εἶπον, συνεποδύρεσθαι ὑμῖν τὴν ἐλεεινὴν ταύτην συμφορὰν, εἶτα καὶ τὴν ἁρμόζουσαν παραμυθίαν προσάγειν τε ὑμῖν καὶ παρ' ὑμῶν ἐν τῷ μέρει καὶ αὐτὸς δέχεσθαι ὅτι μηδὲ μετριώτερον ὑμῶν τὴν συμφορὰν αὐτὸς ἤνεγκα. Ἐπεὶ δὲ διὰ τὰς πονηρὰς ἡμέρας τοσοῦτον ἀλλήλων ἀφεστήκαμεν, καὶ οὐδὲ κἂν τὰς ἑαυτῶν συμφορὰς συμπενθεῖν παραχωρούμεθα, ‖ ἀνάγκη κἂν γράμμασιν ὀλιγοσυλλάβοις τὰ προσήκοντα τῇ συμφορᾷ μετρίως ἀφοσιώσασθαι.

3. Ὦ πάθους οἰκτροῦ, ὦ πολυδακρύτου συμφορᾶς, οἷα συζυγίας συμφυία οὕτως ἀπροσδοκήτως διέρρηκται, ἥτις σκέψει

1. *Ἐπὶ πᾶσι - σώματι* ἐν τέλει τῆς ἐπιστολῆς λείπουσιν ἀπὸ τοῦ Β, ὅστις ἔχει ἀντὶ τούτων τὸ ἑξῆς τέλος τῆς ἐπιστολῆς *ὁ κύριος εἴη μετὰ σοῦ ῥυόμενος ἀπὸ τῶν πονηρῶν καὶ συνεκκουφίζων τοὺς πειρασμούς.*

ρξγ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν τῷ λαυρεντιακῷ κώδικι (Λ), φ.155,α - 155,6 καὶ τῷ βαροκκικῷ (Β), φ.158,α-158,6.

Τίτλος. *τῇ πενθερᾷ τοῦ χωριάτου κῦρ γεωργίου τῇ κυρᾷ αἰκατερίνῃ* Β.— 12. *ὡς εἶπον* λείπει Β.— 14. *ὑμῶν* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *ἡμῶν* Β.— 15. *μετριότερον* Λ.— 16. *ἡμετέρας* Λ.— 17. *κἀγ* Β.— 18. ‖ Κώδ.155,6.— 21. *ἀπροσδοκήτους* Β.

Digitized by Google

μὲν πολλῇ καὶ σπουδῇ συμπέπλεκται, οὕπω δὲ κύκλος ὅλος ἐνιαυτοῦ ἐκτετέλεσται καὶ λελυμένη διέσπασται. Καὶ ἡ μὲν εἰς χοῦν θανάτου κεῖται πεσοῦσα, ὁ δὲ σύζυγος ταύτης ὡς ὑπὸ σκιᾶς θανάτου καλύπτεται, οὐδὲ τάφον ἐκείνης ἰδεῖν καὶ προσπτύξασθαι συγχωρούμενος. Οὕτω πολυπαθὴς ἡ συμφορὰ καὶ δακρύων ἀξία πολλῶν, ὥστε, ὅσα ἂν δακρύσωμεν, οὐκ ἀξίως πενθήσομεν. 4. Οὐκοῦν χριστιανικῶς ὑποφέρειν τὸ συμβὰν πειρασόμεθα καὶ ταῖς οἰκονομίαις τῆς θείας Προνοίας ἐμφιλοθέως ἀκολουθήσομεν, μὴ ἀποδυσπετοῦντες, ἀλλ' εὐχαριστοῦντες τῷ θεῷ ὡς διακυβερνῶντι τὴν ἡμετέραν ζωὴν συμφερόντως πάντως, εἰ καὶ ἄλλως ὀδυνηρὰ τὰ ἡμῖν ἐπαγόμενα καὶ μάλιστα σοὶ τῇ εὐγενεστάτῃ ἐκείνης μητρὶ, ἥτις ὑπ' ἐκείνης κηδευθῆναι προσδοκῶσα τοὐναντίον σὺ μᾶλλον ἐκείνην ἐκήδευσας.

5. Ὦ γενναίας ψυχῆς! Πῶς τὸ τοσοῦτον πάθος ὑπήνεγκας, πῶς οὐ συναπέψυξας τῇ φιλτάτῃ, πῶς οὐ συνταφῆναι ἠγάπησας; Ἢ πάντως ὡς τῷ ὄντι εὐγενὴς καὶ φιλόχριστος τὴν τοῦ θεοῦ κρίσιν ἔστερξας οἷα φιλόθεος πλέον ἢ φιλότεκνος ὡς θυγάτηρ Ἀβραὰμ τεκνωθεῖσα διὰ τῆς πίστεως.

6. Χρὴ γοῦν σε καὶ εἰς ἔπειτα οὕτως ὑποφέρειν τὴν συμφορὰν καὶ παραμυθεῖσθαι τοὺς ἄλλους ὅσοι τοῦ πάθους κοινωνοί, μάλιστα δὲ τὸν δυστυχέστατον ἐμὸν ἀνεψιόν, ὃν ἐγὼ μετεκαλεσάμην καὶ συζεῦξαι ἠθέλησα γυναικὶ, ὡς ἂν, ἔχων βίου κοινωνὸν καὶ συνέμπορον, διανύῃ τὴν ἑαυτοῦ ζωὴν ἀσφαλέστερον. Θεὸς δὲ, ὡς ἔοικε, τὴν ἐπιθυμίαν ἐμοῦ τοῦ ἁμαρτωλοῦ ἀπολέσθαι συγκεχώρηκε, καὶ εἴη τὸ ὄνομα αὐτοῦ εὐλογημένον. Ὃς καὶ τὴν φλεγμονὴν τῆς σῆς καρδίας ἀοράτως ἰάσαιτο καὶ δοίη μεγαλοψύχως διὰ τέλους ὑπενεγκεῖν τὸ συμβεβηκός.

---

1. ὅλος λείπει B. — 2. ἐκτετέλεσθαι. λελημένη διέσπασθαι A. — 4. ὑποσκιὰν B. τάφου B.— 5. συμφορούμενος AB.— 8. συμβᾶν A.— 11. εἰ δὲ καὶ B.— 15. τὸ λείπει B.— 17. ἢ AB. — 18. οἷα A. — 19. καὶ θυγάτηρ ἀβραὰμ B. — 20. εἰσέπειτα A. οὕτως ὑποφέρειν τὴν συμφορὰν καὶ λείπουσι B.— 24. διανύει B.

www.ibtoor.com.cn

Digitized by Google

www.libtool.com.cn

ρξδ'. Τῷ ἀνεψιῷ αὐτοῦ κῦρ Μιχαήλ.

1. Ὅσῳ δι' ἐλπίδος ἦν σοι καὶ εὐχῆς, περιπόθητε ἀνεψιέ, ἀπαλλαγῆναι μὲν τῆς ἐπικειμένης δουλείας θᾶττον, συνελη-λυθέναι δὲ αὖθις ἐπὶ τὸ αὐτὸ καὶ συμβιοτεύειν ὡς πρότερον, τοσούτῳ καὶ ὁ δουλικὸς κύφων ἐπιτέθειταί σοι βαρύτερος, ἐπὶ τῷ κοινῷ ἄχθει καὶ ἴδιον ἐπιφορτιζομένῳ καὶ τὸ ἀφ' ἡμῶν δὲ ἀπόστημα ἐς μακρότερον ἐκτέταται μηκυνόμενον ἵνα μη-κέτι γοῦν γράμμασι πυκνοτέροις ἀλλήλους προσφθεγγώμεθα.

2. Πρώην μὲν γὰρ ἐκ τῆς Κέω νήσου μιᾶς τῶν Κυκλάδων καὶ <τῆς> ἀντιπόρθμου τῇ Ἀττικῇ ῥᾴδιον ἦν στέλλειν Ἀθήναζε γράμματα κἀκεῖθεν ἀντίφθογγα δέχεσθαι· νῦν δὲ Κέωθεν εἰς Ἀθήνας πέμπειν, καὶ Ἀθήνηθεν αὖ πάλιν εἰς Βοιωτίαν, ἔνθα παροικεῖν ἀνάγκη σοι, ἀργαλέον πρᾶγμ' ἐστὶ καὶ ἄλλως ὀκνηρὸν, μὴ ἐκ χειρῶν ἑτέρων εἰς ἑτέρας μεταπί-πτοντα μένωσιν ἀναπόδοτα· οὕτως τοῖς ἐναντίοις ὧν γλίχον-ται ὡς τὰ πολλὰ περιπίπτουσιν τοῖς καὶ μακροθύμως τῇ ἀνωτάτῳ Προνοίᾳ ἑπόμενοι κατὰ τὸν λέγοντα πρὸς τὸν θεὸν «ἐγὼ δὲ οὐκ ἐκοπίασα κατακολουθῶν σοι», ἀλλὰ μικροψύ-χως ἀτλητοῦντες καὶ τὴν ἀπαλλαγὴν τῶν λυπούντων ἐπι-σπεύδοντες. 3. Ἄριστον οὖν διὰ μνήμης ἔχειν καὶ μάλι-στα ἐν καιροῖς πειρασμῶν τὸ ἱερὸν ἐκεῖνο παράγγελμα «μὴ σπεῦδε ἐν ἐπαγωγαῖς», πρὸς δέ γε καὶ τὸ δαυιτικὸν «ὑπο-μένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι ὅτι μηδ' ἐφ' ἡμῖν ἐστι τὸ εἰςδεδυκέναι περίστασιν ὅτε βουλόμεθα». Ὥστε οὐδὲ πλέον τι προσγίνεται τοῖς ἀπαλλακτιῶσι σφοδρό-τερον· ὅτι μὴ καὶ πάνυ διακεῖσθαι προσφορώτερον. Ἀεὶ γὰρ δι' ἐλπίδος ἔχοντες οἷον ἐν ὀφθαλμοῖς τὴν ἀπαλλαγὴν τῶν

ρξδ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ βαροκκικῷ κώδικι, φ. 158,6 - 159,α.

1. *ὅσω* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *ὅσον*. *διελπίδος*.— 3. *ἐπὶ τὸ*. *συμβιωτεύειν*.— 7. *προσφθεγγόμεθα*. — 15. Τὸ χωρίον φαί-νεται προφανῶς διεφθαρμένον. Ἴδε τὰς σημειώσεις ἐν τέλει τοῦ βιβλίου.— 19. *διαμνήμης*.— 23. *ἐστὶ*.— 24. *τί*.— 26. *διελπίδος*.

Digitized by Google

δεινῶν, εἶτα ψευδόμενοι ὡς ἀδικούμενοι ἄχθονται. 4. Ἀλλὰ σὺ, τοῦ λοιποῦ φιλοσόφως τὰ ἀβουλήτως προσπίπτοντα φέρων, ἀνατίθει τῷ θεῷ τὴν ἔκβασιν· ἐκείνου γὰρ ἡ λύσις τῆς ἐπαγωγῆς, σὸν δὲ τὸ ἐν αὐτῇ τῇ περιστάσει ἀνδρίζεσθαι. «Δὸς γάρ φασιν οἱ στωϊκοὶ περίστασιν καὶ λάβε ἄνδρα, ὡς τῶν περιστατικῶν ἐλεγχόντων τόν τε ἀνδριζόμενον ἐν αὐτοῖς καὶ τὸν μαλακιζόμενον».

5. Ἄλις τούτων· σὺ δὲ, μαθὼν τὸ αἴτιον τοῦ ὀκνηρῶς διακεῖσθαί με περὶ τὸ ἐπιστέλλειν σοι, μὴ ἄχθου σπάνια δεχόμενος γράμματα. Καὶ ἄλλως δὲ, μηδὲν ἔχων χάριεν ἢ ἀληθὲς γράφειν· ἄλλοτε γὰρ ἄλλα καὶ παλίμφημα καὶ πάντα φλύαρα φημίζονται· δοκῶ κενόσπουδον ἐπιστέλλειν κωφὰ καὶ μηδὲν χρειῶδες κομίζοντα. Οὔτε γὰρ γράμμα ἐκ τῆς Ἀσίας ἀφίκετο οὔτε τις ἀνὴρ ὥςτε καὶ περὶ τοῦ περιποθήτου μου αὐταδέλφου μηδὲν ἀκούων ἀκῶμαι. Εἴη δὲ εὖ πράττων καὶ ἄμεινον, εἰ καὶ ἡμῖν ὅπως ἔχων ἐστὶν ἠγνόηται. 6. Γένοιτο δὲ καὶ σοὶ χάριν μὲν εὑρηκέναι ἐνώπιον ὧν ὑποδρηστὴρ ἄκων προβέβλησαι, παρήγορος δὲ καθ' ὅσον ἔξεστι καὶ τοῖς ὁμοφύλοις γίνεσθαι. Ἐργῶδες μὲν γὰρ τὸν μέσον τυραννούντων καὶ τυραννουμένων ἑστῶτα θεραπεύειν ἀμφότερα καὶ ἑκατέροις τὰ φίλα χαρίζεσθαι, δυνατὰ μέν τοι θεῷ καὶ τὰ ἀδύνατα, ναὶ μὴν καὶ τῷ ἀδιστάκτως εἰς θεὸν πιστεύοντι, οὗ προστάγματι ἦν ὅτε καὶ τὸ πῦρ ἐνεργοῦν τὸ οἰκεῖον ἔκαιε τὴν βάτον καὶ ἡ βάτος καιομένη οὐ κατεκαίετο. Καὶ νῦν δὲ ἀνανεοῦντος τὰ ἀρχαῖα αὐτοῦ θαυμάσια καὶ ἡ τυραννὶς πυρπολήσει καὶ οἱ τυραννούμενοι οὐ πυρποληθήσονται. 7. Εἰ δὲ θεοῦ εὐδοκοῦντος μὴ θεατὴς μόνον τοῦ τοιούτου θαύματος, ἀλλὰ καὶ μεσίτης γένοιο, πλέον τι τοῦ Μωσέως κατὰ θεῖον ηὐτύχησας. Καὶ καινὸν οὐδὲν εἰ τὰ κατὰ νόμον πλεονεκτοῦσιν ἐν χάριτι. Ἀλλ' ὡς κρουνοὶ ἐπισχεθέντες, εἶτ' ἀφεθέντες εὐροώτερον

8. *διακεῖσθαι*. — 14. *τίς*. — 15. *πρᾶττον*. — 18. *καθόσον*. — 19. *τυραννουμένων*. — 21. *φύλα*. — 28. *τί. ηὐτήχησας*. — 29. *τὸν κατὰ*.

Digitized by Google

ῥέουσιν, οὕτω καὶ ἡμεῖς ἐπὶ χρόνον μὴ ἐπεσταλκότες σοι καὶ νῦν ἐπιστεῖλαι μόγις ἐπιβαλόμενοι ἀπληστότερον γράφομεν· καὶ εἰ μὴ ὁ χάρτης ἐπέλιπε, τάχ' ἂν καὶ ‖ περαιτέρω ἠδολεσχήσαμεν.

8. Σώζοιο εὖ ἔχων ψυχῆς καὶ σώματος δυναμούμενος παρὰ θεοῦ πρὸς τὸ ἀνεπιλήπτως, ὡς ἐξὸν, καὶ ἀμέμπτως θεῷ καὶ ἀνθρώποις πολιτεύεσθαι.

ρξε'. Τῷ κρατίστῳ κῦρ Θεοδώρῳ τῷ Δούκᾳ.

1. Τίς εἰμι ἐγὼ, Κύριε, Κύριέ μου, ὅτι τὸ μεγαλεῖον τῆς σῆς ἀντιλήψεως περιστοιχιζόμενον παρὰ τῶν κύκλω ἐφεδρευόντων πολεμίων καὶ μυρίαις φροντίσι τε καὶ ἐκστρατείαις ἀνθελκόμενον καὶ μήτε ὕπνον τοῖς ὀφθαλμοῖς χαριζόμενον μήτε τοῖς κροτάφοις ἀνάπαυσιν, ὅπως τὸν θεόθεν αὐτῷ πεπιστευμένον κόσμον διατηροίη Ἰταλικῆς τυραννίδος ἐλεύθερον, ἔπειτα καὶ ἐμοῦ φιλανθρώπως ἐπέστραπται καὶ μνείαν πεποίηται καὶ γράμμασι προσφωνεῖ καὶ εἰς ἑαυτὸ προσκαλεῖ, ἄνθρωπον πάλαι μὲν τῷ βίῳ τεθνηκότα καὶ ἀπὸ καρδίας μικροῦ πάντων ἐπιλελησμένον ὡςεὶ νεκρόν. 2. Ὃς ἐξ οὗ δῆτα τῶν Ἀθηνῶν ἀπελήλαμαι, δέον ἀναλαβέσθαι προφητικῶς τὰς πτέρυγάς μου πρὸς ὄρθρον καὶ κατασκηνῶσαι εἰς τὰ ἔσχατα τῆς θαλάσσης, τοῦτο μὲν οὐ πεποίηκα, ἄλλο δέ τι τάχα προμηθὲς ἐμηχανησάμην ὡς φιλαθήναιος καὶ μάταιος. Τί τοῦτο; μὴ πορρωτάτω τοῦ ποιμνίου διὰ τοὺς ἐπιπεπτωκότας θῆρας ἀποδράναι ὡς μισθωτὸς ἄντικρυς, ἀλλὰ περὶ τὰ ἀντίπορθμα τῆς Ἀττικῆς νησίδια παροικῆσαι καὶ ἀπ' αὐτῶν ὡς ἀπό τινων σκοπιῶν ἠλιβάτων ἐπισκέπτεσθαι τὸν παναθηναϊκὸν ὅλεθρον καὶ ὡς οἷόν τε προσβοηθεῖν. 3. Καὶ μὲν δὴ καὶ παρῳ-

3. ‖ Κώδ. 155,6.

ρξε'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 155,6 - 156,6.

15. *προσκαλῆ*.— 26. *οἷον*.

www.libtool.com.cn

Digitized by Google

κησα ἔτος τουτὶ δωδέκατον ἐκ γειτόνων ταῖς Ἀθήναις, ἔλαθον δὲ οὐδὲν ὀνάμενος ἐντεῦθεν, ὅτι μὴ ὀδύνας καὶ σφακέλους· οἰμωγὰς γὰρ καὶ κοπετοὺς τῶν δαπανωμένων τέκνων μόνον οὐχ ἑώρων καὶ ἤκουον ‖ καὶ τὰ σπλάγχνα ἐσπαρασσόμην συμπαθαινόμενος ὡς εἴ τις ὄρνις ὁρῶσα τοὺς ἑαυτῆς νεοττοὺς δεῖπνον γινομένους δράκοντι περιίπταται καὶ μόνον ἐλεεινῶς ὀδύρεται, ἔσθ' ὅτε δὲ καὶ αὐτὴ συναπώλετο, ὅπερ καὶ αὐτὸς παθεῖν παρὰ βραχὺ κεκινδύνευκα. Πέρυσι γὰρ τολμήσας ἀφικόμην Ἀθήναζε καὶ εἰ μὴ θᾶττον ἐκεῖθεν ἀπέπτην, τοῖς ἰταλικοῖς ἂν ὀδοῦσιν ἐγεγόνειν κατάβρωμα καὶ αὐτός.

4. Ὡς οὖν ἔγνων ὀψὲ μήτε τοὐμῷ κλήρῳ ὄφελός τι γινόμενος καὶ ἐμαυτῷ διὰ κενῆς παρέχων πράγματα, ἐμάκρυνα φυγαδεύων ἐκεῖθεν καὶ δεῦρο ἐκκομισθεὶς ὡς ἔν τινι σορῷ τῷ ἱερῷ τῷδε φροντιστηρίῳ οἷον ἐντέθαμμαι καὶ συνδιάγω τῷ τε πανοσιωτάτῳ καθηγουμένῳ καὶ τῇ ὑπ' αὐτὸν ἀδελφότητι.

5. Οἷς, ὑπερευχομένοις νύκτωρ καὶ μεθ' ἡμέραν τῆς μεγίστης σου ἀντιλήψεως, συνυπερεύχομαι καὶ αὐτὸς ἐνδυναμοῦσθαί σε ἐν Κυρίῳ, καὶ τὴν μὲν θείαν κεφαλήν σου ἐπισκιάζεσθαι παρ' αὐτοῦ ἐν ἡμέραις πολέμου, περιζώννυσθαι δὲ καὶ δύναμιν ἄνωθεν, ὥστε τὸ μὲν κύκλῳ τῆς σῆς ἐπικρατείας πολέμιον ἀνακαθαίρειν, ἄβατον δὲ Ἰταλοῖς διατηρεῖν πάντη τὸ σὸν κληρούχημα, καὶ δέος αὐτοῖς ἐπισείειν ἀεί, σὲ πρότερον κατ' αὐτῶν ἐπιέναι ἢ αὐτοὺς κατὰ σοῦ. 6. Οὐκοῦν οὐ πλέον τι τούτου παρ' ἡμῶν σχοίη ἂν ἡ αὐθεντία σου καὶ αὐτόθι ἐπιδημησάντων. Καὶ ἵνα τί, μᾶλλον δὲ πῶς κἀντεῦθεν μεταβήσομαι ἄνθρωπος χρόνῳ σαπρὸς καὶ ποικίλαις κατειργασμένος περιστάσεσι καὶ, ὡς ἀκινητίζων τὸ παρ' ἄπαν, κλίνης καὶ γωνίας ἄξιος; Καί τοι καὶ οὕτως ἔχων, ὅμως διὰ τὸν σὸν φιλόθεον ἔρωτα, πίστευσόν μοι, κἂν ἐν φορείῳ τινὶ διαβασταζόμενος παρεβιασάμην τὸ σὸν ἐκπληρῶσαι πρόσταγμα.

1. *ἐγειτόνων*. — 4. ‖ Κώδ. 156,α. — 8. *παραβραχύ*. — 12. *διακερῆς*.— 13. *σορῶ* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *σωρῶ*.— 16. *μεθημέραν*.— 24. *τί*.— 27. *παράπαν*.

Digitized by Google

7. Νῦν δὲ σὺν πολλοῖς τοῖς ἀπείργουσι καί τι ἕτερον μάλιστα κωλυτικὸν ἐπισυμπέπτωκεν, ὅπερ καὶ διηγήσομαι, ἵνα συγγνώμης ἡ αὐθεντία σου ἀξιώσῃ ὡς οὐχ ἑκούσιον, τὴν ἡμετέραν, ὡς ἄν τις εἴποι, ἀπείθειαν. Ἔχει δὲ ὧδε. Ὅτε ἐξ Εὐδοίας ἀφικνούμην δεῦρο, συμβέβηκεν εἰς ταὐτὸ τὰς κεφαλὰς τῆς Ἑλλάδος ἀθροίζεσθαι, οἷς καὶ ἡ ἡμετέρα μετάβασις ἀκουστὴ γενομένη ὑπόνοιαν ἐνέβαλεν ὡς οὐχ ἑτέρωσε, ἀλλ' εὐθὺ τῆς σῆς ἀντιλήψεως φέρομαι δήπουθεν, καὶ οὐ μικρῶς ἐμπικραινόμενοι τῷ ἀκούσματι, ὡς οἱ παρατυχόντες δεδηλώκασι, δῆλοι ἦσαν κακόν τι μέγα ἀνταποδοῦναι τοῖς τε συνοδεύσασιν ἐμοῖς ἀνεψιοῖς καὶ τῇ ὑποδεξαμένῃ με ταύτῃ εὐαγεστάτῃ μονῇ. 8. Ἐντεῦθεν δειλαινόμενοι οἵ τε ἐμοὶ προγενεῖς καὶ ὁ πανοσιώτατος καθηγούμενος, μή ποτε ἐκ τῆς καχυπόπτου ταύτης ὑπονοίας τὴν ἄμυναν εἰς αὐτοὺς ἐπενέγκωσι· προχειρότατοι γάρ εἰσιν ἁπάντων βαρβάρων ἀνασκολοπίζειν καὶ συμφορὰς ἐσχάτας ἑτέρας ἐπιτρίβειν καὶ διὰ μόνην ὑπόνοιαν· παρενέβαλον ἑαυτοὺς ἐγγυητὰς ὡς οὐ πορρωτέρω τῆς μονῆς τοῦ Κομνηνοῦ μεταβήσομαι, καὶ οὕτω τὸ ἀγριαῖνον αὐτοὺς σκάνδαλον διεπράυναν. 9. Ἐπεὶ γοῦν ταῦτα τὸν τρόπον δὴ τοῦτον διαπέπρακται, εἴπερ κατὰ τὸ ἐπίταγμα τῆς αὐθεντίας σου ἐνθένδε μεταχωρήσω αὐτόθι, τῷ μὲν μεγαλείῳ τῆς σῆς ἀντιλήψεως εἰς οὐδὲν ὄφελος ἔσομαι, τοῖς δὲ προγενέσι παραίτιος ὀλέθρου γενήσομαι, οὐ μὴν δὲ ἀλλὰ καὶ τῇ σεβασμίᾳ τῇδε μονῇ ὄχλησιν προξενήσας, οὐκ ἀγαθὰς τῆς εἰς ἐμὲ φιλοφροσύνης καὶ παντοίας δεξιώσεως ἀποδώσω χάριτας, λαβὰς διαβολῆς δεδωκὼς κατ' αὐτῆς τοῖς Ἰταλοῖς, οἳ καὶ ἄλλως ἀεὶ ἐνεδρεύουσι ταύτῃ καὶ διψῶσι πρὸς τὸ κακοποιῆσαι ὁποιασοῦν λαβέσθαι προφάσεως.

10. Ἅπερ δὴ φυλαττόμενος πρὸς ἀνάγκης μὲν ‖ ἔχω προσμένειν ἐνταῦθα ἕως ἄν, εἰ καὶ τῷ θεῷ δοκεῖ, τὰς ὑπολοίπους ὀλίγας καὶ πονηρὰς ἡμέρας ἐκμετρῆσαι τῆς μοχθηρᾶς μου ζωῆς, ἄχθομαι δὲ, πίστευσόν μοι, ὅτι οὐχ οἷός τέ εἰμι

5. ταυτὸ.— 29. ‖ Κώδ. 156,6.— 32. οἷος.

Digitized by Google

ἐκπληρῶσαι τὸ θέλημα τῆς σῆς ἀντιλήψεως, χάριτας ὀφείλων αὐτῇ ὑπέρ τε τῆς εἰς ἐμὲ ἀγαθῆς διαθέσεως αὐτῆς καὶ τῆς εἰς τὸν Λιγυρὸν φιλανθρώπου συμπαθείας καὶ εἰς τὴν προτέραν τιμὴν ἀνακλήσεως. 11. Ὄντως μέγα ἔργον καὶ ἄξιον ἑαυτῆς ἡ φιλανθρωποτάτη σου ψυχὴ ἐπ' αὐτῷ ἐπεδείξατο. Εἴτε γὰρ προσπταίσαντι συνέγνωκας, θεοῦ μιμητὴς γέγονας τοῦ ἀνεξικακοῦντος ἡμῖν πλημμελοῦσιν ἑκάστοτε, εἴτε διαβολῆς ψευδοῦς γενόμενον πάρεργον ἠθώωσας καὶ οὕτως θεῖον παράγγελμα ἐφύλαξας τὸ λέγον «ἀθῷον καὶ δίκαιον οὐ κατακρινεῖς». 12. Σύγγνωθι γοῦν κἀμοὶ τῆς οὐχ ἑκουσίου παραιτήσεως ὁ συγγνωμονικὸς καὶ φιλάνθρωπος καί με παροικοῦντα δεῦρο νόμισον ἔν τινι τῶν ἐπὶ τὴν σὴν ἐπικράτειαν φροντιστηρίων παροικεῖν. Σὸν γάρ ἐστι καὶ τοῦτο· καὶ ὅπερ ἔμελλον αὐτόθι ποιεῖν, ὑπερεύχεσθαί σου μόνον δῆλα δή, τοῦτο κἀνταῦθα ποιῶ μετὰ τοῦ πανοσιωτάτου καθηγουμένου καὶ τῆς ὑπ' αὐτὸν σεμνῆς ἀδελφότητος, τοσαύτην μνείαν ποιουμένων ἑκάστοτε τῆς σῆς ἀντιλήψεως ὁπόσην καὶ τοῦ μακαρίτου προσγενοῦς σοι καὶ κτήτορος.

13. Ἔντειναι τοίνυν καὶ κατευοδοῦ καὶ καθυπέρτερος γίνου παντὸς δυσμενοῦς, φανεροῦ τε καὶ ἀφανοῦς, ὦ καλλώπισμα Κομνηνῶν, Δουκάδων δόξα, Ῥωμαίων καύχημα. Ἐπὶ πᾶσι προσκυνῶ διὰ τοῦ παρόντος μου γράμματος τὴν μεγαλειότητα τῆς σῆς ἀντιλήψεως. Εἴη μετὰ σοῦ ὁ Κύριος, ὑπερασπίζων καὶ φρουρῶν καὶ διατηρῶν ἀνώτερον παντὸς πονηροῦ συναντήματος.

---

14. δηλαδή.

Digitized by Google

ρξς'. Τῷ Ναυπάκτου κῦρ Ἰωάννῃ.

www.libtool.com.cn

1. Τί μ' ἀθανάτοισιν εἴσκεις, ἁγιώτατε καὶ σοφώτατε δέσποτα, ἡμέραν καὶ φῶς ὀνομάζων καὶ ἥλιον, οἷς πρώτως μὲν τὴν ὑπέρφωτον καὶ πρώτην φύσιν προσεικάζει τὰ θεῖα λόγια, δευτέρως δὲ καὶ ἐκ τρίτων τὰ ἐκείνης μᾶλλον ἢ ἧττον μετέχοντα; Ἐγὼ δὲ ἀλλ' ἐμαυτὸν ζητητικώτερον περιαθρῶν καὶ κατὰ τὸ γνῶθι σαυτὸν σκεπτόμενος καὶ διψῶν ἐπιγνῶναι τοῦτο διὰ τὸ οὐκ εὐκατάληπτον μάθημα, δοκῶ μοι οὐδὲ βραχείᾳ φωτὸς ἀπορροίᾳ περιλάμπεσθαι οὐδ' ὅσον γοῦν ἡ φύσις ταῖς πυγολαμπίσιν ὑπηύγασεν. Ὃν καὶ τῆς λαχούσης λυχνίας παρὰ τῆς ἰταλικῆς θυέλλης ἐκκυλινδηθέντα, ἀφ' ἧς ὁ ἱερὸς καὶ θεῖος λύχνος ὑπὲρ κεφαλῆς μοι λαμπρὸν ἐπύρσευε, σκότος οἶμοι καταπεπάτηκε. 2. Πόθεν οὖν ἐπῆλθέ σοι, μακάριε δέσποτα, γράμμα μοι ἐγχαράξαι πάμφωτον, ἀμφότερον οἷς αὐτό τε ὅλον καὶ πᾶν ὀνομάτων καὶ νοημάτων ἀπολαμπρύσμασιν ἤστραπτε καὶ οἷς τὰ κατ' ἐμὲ ποικίλαις φωτωνυμίαις ἀπεσέμνυνεν; Ἀλλὰ σὺ μὲν ἴσως ὀκνήσεις ἐρεῖν ὅθεν ὑπήχθης τοιάδε φαντάζεσθαί τε καὶ γράφειν περὶ ἡμῶν· ἐγὼ δὲ οὐ παρὰ θύραν, οἶμαι, τῆς ἀληθείας ἀφίξομαι, οὕτως ἃ πάσχεις καὶ ποιεῖς καταμαντευόμενος.

3. Δοκεῖς μοι, σοφωτάτη καὶ φίλη κεφαλή, ὡς οὐ μόνον τἄλλα καλὰ πάντα καθ' ἕξιν ἀμετάβλητον ἠκριβώσω, ἀλλὰ καὶ φιλεῖν οὐκ ἐπιπολῆς καὶ ψυχρῶς ἠγάπησας, ἀλλὰ καὶ λίαν διακαῶς καὶ ὡς ἐραστὴς ἀτεχνῶς ἔμπυρος. 4. Ἐπεὶ

ρξς'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν τῷ λαυρεντιακῷ κώδικι (Λ), φ. 156,6 - 157,α καὶ τῷ βαροκκικῷ (Β), φ. 327,6.

Τίτλος. *τοῦ χωνιάτου ἀθηνῶν κῦρ μιχαὴλ πρὸς τὸν ναυπάκτου* Β. — 2. *κατόνομάζων* Β. *πρῶτος* Β. — 4. *μετέσχοντα* Β. — 5. *περιαρθρῶν* Β. — 7. *διατὸ* Λ. *πάθημα* Β. *βραχεία* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *βραχεῖα* Β. — 8. *ἀπόρροια* Β. *γοῦν λείπει* Β. — 9. *ἀπηύγασεν* Λ. — 10. *ἐκκυλισθέντος* Β. — 11. *ὑπερκεφαλῆς* Β. — 12. *οἶμαι* Β. *ἐπῆλθε* ΛΒ. — 13. *χαράξαι* Β. — 14. *αὐτὸ τὲ* ΛΒ. *ἀπόλαμπρύσμασιν* Β. — 16. *ὅθ'* Β.

Digitized by Google

γοῦν καὶ τὸ ἡμέτερον ἐν τοῖς μάλιστα τῶν φιλουμένων σοι ἐστὶν, ὑπὸ μὲν τοῦ σφόδρα φιλεῖν ἐπιπροσθούμενος οὐχ ὁρᾷς ὄντως ἃ δοκεῖς σάφ' εἰδέναι· ἀμέλει κάλλος τὸ αἶσχος νομίζεις καὶ φῶς ὀνομάζεις τὸ φωτὸς ἀποσκίασμα, ὑπὸ δ' αὖ περιουσίας τοῦ λέγειν πολλῆς τὰ οὕτω σοι φανταζόμενα μετεωρότερον ὑψηλολογεῖς καὶ χαμόθεν ἐξαίρων ἀστροθετεῖς ἄντικρυς ‖ καὶ εἰς τὸ τοῦ ἡλίου πτηνὸν ἅρμα τῷ λόγῳ φέρων ἀναβιβάζεις καὶ τοῖς λοιποῖς παρεξετάζεις πλάνησιν. 5. Ἐγὼ δὲ ἀλλὰ μὴ οὕτω φανείην τὴν καρδίαν πλανώμενος ἢ νεανιευόμενος τὰ Φαέθοντος, ἐκ τῶν σῶν ἰύγγων γοητευθεὶς καὶ χαυνωθεὶς, ὥστε οἴεσθαί τι φωτοειδὲς περὶ ἐμαυτοῦ ἢ προσήκειν δοκεῖν τοῖς υἱοῖς φωτὸς καὶ ἐκλάμπουσιν ὡς ὁ ἥλιος. Ὃς καὶ τῷ παρόντι φωστῆρι προσέδραμον οὐχ ὥστε συνανίσχειν, ὡς ἔφης αὐτὸς, ἀλλ' ὥστε παρ' αὐτοῦ περιλάμπεσθαί τε καὶ θάλπεσθαι. 6. Ὃν κατὰ τοσοῦτον εἰκότως Ἑρμῆν εἴρηκας· καθηγεμὼν γὰρ ὄντως τοῖς ὑπ' αὐτὸν καὶ λόγου καὶ πράξεως· καθ' ὅσον ἡμᾶς ἀπεικότως ὠνόμασας ἥλιον. Τί γὰρ ἐν ἡμῖν ἡλιῶδες συνεῖδες εἰ μὴ τὸ ἀλητικὸν ἴσως τῆς μεταβάσεως καὶ τὸ οὐκ εὐθύωρον τῆς κινήσεως, ἅπερ ἥλιος μὲν θαυμασίως φέρει καὶ κατὰ λόγους ποιητικοὺς τῶν ὡρῶν καὶ ὅσα ὧραι κόσμῳ χαρίζονται, ἡμεῖς δὲ πλημμελῆ καὶ οὐκ ἔλλογα;

7. Εἴη δὲ μηκέτι παροικίαν ἐκ παροικίας ἀμείβειν, ἀλλὰ τὰς λοιπὰς τῶν παλαιστιαίων ἡμερῶν μου σκιὰς ἐκμετρῆσαι δεῦρο, ἔνθα μεγάλην μνημοσύνην τῆς σῆς ἁγιωσύνης τελουμένην εὗρον καὶ οἵαν οἱ τοῦ φροντιστηρίου κτήτορες ἔχουσιν. Ὁσάκις γὰρ ἐκείνων ὑπερεύχονται οἱ μοναχοὶ κατ' ὄνομα ἐκφωνουμένων, τοσαυτάκις καὶ ὑπὲρ τῆς σῆς σωτηρίας καὶ ζωῆς ἱκετηριάζουσι. 8. Καὶ ἐπεὶ μετόχιον ἔχουσιν αὐτόθι, μονίδιόν τι τοῦ ἁγίου Νικολάου, ἐπιλεγόμενον τοῦ Σώζοντος, δω-

2. *ἐπιποθούμενος* Λ. — 3. *κάλος* Β. — 5. *πολλοῦ* Λ. — 7. ‖ Κώδ. 159, *α*.— 11. *οἴεσθαι τί* Β.— 15. *περιβάλπεσθαι* Β.— 16. *λόγω* Β.— 17. *καθόσον* ΑΒ.— 18. *ἀλητικὸν* Β.— 20. *φέρει* λείπει Λ. — 25. *οἷαν ἐκ τοῦ τὸ πρῶτον γραφέντος οἷαν* Λ. — 26. *κατόρθωμα* Λ.— 27. *καὶ περὶ τῆς* Β. — 29. *σῴζοντος - κομηγοῦ* λείπουσι Β.

Digitized by Google

ρηθὲν παρὰ τοῦ μακαρίτου Κομνηνοῦ, ἀξιῶ σὺν τῷ καθηγουμένῳ καὶ τοῖς μοναχοῖς περιθάλπειν τὸ τοιοῦτον ὡς οἰκεῖον καὶ διατηρεῖν πάσης ἐπηρείας καὶ ὀχλήσεως ἀνώτερον. Ῥᾴδιον γάρ σοι τοῦτο, ἅτε καὶ τῶν ἀρχόντων τῆς χώρας ἀγαθὴν ἐχόντων διάθεσιν περὶ τὴν συγγενικὴν αὐτῶν μονὴν τοῦ Προδρόμου. Ἵλεως εἴη μοι θεὸς διὰ τῶν σῶν ἱερωτάτων εὐχῶν.

www.libtool.com.cn

ρξζ'. Τῷ αὐτῷ.

1. Πρὸ τῆς ἀττικῆς τῶν γραμμάτων στωμυλίας, ὅταν μὴ χρεία τις ὑπαγορεύῃ πολυγραφίαν, τὸν λακωνισμὸν τιθέμεθα· ὥςπερ καὶ νῦν ἐγὼ, λακωνικώτερον ἐπιστέλλων, τοῦτο μόνον παραδηλῶ, ὡς ὁ διδοὺς τῇ σῇ ἁγιότητι τὰς συλλαβὰς ταύτας ἡμέτερός ἐστι καὶ παρ' ἡμῶν κομίζει τῷ Κομνηνῷ καὶ τῷ Λιγυρῷ γράμματα, τὸ δὲ καὶ ἀξιοῦν τὴν σὴν ἁγιότητα ἐφοδιάσαι τε καὶ παραπέμψαι μετὰ συνοδοιπόρων ἢ καί τινος ἡγεμόνος ὁδοῦ ἔνθα διατρίβει ὁ Κομνηνός. 2. Οὐ προστίθημι· αὐτόθεν γὰρ ἀρίδηλον καὶ παρὰ τοῦτο τοῖς Λάκωσιν ἐπαχθὲς ὡς ἀδόλεσχον. Φέρεται γὰρ λόγος ἐν συγγραφῇ παλαιᾷ τοὺς Χίους λιμώττοντας ἀπεσταλκέναι πρέσβεις δεησομένους περὶ σιτοπομπίας εἰς Λακεδαίμονα, οἱ δὲ, πολλὰ δημηγορήσαντες, δι' αὐτὸ τοῦτο ἄπρακτοι ἀπεπέμφθησαν ὡς φλύαροι· ὅπερ μαθόντες οἱ Χῖοι ἑτέρους πρέσβεις πεπόμφασιν, οἱ δὲ παρελθόντες καὶ οὓς κατεῖχον θυλάκους ὑποδείξαντες εἶπον, ὡς οἱ θύλακοι οὗτοι σῖτον ζητοῦσιν, οἱ Λάκωνες δὲ καὶ τούτους οἷα περιττολόγους ἤλεγξαν, εἰπόντες ὡς ἀπόχρη τὸ τοὺς θυλάκους μόνον παραδεῖξαι, τὸ δὲ προσθεῖναι σίτου δεῖσθαι περιττὸν καὶ ἀδόλεσχον.

3. Οὕτως ἐκεῖνοι γλώσσης ἐφείδοντο· ἔνθεν τοι καὶ τὰς

3. *καὶ διατηρεῖν - προδρόμου* λείπουσι Β.

ρξζ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 157, α.

8. *τίς.* — 11. *ἡμέτερος ἐστι.* — 13. *ἐφοδιάσαι.* — 26. *ἔνθεν.*

Digitized by Google

λακωνικὰς σκυτάλας μᾶλλον ἢ τὰς μακρηγόρους Ἀθηναίων γραφὰς θαυμάζομεν, ἅτε τῇ καθ' ἡμᾶς νομοθεσίᾳ γειτνιαζούσας, ἢ καὶ ὑπὲρ ἀργοῦ λόγου λόγον θεῖναι τεθέσπικεν. Ἵλεως εἴη μοι θεὸς διὰ τῶν σῶν ὑπὲρ ἐμοῦ ἱερωτάτων ἐντεύξεων.

ρξη'. Τῷ πανοσιωτάτῳ καθηγουμένῳ τῆς μονῆς τοῦ Προδρόμου κῦρ Μαρτινιανῷ.

1. ‖ Ἤδειν μὲν καὶ πρότερον τὸ τῆς σῆς ἀρετῆς ὑπερέχον, πανοσία μοι κεφαλή· καὶ πῶς γὰρ οὐκ ἔμελλον οὕτω τοῦ σοῦ κατὰ Χριστὸν βίου ὡς ἐκ περιωπῆς μετεώρου πυρσεύοντος; νῦν δὲ μᾶλλον ἐπέγνων ἐξ ὧν ἐπεδείξω, ὅτι καὶ τὴν περιοχὴν τῶν ἀρετῶν καὶ τὸ κεφάλαιον τῶν ἀγαθῶν καὶ τὸν σύνδεσμον τῆς τελειώσεως εἰς ἄκρον κατώρθωσας. Οὐ γὰρ ἂν καὶ ἡμῶν ἐμέμνησο καὶ τῶν παριόντων διεπυνθάνου καὶ γράμμα διέπεμπες διὰ τοσοῦδε διαστήματος ὁπόσον ἐκ τοῦ Καλυδωνίου κόλπου εἰς τὰς κατ' Αἰγαῖον Κυκλάδας ἀπομηκύνεται, εἰ μὴ τῷ πυρὶ τῆς ἀγάπης πυρπολούμενος ἐξεκέχαυσο. 2. Καὶ τί λέγω τὸ ἐκ Καλυδωνίου πελάγους εἰς τὸ Αἰγαῖον διάστημα; Οἶμαι ὡς εἰ καὶ ἐγὼ μὲν παρῴκουν Ἰνδοῖς, σὺ δὲ Βρεττανοῖς, καὶ διὰ τοσοῦδε ἂν ἐπέστελλες, τῆς ἐν Χριστῷ ἀγάπης κουφιζούσης τὰ γράμματα. Ἧς τὰ περίπτερα, ὥς φησιν ἡ τῶν Ἀσμάτων βίβλος, φλόγες πυρός.

3. Καλὰ μὲν οὖν καὶ ταῦτα, ὦ ἄνθρωπε τοῦ θεοῦ, καὶ ψυχαγωγίαν ἡμῖν οὐ τὴν τυχοῦσαν ἐνσταλάττοντα· καλλίω δὲ πολλῷ ἂν ποιῇς, εἴπερ σὺν τῇ ὑπὸ σὲ ἀδελφότητι προσευχὰς καὶ δεήσεις ἀναφέρεις ὑπὲρ ἡμῶν, ἵνα ἡμῖν ἵλεως γένοιτο Κύριος ὁ θεὸς, καὶ διὰ τῶν ἐνταῦθα πειρατηρίων ἐκκαθάρας ἐξάξῃ εἰς τὴν ἐκεῖσε ἀναψυχήν. 4. Δέδοικα γὰρ μὴ

ρξη'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 157,α - 157,β.

5. ‖ Κώδ. 157,β.

Digitized by Google

διὰ τὴν ἀμετανόητόν μου καρδίαν θησαυρίσω ἐμαυτῷ ὀργὴν καὶ πιὼν ἐνταῦθα τὸ ἐν χειρὶ Κυρίου ποτήριον οἴνου ἀκράτου πλῆρες κεράσματος εὑρήσω κἀκεῖ τὴν τρυγίαν ἐκκενωθεῖσάν μοι· ὅπερ μὴ παθεῖν πολλῶν δέομαι εὐχῶν καὶ μάλιστα τῶν ὑμετέρων. Ὧν μὴ ὑστερήσαι με Κύριος· ὃς καὶ τὴν σὴν τελειότητα διαφυλάττοι εἰς παραμυθίαν πολλῶν καὶ σωτηρίαν ψυχῶν. Ἡ ὑπὸ τὴν σὴν ὁσιότητα ἀδελφότης προσειρήσθω παρ' ἡμῶν.

www.libtool.com.cn

ρξθ'. Τῷ ἐπισκόπῳ Ῥαιδεστοῦ.

1. Ὤμην, πανιερώτατε καὶ ἐν Κυρίῳ ἀγαπητὲ ἀδελφέ, ὡς ἐπελήσθην ἀπὸ καρδίας ὡσεὶ νεκρὸς, ἅτε τοσούτων παραδραμόντων ἐνιαυτῶν καὶ οὐδὲ μιᾶς διὰ γραμμάτων προσρήσεως καταπεμφθείσης μοι παρὰ σοῦ, καὶ ταῦτα μυρίων παροδευόντων τὸ σὸν λάχος ὅσοι εὐθὺ τῆς Ἑλλάδος κατήεσαν.

2. Ἐπεὶ δὲ ὁ πανεντιμότατος ἡμέτερος χαρτοφύλαξ σὸν γράμμα διακεκόμικεν, ἐδόξαμεν ἀναζωπυρηθῆναι καὶ διὰ τῆς μνήμης ἀναθαλφθῆναι καὶ τὴν προτέραν φιλίαν φαντάσασθαι. Καὶ χρόνιον μὲν τὸ γράμμα καὶ διὰ μακρῶν ἐνιαυτῶν ἀρτίως ἐγχειρισθὲν, μέγα δέ μοι καὶ φίλον, ὅτι καὶ νῦν ὅτε παγκοσμίου ἐπιπεσόντος πειρασμοῦ καὶ ἑαυτῶν ἐπιλανθάνονται ἄνθρωποι. 3. Σὺ δὲ ὅμως, εἰ καὶ μὴ ζώντων ἡμῶν ἐποιήσω μνείαν τινὰ, ἀλλ' οὖν γε τεθνηκότων ἐμνήσθης, καὶ εἰς καιρὸν καὶ τοῦτο πεποίηκας. Ἐν γὰρ ταῖς κακοπραγίαις τῶν φιλικῶν ψυχαγωγιῶν ὥσπερ οἱ νοσοῦντες δεόμεθα· οὐ μετρίως τοίνυν τὸ σὸν γράμμα ἀνέψυξε μέγιστον ὂν τῷ μεγέθει καὶ χάριεν. Ἠβουλήθης γὰρ, ὡς ἔοικεν, ὅσα ἐπιστέλλειν ὀφείλων οὐκ ἐπέστελλες ταμιεύσασθαι καὶ συμφορῆσαι ἐν ἑνὶ τούτῳ

3. *ἐκκενωθεῖσαν.*

ρξθ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 157, 6.

Τίτλος· $\rho\xi^{\vartheta}$

Digitized by Google

γράμματι καὶ τὰ ἐλλείμματα ἐκείνων ἀφοσιώσασθαι, ὥςπερ εἴ τις, ἐκπώματα πλεῖστα εἰς μίαν μεγίστην φιάλην ἐγχέας, τὴν δίψαν τοῦ δαιτυμόνος ἀκέσεται. 4. Χάρις σοι τοίνυν ἀποκείσεται, ἱερώτατε, ὅτι οὐκ εἰς τέλος ἐπιλέλησαι ἡμῶν παρά τε ἡμῖν καὶ τῷ τὴν ἀγάπην νομοθετοῦντι θεῷ. Ὅς καὶ τὴν σὴν διαφυλάττοι ἱερότητα ἐρρωμένην ψυχῇ τε καὶ σώματι.

www.libtool.com.cn

ρο'. Τῷ Τορνέκῃ κῦρ Εὐθυμίῳ.

1. Οὐδέν ἐσμεν οἱ σαπροί· τοῦτο ὅτῳ μὲν τῶν παλαιῶν εἴρηται οὐδέπω εὗρον, ὅτι δ' ἀληθὲς πάλαι ἔγνων αὐτὸς παρ' ἐμαυτοῦ διδαχθείς. Ἐπεὶ δὲ τοιοίδε ἐσμὲν ὅποι ποτὲ ἄρα καὶ ‖ διατρίβομεν, εἴτε ἐν φαύλοις χωρίοις εἴτε ἐν φροντιστηρίοις ἱεροῖς, οὐδέν ἐσμεν ὡς οὐ μόνον σαπροὶ ἅτε ἐσχατογέροντες, ἀλλὰ καὶ ὡς πάλαι νεκροί. Οἳ παρὰ μὲν τῷ Ἀποστόλῳ ἐν ἀτιμίαις σπείρεσθαι λέγονται, ἐν μνήμασι δῆλα δὴ κατορυττόμενοι, ἃ καὶ ἀκαθαρσίας γέμειν ὁ σωτὴρ εἴρηκεν· ὁ δέ γε Δημόκριτος νέκυές φησι κοπρίων ἐκβλητότεροι. 2. Σὺ δ' ἀλλὰ δεινὸς ὢν λέγειν καὶ γράφειν, ὦ θεσπεσία μοι κεφαλή, τοὺς οὐδὲν ὄντας ὡς σαπροὺς καὶ νεκροὺς καὶ τῆς ἱερᾶς αὐλῆς μακρὰν ἐξωσθέντας ὡς βολβίτων ἐκβλητοτέρους τοῖς τιμιωτέροις τῶν ὄντων παραβάλλεις σεμνολογῶν. Ὑπὸ γὰρ τοῦ σφόδρα φιλεῖν ἐπισκοτούμενος, τὰ τῶν φιλουμένων οὐδὲν ὄντα ἢ μικρά τινα κομιδῇ μεγάλα φαντάζῃ καὶ ὀνομάζεις, ὁποῖόν τι καὶ ἡ ἐν φροντιστηρίῳ μετοίκησις, ἣν λόγοις ἐπαίρων ἐξύμνησας ὡς ἀτεχνῶς ὑπέργειον καὶ θείαν μετάθεσιν. 3. Ἐγὼ δὲ ἀλλὰ μὴ οὕτω παρὰ τῶν σῶν χαυνωθείην σει-

6. *ἱερῷ τῷ . ἐρωμένῃ.*

ρο'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 157,6 - 158,α.

8. *οὐδὲν ἐσμὲν.* — 10. *ὁποίποτε.* — 11. ‖ Κώδ. 158,α. — 12. *οὐδὲν ἐσμὲν.* — 14. *δηλαδὴ.* — 16. *δημόκρητος νέκυες φησί.*

Digitized by Google

ρήνων, ὡς ἀφ' οἱουδήτινος τόπου βέλτιον ἐμαυτὸν φαντάσασθαι. Ἐπέσκεμμαι γὰρ κατὰ λόγον, οἶμαι, ὡς οὔτε φαυλότης τόπου κακύνει τὸν σπουδαῖον, οὔτε σεμνότης τὸν φαῦλον ἠγάθυνε. 4. Τίς γὰρ τοῦ οὐρανοῦ καὶ τῆς Ἐδὲμ χῶρος ἄλλος ἱερώτερος; Ἀλλὰ τοῦ μὲν ὁ Ἑωσφόρος ἐκὼν κακυνθεὶς ἐκκεκύλιστο, τῆς δὲ ὁ γενάρχης θύραζε πέπτωκεν. Οὕτως οὐδὲν τῆς τῶν θείων χώρων σεμνότητος ἑκάτερος αὐτῶν ὤνατο. Πάλιν Ἰωσὴφ δεσμωτήριον οἰκῶν οὐ παρὰ τοῦτο χείρων ἑαυτοῦ γέγονεν εἰς τὸ συγκρίνειν προφητικῶς τὰ τῶν συνδεσμωτῶν ἐνύπνια. Τί δὲ ὁ θεῖος Ἱερεμίας ἆρα ἐν τῷ λάκκῳ τυντλάζων τὴν προφητικὴν ἐσπίλωτο, ἢ ὁ μέγας Ἰὼβ ἐπὶ κοπρίας καθήμενος ἀνάξιος ἔδοξε διομιλεῖν τῷ διὰ λαίλαπος καὶ νεφῶν χρηματίζοντι; Ὁρᾷς ὅπως, ὡς οὐδὲν ὤνησεν ἐκείνους ἡ σεμνότης τῶν τόπων, οὕτως οὐδὲ τούτους ἡ φαυλότης ἔβλαψεν. 5. Οὐκοῦν μηδὲ ἡμᾶς τῆς εἰς τὸ σεμνεῖον μετοικίσεως μακάριζε, ἀλλ' ὑπερεύχου μᾶλλον, μὴ ἀναξίως τοῦ ἱεροῦ χώρου ἀναστρεφόμενοι πολὺν ὀφλήσωμεν τὸν κατάγελων. Διαφυλάττοιο ἐρρωμένος ψυχῇ τε καὶ σώματι ἐς χρόνους μακροὺς ὡς μέγα πολλῶν ὄφελος καὶ λυπουμένων θεία παράκλησις.

ροα'. Τῷ πατριάρχῃ κῦρ Μανουήλ.

1. Εὐλογητὸς ὁ θεὸς, ἁγιώτατε καὶ σοφώτατε δέσποτα, ὅτι ὠργίσθη καὶ ὠκτείρησεν ἡμᾶς, ὅτι ἐπότισεν ἡμᾶς οἶνον κατανύξεως, πλὴν οὐχὶ καὶ τὸν τρυγίαν αὐτοῦ ἐξεκένωσε. Παραδέδωκε μὲν γὰρ ἀλλοφύλοις, ὀργισθεὶς δήπου, τὴν βασιλίδα τῶν πόλεων, τὴν πανευδαίμονα καὶ σεμνυνομένην βασιλείῳ τε καὶ ἱερατικῷ χρίσματι, οὐ μὴν τὰς ἀκροπόλεις τοῦ τοιοῦδε χρίσματος ὑπ' ἐθνῶν πατεῖσθαι παρακεχωρηκὼς

ροα'. Ἡ ἐπιστολὴ ὅτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 158, α.

Digitized by Google

ἤδη καὶ αὐτὸ προσηλείφετο παρ' ἅπαν, ἀλλ' οἰκτειρήσας καὶ σπέρμα βασίλειον καὶ λύχνον ἡμῖν ἐγκατέλιπεν ἱερωσύνης, ἵνα μὴ συντελεσθῶμεν ὡς ἡ διαβόητος ἐπί τε πονηρίᾳ καὶ καταστροφῇ Πεντάπολις. 2. Καὶ νῦν εἰ καὶ τὴν πόλιν τοῦ κράτους ἀπεβαλόμεθα καὶ τὰ ἐν αὐτῇ βασίλειά τε καὶ ἱερὰ ἀνάκτορα, ἀλλ' οὖν ὑπὸ βασιλεῖ μεγαλουργῷ καὶ κορυφαίῳ ἀρχιερεῖ κοσμούμεθα ὅσοι τῆς ἰταλικῆς τυραννίδος τὴν ὕβριν διαπεφεύγαμεν· τὸ δὲ καινότατον καὶ οἷον θαυμάσαι, ὅτι καὶ οἱ τυραννούμενοι ἔτι οὐ μικρῶς ψυχαγωγούμεθα πόρρωθεν ὁρῶντες πυρσεύοντας τὸν μὲν αὐτοκράτορα μυρίοις τροπαίοις, ἀπολαμπρύσμασι δὲ σοφίας καὶ ἀρετῆς τὴν σὴν ἁγιότητα οὐράνιον ‖ ὅσον καὶ οἷον, οὐδ' εἴπερ ἑκάτερος ὑμῶν ἐκ τῆς ἀρχαίας ἑαυτοῦ περιωπῆς ἀπήστραπτε.

3. Καὶ διὰ ταῦτα καὶ ὁ ἡμέτερος φοιτητὴς καὶ χαρτοφύλαξ, ἐπεί περ τῆς καθ' ἡμᾶς λυχνίας ἐξώσθημεν καὶ ἀπέσβημεν, πρὸς τὸ πάμμεγα φῶς τῆς μεγίστης ἁγιωσύνης σου κατὰ γνώμην ἡμετέραν ἀνέδραμεν, οὐχ οἷός τε ὢν δεῦρο βιοτεύειν ὑπὸ ζόφον καὶ κότον ἰταλικόν. Ἐξελέξατο γὰρ παραρριπτεῖσθαι ἐν τοῖς ὑπὸ τὴν σὴν ἁγιότητα φωτεινοῖς καὶ ἐλευθέροις σκηνώμασιν ἢ ἐν τοῖς οἴκοι τυραννουμένοις τῶν ποτὲ εὐδαιμόνων πόλεων ἐνδάλμασιν. 4. Οὐκοῦν δέομαι τῆς μεγίστης ἁγιωσύνης σου μὴ τῆς ἐλπίδος διαμαρτεῖν καὶ μᾶλλον ὅτι οὐκ ἀσυντελὴς ἔσται οὐδ' ἀδόκιμος εἰς ὃ ἂν ἐνταλθῇ λειτούργημα δεόμενον φρονήσεώς τε καὶ πίστεως. Ἵλεως εἴη μοι θεὸς διὰ τῶν σῶν ἁγιωτάτων ἐντεύξεων.

---

1. *προσαλείφετο παράπαν.* — 10. *πυρσεύοντας* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *πυρσεύοντες.*— 12. ‖ Κώδ. 158,6.— 17. *οἷος.*

Digitized by Google

ροϐ'. Τῇ Τυχομυρᾷ κυρᾷ Εὐγενείᾳ.

www.libtool.com.cn

1. Τὸ γράμμα σου δεξαμένοις ἡμῖν καὶ ὑπαναγνοῦσιν αὐτὸ, σεμνοτάτη καὶ τιμιωτάτη γυναικῶν, ἐκεῖνο ἐπῆλθεν ἀντιγράψαι σοι ὅπερ πρὸς τὴν ἐκ Φοινίκης γυναῖκα δεομένην ὑπὲρ τῆς θυγατρὸς αὐτῆς ἔφησεν ὁ δεσπότης Χριστός· «ὦ γύναι, μεγάλη σου ἡ πίστις». 2. Ναὶ γὰρ ὄντως μεγάλη, ὅτι καὶ μηδέπω σωματικοῖς ὀφθαλμοῖς ἰδοῦσα ἡμᾶς ἐσπούδακας προσφθέγξασθαι διὰ γραμμάτων τὰ νῦν, ὅτε μικροῦ τῶν πάλαι τεθνηκότων καὶ ἐπιλελησμένων οὐδὲν διαφέρομεν, καὶ πρός γε ἠξίωσας ἀντίγραμμα παρ' ἡμῶν δέξασθαι, ἀφ' οὗπερ οὐκ οἶδα τίνα ψυχικὴν ὠφέλειαν κερδανεῖς.. 3. Ὅμως ὡς ἐπίστευσας, ἰδοὺ γεγονέ σοι, καὶ γράφομεν ἅμα καὶ ἐπευχόμεθα σοί τε καὶ τοῖς φιλοχρίστοις καὶ εὐλογημένοις τέκνοις σου πρῶτα μὲν σωτηρίαν ψυχικὴν, εἶτα εὐεξίαν σωματικὴν, εὐημερίαν τε καὶ εὕροιαν ἐν τοῖς βιωτικοῖς, ἔτι δὲ ἐλευθερίαν καθαρὰν καὶ ἀνωτέραν τοῦ διὰ τὰς ἁμαρτίας ἡμῶν ἐπελθόντος οἰκουμενικοῦ κλύδωνος. 4. Τούτων οὐδὲν ἄμεινον εἶχον ἐπεύξασθαι ὑμῖν. Ἡ πίστις δέ σου καὶ τὰς ἡμετέρας ταύτας εὐχὰς δύναται δήπου ἀκουστὰς ποιῆσαι θεῷ. Πάντα γὰρ φησι δυνατὰ τῷ πιστεύοντι. Εἴη μεθ' ὑμῶν ὁ Κύριος, ἀπὸ παντὸς πειρασμοῦ καὶ κακώσεως παντοίας ῥυόμενος.

ροϐ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 158,6.

Τίτλος. τυ $\overset{\beta}{\chi}\overset{\alpha}{\mu}\overset{\gamma}{\zeta}$.—7. *διὰ γραμμάτων προσφθέγξασθαι ταυτν.* — 12. *σοὶ.* — 14. *βιωτικοῖς* καὶ ἐν τῇ ὥᾳ διὰ τῆς αὐτῆς χειρὸς γεγραμμένον.

Digitized by Google

ρογ'. Τῷ Ναυπάκτου κῦρ Ἰωάννῃ.

www.libtool.com.cn

1. Ὡς εἰς καιρὸν ἡμῖν πέπομφας, σοφὴ καὶ φίλη μοι κεφαλή, τὰ ἐκ γῆς καὶ θαλάττης ἐν ἡμέραις ἐγκρατείας ἐδώδιμα· ἃ δὴ καὶ καθ' αὐτὰ μὲν καλὰ ὡς ἐδεστὰ τηνικάδε καὶ τὸ τῆς τραπέζης αὐχμηρὸν ἱλαρύνοντα, πολλῷ δὲ καλλίω οἷς καὶ σύμβολα ὧν ἂν θεωρημάτων βουλομένῳ σοι ἦν ὑποθέμενος ταῦτα· δεινὸς γὰρ σὺ λόγων ὕλας ἄλλας ἐπ' ἄλλαις εὑρίσκειν ἀμφιλαφεῖς· τὴν εὐμεγέθη καὶ καλὴν ἐκείνην ἐπιστολὴν προσεπέσταλκας, ἄλλην εἶποι τις πανδαισίαν λόγου καὶ χαρίτων παντοδαπῶν πλήθουσαν τράπεζαν. 2. Οὕτως καὶ σωματικῶς οἷς ἀπέσταλκας καὶ πνευματικῶς οἷς προσεπέσταλκας πρὸς ἡδονὴν εἱστίασας σώφρονα. Καί σου αἱ φιλοφρονήσεις αὗται ἐν καιρῷ ταπεινοῦντι ψυχὰς καὶ ὀφρῦς συνάγοντι μετρίως διαχεθῆναι παρεβιάσαντο.

3. Πῶς οὖν σε τὸν οὕτω φιλότιμον ἑστιάτορα ἡμεῖς οἱ παντὸς ἀγαθοῦ ἔκπτωτοι ἑνί γέ τῳ τρόπῳ ἀνθεστιάσομεν, ἵνα μὴ δαιτυμόνες ὦμεν μόνον, ἀλλ' ἐν τῷ μέρει καὶ ἑστιάτορες; Πῶς ἄλλως ἢ εἴπερ ὅσα καὶ λειψάνοις τῆς σῆς τραπέζης τοῖς αὐτοῖς συμβόλοις κατὰ τὸ δοκοῦν ἡμῖν συγχρησόμεθα; Ἀόριστοι γὰρ καὶ πολυσχιδεῖς αἱ τῶν συμβόλων ὑπόνοιαι.

4. Τῷ τοι Πυθαγόρας μὲν καὶ Πλάτων ὡς ὑπὸ παραπετάσμασι τούτοις τὰς οἰκείας ὑπολήψεις ἀπεκρύψαντο, ἵνα μὴ καὶ βαναύσοις ‖ ἀκοαῖς ἐκκείμενα προῦπτα φαυλίζοιτο τὰ βέβηλα. Ὁ δ' Ἀριστοτέλης τὸ μὲν συμβολικὸν ὡς οὐχ ὡρισμένον χαίρειν εἴασε, τὴν δ' ἀσάφειαν τῶν συγγραμμάτων οἷόν τινα σκότιον ἐπίκρυψιν τῶν ἑαυτοῦ θεωρημάτων προὐβάλετο.

5. Ἔνθεν τοι καὶ νῦν σὺ μὲν τὰ ταριχευτὰ τῶν ἰχθύων ὠὰ ἅτε αὖα καὶ ἰσχνὰ εἰς σύμβολον ἡμῶν τεθεώρηκας, ὡς τάχα

ρογ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 158,6 - 160,6.

8. τίς.— 22. ‖ Κώδ. 159,α.— 26. ἔνθεν.

καθ' ἑκούσιον ἄσκησιν ταχερῶν καὶ σκελετῶν ἀτεχνῶς γινομένων. Ἡμεῖς δὲ καὶ αὐτοὶ τὸ μὲν ἐκτετηκέναι καὶ αὐανθῆναι ἡμέρας τοῦ ἡλίου συγκαύσαντος καὶ τῆς σελήνης τὴν νύκτα οὐκ ἀρνούμεθα πλὴν ὅτι μὴ καθ' ἑκούσιον γνώμην ταῦτα πεπόνθαμεν. 6. Οὔτε γὰρ ψυχήν πω τοῦ σαρκικοῦ τύντλου τερσήναντες πεποιήκαμεν ὁποίαν καὶ Ἡράκλειτος ἐπαινῶν ψυχή φησι, ξηρὴ, σοφὴ, οὔτε σῶμα τηκεδόνι φιλοσάφου μελέτης λεπτότερον κίγκλου, κατὰ τὴν παροιμίαν, ἀπετελέσαμεν, ἀλλ' ὥςπερ ἡ κωμῳδία θαυμαζομένους ἐνίους ἄνδρας ἅτε σφηκώδεις καὶ τοῖς ἐχθροῖς ἀνιαροὺς προςπαίζουσα ὑπὸ λιμοῦ φησιν ἴσως αὐτοῖς τὸ σφηκῶδες, οὕτω καὶ ἡμεῖς οὐκ ἄλλως τεταριχεῦθαί φαμεν ἀλλ' ἢ ὡς ἐν ἐλεγμοῖς ὑπὲρ ἀνομίας πρὸς θεοῦ παιδευόμενοι, καὶ ὡς ἀράχνη τὴν ψυχὴν ἐκτηκέμενοι καὶ πληγέντες ὡς χόρτος, καὶ τὴν μὲν ἰσχὺν ὡς ὄστρακον ξηραινόμενοι, κατὰ δὲ τοὺς ἐν ἀπαγωγῇ σχετλιάζοντας ἐκείνους ἐπίκλαυτον ὑπομινυρίζοντες, «ξηρὰ γέγονε τὰ ὀστᾶ ἡμῶν, ἀπόλωλεν ἡ ἐλπὶς ἡμῶν» διαπεφωνήκαμεν.

7. Καὶ οὕτω μὲν τὰ ταρίχη ὡς ἀλιπῆ καὶ ἄνικμα ὑποσημαίνοιεν ἂν καθ' ἡμετέραν ἐπιβολὴν, οὐ παρὰ θύραν, οἶμαι, ἥκουσαν, τὴν ἐλεουμένην ἡμῶν καὶ τλημονεστάτην οἰκτρότητα, οὐ μήν γε τὴν κατὰ γνώμην ἐσπουδασμένην καὶ μακαριζομένην ἰσχνότητα. Ὁ δέ γε τούτων ἀριθμὸς πρὸς τῆς σῆς ἐστιν ἐλευθεριότητος, ὦ μακάριε. Οὐ γὰρ τριάκοντα κατὰ τὴν γῆν τὴν ἀγαθὴν ἢ ἑξήκοντα, ὅτι μὴ ἑκατὸν χαρίζεσθαι μεμελέτηκας, καὶ ἄλλως δὲ ὡς ἀπὸ τελείου ἀριθμοῦ, τοῦ δέκα, τετραγωνιζόμενος καὶ τετραγωνίζων ἕτερον τελεώτερον σαφῶς ὑπεμφαίνῃ δήπου τὴν κατὰ σὲ τελειότητα, τετράγωνον ἄνευ ψόγου τετυγμένον, ὡς ἔφη τις. 8. Καὶ οὐ τοσάδε μόνον, ἀλλὰ καὶ πάντα δίδυμα, ὧν καὶ τὸν συνδυασμὸν ἐπαινέσας, εἶτ' αὐτόθεν ὡς ἐξ ὑπερδεξίου ὁρμητηρίου ἀΐξας βαθαὶ ὅσος ἔπνευσας, τὸ μὲν μοναδικὸν καθαιρῶν, τὸ δὲ συνδυα-

7. *ψυχὴ φησὶ.* — 12. *τεταριχεῦσθαι φαμέν. ἐνελεγμοῖς.* — 16. *ὑπομινυρίζοντες.* — 27. *ὑπεμφαίνει.*

www.libtool.com.cn

Digitized by Google

στικὸν ἐξαίρων ἔκ τε τεχνικῶν ἐπιχειρήσεων καὶ ἐξ ἀτέχνου μαρτυριῶν γραφικῶν πίστεως κατὰ γυμνασίαν, οἶμαι, λόγου τοῦ ἥττονος καὶ τῆς τοῦ λέγειν ἰσχύος διάπειραν. 9. Τί δ' οὐκ ἂν ἔλεξας, εἰ, παλινῳδίαν ᾄσαι θελήσας, εἰς τοὺς ἐναλλὰξ λόγους ἐπαφῆκας τὴν εὐφραδῆ γλῶτταν καὶ περιττὴν αὐτίκα; Καταμαντεύσομαι γὰρ ὧν ἂν εἴποις βραχέ' ἅττα. Ἦν δὲ μηκυνθῇ λόγος ὁ τῆς ἐπιστολῆς, σύγγνωθι, αὐτὴν τὴν μονάδα καὶ αὐτὴν τὴν δυάδα ἀντεξετάσας αὐτὰς καθ' αὑτάς. Τῆς μὲν τὸ ἀμερὲς καὶ ἀρχοειδὲς ἐξύμνησας ἄν, τὴν δὲ δυάδα τόλμαν ἐκάλεσας, τοῖς σοφοῖς ἑπόμενος, καθότι πρώτη τὴν μονάδα τὴν ἀρχικὴν καὶ ἁπλῆν ἐν ἑαυτῇ συνθεῖναι τετόλμηκε καὶ οὐδ' οὕτως εἰς ἀριθμοὺς ἐτέλεσε. 10. Πᾶς γὰρ ἀριθμὸς δὶς μὲν συντιθέμενος ἕτερον γεννᾷ ἀριθμόν, εἰς ἑαυτὸν δὲ ἀνακυκλούμενος ἕτερον, ὡς φέρε ὁ τρία τρὶς μὲν καὶ τρὶς τὸν ἓξ ἀποτελεῖ, τρὶς δὲ τρὶς τὸν ἐννέα, ὡςαύτως δὲ καὶ ὁ τέσσαρα καὶ οἱ ἑξῆς ἅπαντες. Ὁ δὲ δύο καὶ δὶς συντι‖θέμενος, δύο καὶ δύο, τὸν τέσσαρα γεννᾷ καὶ εἰς ἑαυτὸν πολλαπλασιαζόμενος, δὶς δύο, τὸν αὐτὸν πάλιν τέσσαρα ἀποτελεῖ. Οὐκ ἄρα τέλειος ἀριθμὸς ὁ δύο· οὕτως καὶ τοῦ μοναδικοῦ σεμνώματος ἀποπέπτωκε τὴν μονάδα δισσεύσας καὶ οὐδ' εἰς εἰς ἀριθμοῦ τελειότητα ἐξίκετο. 11. Ἴδοι δ' ἄν τις καὶ τοὺς νῦν Ἰταλοὺς τὴν αὐτὴν τόλμαν θρασέως πλημμελοῦντας· οὐ τὸν πατέρα μόνον, ἀλλὰ καὶ τὸν υἱὸν δοξάζουσιν αἴτιον τῆς τοῦ θείου πνεύματος ἐκπορεύσεως, καινοτομίᾳ τολμηρᾷ τὸ τῆς θεότητος ἐνοειδὲς θαῦμα καταρρυπαίνοντες. 12. Οὕτω δὲ τῆς μονάδος σεμνοτέρας πολλῷ τῆς δυάδος οὔσης καὶ τὰ μονήρη πάντα ἢ τὰ πλείω τῶν συνδυαζομένων εὑρήσει τις γεραρώτερα καὶ ἀρχικώτερα, ὡς κἂν τῇ γεωμετρίᾳ τὴν γραμμὴν τῆς ἐπιφανείας. Ἡ μὲν γὰρ ἐπὶ μῆκος μόνον διέστηκεν, ἐπιφάνεια δὲ πρὸς τῷ μήκει καὶ δευτέραν ἔχει, τὴν κατὰ πλάτος, διάστασιν, ἵνα μὴ λέγω ὡς καὶ δύο μὲν εὐ-

6. *βραχέατα*. — 11. *ἁπλὴν*. — 16. ‖ Κώδ. 159,6. — 28. *κἂν*.

Digitized by Google

θεῖαι χωρίον οὐ περιέχουσι, μία δὲ περιφερὴς γραμμὴ ὅλον περιγράφει κύκλον. Κατὰ δέ γε τὴν ἠθικὴν φιλοσοφίαν ἑκάστη μὲν τῶν ἀρετῶν μία τίς ἐστιν ὡς μεσότης σύμμετρος, δύο δὲ ἑκατέρωθεν ἑκάστης κακίαι καθ' ὑπερβολὴν καὶ ἔλλειψιν γειτνιάζουσι. 13. Ναί φησιν, ἀλλὰ διφυῆ τὰ αἰσθητικὰ ὄργανα· διφυῆ μὲν εἴποιμεν καὶ αὐτοί, ἀλλὰ μονοφυὴς ἡ ἔνδοθεν θαλαμευομένη αἴσθησις ὥςπερ τις σεμνοτάτη δέσποινα, ἧς οἷα πυλωροὶ καὶ θεράπαιναι τὰ αἰσθητήρια ταῦτα προβέβληνται, καὶ, ὅτε μὴ παρ' ἐκείνης τὰς τοῦ αἰσθάνεσθαι δυνάμεις ὡς ἀπὸ κέντρου τινὸς ἐξιούσας εὐθείας δέξαιντο, κατ' ἴσον τοῖς τῶν ἀνδριάντων διὰ κενῆς ἀνεῴγασι. 14. Καὶ παρίημι ἀπαριθμεῖσθαι καὶ τἄλλα τοῦ ζῴου ἡγεμονικὰ μόρια πάντα μονοφυῆ, ἦπαρ, καρδίαν, ἐγκέφαλον, πνεύμονα, ἅπερ ὁ τὰ ἐπιπολῆς ὁρῶν ἔοικε μὴ συνορᾶν, ὡς ἐν τῷ Ἄσματι τῶν Ἀσμάτων οἱ τοῦ καλοῦ νυμφίου ἑταῖροι τὴν νύμφην θαυμάζοντες «ἐκαρδίωσας, φασὶν, ἡμᾶς ἑνὶ ἀπὸ ὀφθαλμῶν σου». Καὶ ὁ παρὰ θεοῦ τὴν ὀξυκοΐαν αὐχῶν προςέθηκέ μοι «ὠτίον φησὶ μοναδικῶς καὶ ἦν ὅτε χεῖλος ἦν ἓν πᾶσα ἡ γῆ καὶ μία φωνὴ, καὶ ἅπαξ μὲν ἐλάλησεν ὁ θεὸς, δύο δὲ ἤκουσεν ἄνθρωπος.»

15. Οὕτω τὰ θειότερα τῶν αἰσθητηρίων ἑνοειδῆ λέγεταί τε καὶ ἐστίν· ἀγάσαιτο δ' ἄν τις τῆς γλώττης τῆς ἐπαινούσης τὸ δίδυμον τῶν αἰσθητηρίων, ὅπως καὶ αὐτὴ αἰσθητήριον οὖσα τῶν γευστῶν χυμῶν μονοφυὲς μέντοι ἢ λάθετ' ἢ οὐκ ἐνόησεν ἑαυτὴν ἀτιμάσασα οἷς ἐκεῖνα τεθαύμακε, μεθ' ὧν δήπου καὶ τὴν τῶν ὄφεων θαυμάσεται ὡς δικρόαν καὶ αὐτὴν οὖσαν, ὥς φησιν Ἀριστοτέλης. Ἐγὼ γὰρ οὐκ εἶδόν πω μήτ' ἴδοιμι καίτοι τὴν αὐτοῦ κεφαλὴν τηρεῖν ἐγκελευόμενος. Φιλεχθρῶ γὰρ τῷ πονηρῷ τούτῳ θηρίῳ, σπέρμα ὢν τῆς προμήτορος, καὶ καινὸν οὐ πάνυ τι δικρόας ἔχειν γλώττας τοὺς ὄφεις, ὁπότε καὶ ἀμφικέφαλοί εἰσι τούτων ἔνιοι, ὡς οἱ λεγό-

2. Τοῦ *ἠθικὴν* τὸ *ἠθι* ἐπὶ διεξεσμένων, ἴσως πλειόνων, γραμμάτων τὰ νῦν ἀδιαγνώστων. — 7. *ὥσπέρ*. — 10. *κατῖσον*. — 11. *παρίειμι*. — 26. *εἶδον*.

Digitized by Google

μενοι ἀμφίσβαιναι. 16. Ἀτὰρ ὅ με μικροῦ διέφυγεν, οὐκ ἂν ἀπέχρησε τῇ ποριμωτάτῃ σου γνώμῃ καὶ γλώττῃ ἐκ μόνων τῶν περὶ ἡμᾶς καὶ αἰσθητῶν τὸ πρόβλημα ἐξεργάσασθαι, ἀλλά γε, καὶ πρὸς τὸ ἄναντες μετεωρίσας τὸν λόγον πλατωνικῶς, πρῶτα μὲν τὰ εἴδη τῶν ὄντων, τὸν αὐτοάνθρωπον καὶ τὸν αὐτόιππον καὶ τὸν αὐτοβοῦν ἀσυνδύαστα ὄντα παρήγαγες ἄν, εἶτα καὶ τὴν ἀπλανῆ, μίαν μὲν οὖσαν, τὰς δὲ σφαίρας ἁπάσας περιέχουσαν, καὶ ὡς ἑκάστοτε ἀντι‖περιάγουσαν. Ναὶ μὴν καὶ ἄξονα ἕνα περιόντα τὰ κύκλῳ φερόμενα πάντα περιχορεύουσιν, ὡς καὶ κέντρον ἓν τό τε τοῦ παντὸς καὶ τῆς γῆς. 17. Οὐκ ὤκνησας δ' ἂν οὐδὲ τὸν ζῳδιακὸν περιοδεῦσαι κύκλον καὶ παραδεῖξαι ὡς ἐκ τῶν αὐτοῦ δώδεκα μοιρῶν δύο μόναι δυάζονται, Ἰχθύες καὶ Δίδυμοι· αἱ γὰρ χηλαὶ τοῦ Σκορπίου εἰς ἕνα τὸν Ζυγὸν συνάγονται. Ἐξ οὐρανοῦ δὲ τῇ διανοίᾳ καταβὰς εἰς Ἅδην, αὐτοὺς τούτους τοὺς ἐν ἄστρασι διδύμους Διοσκόρους οὐκέτι διδύμους παρέστησας, ἀλλὰ μονὰξ ἑτερημέρους ζῶντας καὶ θνήσκοντας· ἔνθα καὶ τοσούτων νεκύων ὄντων οἷός τοι πέπνυται Τειρεσίας, τοὶ δὲ σκιαὶ ἀΐσσουσιν. Εἰ δὲ καὶ κατὰ ζῆλον Δαυὶδ εἰς τὰ ἔσχατα τῆς θαλάσσης ἐπτερύξω, κἀκεῖ ἕνα ποταμὸν, τὸν Ὠκεανὸν, ἱστόρησας, ἐξ οὗ πάντες ποταμοὶ κρῆναί τε καὶ φρείατα μακρά.

18. Ἀλλὰ ταυτὶ μὲν ἴσως καὶ παροπτέα σοι ἔδοξεν ὡς διαγραπτέα τοῖς πολλοῖς ἅτε πορρωτάτω καὶ ἄποπτα κείμενα· ἐκ δὲ τῶν ὑπ' ὄψιν πᾶσιν ἐπιχειρῶν παρέστησας ὅσον ὑπερίδρυται τοῦ συνδυαστικοῦ τὸ ἀεὶ μονῆρες καὶ ἀσυνδύαστον. Τίμιόν τι χρῆμα ὁ τοῦ γάμου ζυγὸς, ἀλλ' ἡ ἄζυξ παρθενία μακρῷ τιμιώτερον. Τάχα καὶ βιαιότερον ἐπιβάλλων οὐδὲ τὸ τοῦ γάμου συζυγὲς ἀπέδειξας καθάπαξ συνδυαζόμενον, ἀλλά γε καὶ ἐνιζόμενον καὶ οὕτω δὴ συνιστάμενον τὸ μὲν οἷς καὶ τὸ θῆλυ ὡς ὑπὸ μιᾷ κεφαλῇ τῷ ἀνδρὶ ἐφήρμοσται, τὸ δὲ οἷς καὶ ἄμφω εἰς μίαν ὁμοσαρκίαν διὰ τῆς ἑρω-

2. *ποριμωτάτω*. — 6. *αὐτοΐππον*. — 8. ‖ Κώδ. 160,α. — 18. *οἷος. τοιδὲ*.

Digitized by Google

τικῆς ἀναχράσεως ἐνοποιούμενα οὐκέτι εἰσὶ δύο. 19. Εἰ δὲ καὶ τὸ ἐπεξιέναι τοῖς καθωμιλημένοις ἀπειρόκαλον, ὅμως ῥητέα κἀκεῖνα «οὐκ ἀγαθὸν πολυκοιρανίη». Καὶ ἵνα μὴ δόξῃ τῇ μὲν ἀρχῇ τῶν πολλῶν ἀπαρέσκεσθαι, οὐ μήν γε καὶ τῇ τῶν δύο ἢ καὶ τριῶν «εἷς», φησιν εὐθὺς «βασιλεὺς ἔστω» ὅτι μηδὲ δύο, καὶ ταῦθ' ὁμόσποροι, συνάρχειν ἐπιβαλόμενοι τὸ μὴ οὐ δρᾶσαί τε καὶ παθεῖν τὰ ἔσχατα τῶν κακῶν πεφεύγασι. Μαρτυροῦσιν ἐν μὲν τοῖς παλαιτάτοις Δαναές τε καὶ Αἴγυπτος, ἐν δὲ τοῖς χρόνῳ ὕστερον τὰ θυέστεια δεῖπνα καὶ ἡ ἀλληλοκτόνος μονομαχία τῶν παίδων Οἰδίποδος. Οὐ μὴν δὲ ἀλλὰ καὶ τὸ ὑποδρηστεύειν τὸν αὐτὸν δυσὶ κυρίοις, ὡς θεῷ καὶ Μαμωνᾷ, ὅλως οὐχ οἷόν τε. Οὕτως ἄρχειν δύο οὐθ' ὑπὸ δυοῖν ἄρχεσθαι τὴν ἀρχὴν συνήνεγκεν, ὥςπερ οὐδὲ τὸ χαρίζεσθαι ἀντιθέτοις μέρεσιν· ἐξ οὗπερ καὶ οἱ κωμῳδούμενοι ὡς ἐπαμφοτερίζοντες κόθορνοι. 20. Καὶ δύο μὲν πρῶται προτάσεις ἐν συλλογισμῷ· μηδὲ γὰρ ἐάσθω τὸ λογικὸν καὶ ὀργανικὸν ὡς ἀσύμβολον τῷ προκειμένῳ· ἀλλ' ἓν τὸ συναγόμενον ἐξ αὐτῶν συμπέρασμα. Καὶ λόγον μὲν ὕλης ἐπέχουσι προτάσεις, εἶδους δὲ τὸ συμπέρασμα. Καὶ τοίνυν ὅσῳ εἶδος ὕλης τιμιώτερον, τοσούτῳ καὶ συμπέρασμα προτάσεων. Αἱ μὲν γὰρ ἕνεκά του, τὸ δὲ οὗ ἕνεκα. 21. Τί δὲ οἱ ἐν κλίνῃ δύο καὶ οἱ ἐν τῷ μύλωνι δύο; Οὐχὶ κἀκεῖ εἷς καὶ μία παραλαμβάνεται, ὁ δ' ἕτερος καὶ ἡ ἑτέρα ἀφίεται; Οὐχὶ κἀκ τῶν συσταυρωθέντων τῷ Ἰησοῦ λῃστῶν εἷς μετ' αὐτοῦ εἰς τὸν παράδεισον μετετάξατο; Ἐνιαχοῦ δὲ ἅμα δύο καὶ πονηρὰ λέγεται, ὡς τὸ καταλιπεῖν πηγὴν ζῶντος ὕδατος καὶ λάκκους ὀρύξαι ὕδωρ μὴ ἔχοντας. 22. Καὶ μὲν δὴ καὶ θατέρου ἀγαθοῦ ὄντος, ἡ τοῦ χείρονος ὅμως ἐπιμιξία θολοῦσα μεταβάλλει πρὸς τὸ ἀδόκιμον. Καὶ οἶνος παρὰ πονήρων καπήλων μιγνύμενος ὕδατι καὶ χρυσὸς ‖ καὶ ἄργυρος ἀτιμοτέραις ὕλαις συντηκόμενος κεκιβδήλευται, καὶ οἱ τῷ θεῷ καὶ τῷ Βάαλ προσκείμενοι ἐγκαλοῦνται ὡς ἐπ' ἀμφοτέραις ταῖς ἰγνύαις

7. *δρᾶσαι τὲ.*— 12. *οἷον.*— 30. ‖ Κώδ. 160,6.

Digitized by Google

ἀσχωλιάζοντες· καὶ Παῦλος τοὺς ὑπονοθεύοντας τὸ κατὰ Χριστὸν Εὐαγγέλιον νομικοῖς παραγγέλμασιν, ὡς οὐκ ὀρθοποδοῦντας ἑώρα, ὁμόσε χωρήσας διήλεγξεν.

23. Ἔτι μικρὰ προσθεὶς, τοῦ λέγειν πεπαύσομαι. Ἀμαχόν τι χρῆμα τῶν κερασφόρων αἱ τῶν κεράτων διτταὶ προβολαὶ, καί πού τις ταῦρος ἀποθηριωθεὶς καὶ πρὸς συμβολὴν κονισάμενος ἀμήχανόν τι δεινὸν καὶ ἀτεχνῶς τερμέρειον, ὁποῖος καὶ τὴν ἐν Μαραθῶνι Τετράπολιν ἀναστατῶν ἐσίνετο, ἕως ὁ Θησεὺς, οὐχ ἧττονα τοῦτον ἀνύσας ἆθλον ἢ ὅτε Πιτυοκάμπταις ἢ Προκρούσταις συνεπέπλεκτο, κορύνῃ θάτερον τῶν κεράτων ἠλόησεν. 24. Ἀλλὰ πόσων τοιῶνδε ταύρων περίεστιν ὁ μονόκερως, ὃς πρὸς μὲν τοὺς ἐμψύχους γεωλόφους διακυρίττεται, τοὺς ἐλέφαντας, οὐκ ἀνέχεται δὲ μόνος τῶν τετρασκελῶν ὑπεζεῦχθαι τῇ τοῦ ἀνθρώπου ἀρχῇ, οὔτε μὴν ὅλως δεδέσθαι ἢ ἐμφατνίζεσθαι. Ὁ δὲ φοίνιξ, ὁ εἷς τῷ ἀριθμῷ καὶ μόνος ὄρνις, τίνων κατὰ σύνδυο ἢ καὶ ἀγεληδὸν πετομένων οὐκ ἔστιν ὑπερπετέστερος θαύματι; 25. Καὶ ψυχὴ μὲν πᾶσα ἁπλῇ εὐλογεῖται, δίψυχος δέ φησιν ἀνὴρ ἀκατάστατος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ, ὡς καὶ τὸ ἐξυφασμένον ἐκ δύο ἱμάτιον παρὰ τῷ νόμῳ κίβδηλον. Εἰ δὲ καὶ παροιμία «τίς ὑποφέρει πρὸς δύο; οὐδὲ Ἡρακλῆς», αὐτὸς Ἡρακλῆς τὸν λῆρον ἐλέγξας ἐπιστομίσει, δύο ἀδελφῷ συλληστεύοντε κατασχὼν καὶ συμμάρψας ἑνὶ δεσμῷ καὶ κατωμαδὸν ἀράμενος· ἔνθα δὴ καὶ κάτω κάρα κρεμάμενοι καὶ τῆς λεοντῆς παραγυμνούμενα ὁρῶντες μέλανα ἰσχία τε γλουτούς τε τοῦ ἥρωος ἔργοις ἐμάνθανον τὸν παρὰ τῆς μητρὸς προρρηθέντα σφίσιν ἄνδρα μελάμπυγον. 26. Καὶ ὡς ἔμβραχυ εἰπεῖν, εἴ ἔστιν οὗ τὸ ἓν πολλῶν ἀντάξιον καὶ εἰ πεπληθυσμένων τινῶν μοναδικόν τι ἐξήρηται, πολλῷ μάλιστα τῶν συνδυαστικῶν ὑπερίδρυται. Ἡλίκοι καὶ ὅσοι τῶν ἐν τῷ Ἄσματι βασιλισσῶν τε καὶ παλλακῶν καὶ νεανίδων ἀναριθμήτων κατάλογοι· ἀλλὰ μία ἐστὶ,

6. *που τίς.*— 11. *περίεστιν.*— 12. *διακηρύττεται.*— 15 *φοῖνιξ.*— 22. *δύω.*— 24. *κατωκάρα.*— 25. *ἰσχιά.*

Digitized by Google

φησὶ, περιστερά μου τελεία μου καὶ εἷς ὁ ἐκλελοχισμένος ἀπὸ μυριάδων καὶ μονογενὴς καὶ ληνοβάτης μονώτατος καὶ μαργαρίτης πολύτιμος, ὃν ὁ μεγαλέμπορος ἁπάντων ὧν εἶχεν ἐπρίατο. Οὕτως τὸ μεμονωμένον καὶ ἀσυνδύαστον μᾶλλον ἢ τὸ δυαζόμενον πολλαχοῦ καλόν τε καὶ ἐπαινούμενον.

27. Ταῦτά σοι ὀλίγα ἐκ μυρίων ὧν ἂν κατέλεξας, εἰ τὸ μονῆρες πρὸ τοῦ συζυγοῦς κατὰ παλινῳδίαν θέμενος εἰς ἔπαινον τὴν γλῶτταν καθῆκας, ὡς ἵππον εἰς πεδίον ἢ δαλὸν εἰς πῦρ ἢ ξυρὸν εἰς ἀκόνην, ὡς εἴποι τις. 28. Ταῦτα ὡς ὑπολείμματα τῶν σῶν δεξιώσεων κατὰ τὸ ὑπαγορεῦον τῆς μνήμης ἀναλεξάμενοι εἰς ἀνθεστίασιν σὴν παρεσχεδιάσαμεν. Εἰ δὲ μὴ κατ' ἄρθρα διείλομεν, κατὰ τοὺς ἀτέχνους τῶν μαγείρων δαιταλουργοῦντες, οὔτε δι' ὀψαρτυτικῆς τῶν τοιούτων ἐπιστήμης ἐκαρυκεύσαμεν πρὸς τὸ ἐπαγωγότερον καὶ ἁρπαλεώτερον, ἔωλα δὲ ἄλλως καὶ χαρίτων ἄναλτα παρεθέμεθα, ἀλλὰ καὶ οὕτως ἀδόλῳ φιλίᾳ ἥδιστα, καθότι καὶ λάχανα μόσχων ἡδίω λογίζεται, ὡς καί ποτε Προφήτης υἱοὺς προφητῶν ἀλφίτοις καὶ λαχάνοις ἀγρίοις ἐδεξιοῦτο φιλικώτατα καὶ φιλοτιμώτατα.

ροδ'. Πρὸς τὸν Νέων Πατρῶν τὸν Μεσοποταμίτην τὸν καὶ Κοστομήρην λεγόμενον.

1. Οὔτε πρότερον, ἡνίκα ζῆν ἐδοκοῦμεν, ἐπὶ λυχνίαν ἐκκλησιαστικὴν τεθειμένοι, ἀρίζηλόν τι καὶ τηλαυγὲς ‖ φαίνειν εἴχομεν ἢ δι' ἀγαθῆς φήμης τοὺς πορρωτέρω περιβομβεῖν, οὔτε πολλῷ μάλιστα νῦν ὅτε ἀπεσβήκαμεν καὶ τεθνήκαμεν, καὶ τῆς αὐλῆς Κυρίου ἐξωσθέντες ὡς σκεῦος ἀπολωλὸς εἰς ἄλλοτε ἄλλας ἐσχατιὰς τῆς Ἑλλάδος παραρριπτούμεθα καὶ ἀπὸ

11. *εἰς* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *ες*.— 13. *ὅτε*.— 15. *παραθέμεθα*.

ροδ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 160,6 - 161,6.

20. ‖ Κώδ. 161,α.— 24. *παραριπτούμεθα*.

Digitized by Google

καρδίας τῶν συνήθων μικροῦ πάντων ἐπιλελήσμεθα ὡςεὶ νεκροί. 2. Πόθεν οὖν ἐπῆλθέ σοι, λογιώτατε ἀνδρῶν, περὶ ἡμῶν τοιόνδε τι φαντάσασθαι; Ποῖον ἡμέτερον ἀπολάμπρυσμα περιαστράψαν διὰ τοσοῦδε ἀπέστραψε; Τίς δέ σε ὡς φῆς φήμη καρδιώσασα τοσοῦτον ἐπανεπτέρωσεν, ὡς ποθεῖν μὲν ἀπόντας, δυςχεραίνειν δὲ ἄλλως καὶ ἀσχάλλειν ὅτι μὴ ῥᾴδιόν σοι καὶ σωματικοῖς ὄμμασιν ὄψεσθαι; Τίνα δὲ καὶ ἰδεῖν ἠράσθης, ὦ θαυμάσιε, ἄνθρωπον, τοῦ ποτὲ Ἀθηνῶν ἀμυδρὸν εἴδωλον, ἄνθρωπον, ὃς, ἐν οἴκῳ Κυρίου πεφυτευμένος ἦν ὅτε, εἰ καὶ μὴ καρπῷ βρίθειν, φύλλοις γοῦν ἐδόκουν κομᾶν. 3. Νῦν δὲ ἀλλ' ἐκεῖθεν ἐκβοθρευθεὶς παρὰ τῆς ἰταλικῆς ἐριώλης καὶ ὧδε κἀκεῖσε ῥιπταζόμενος, τελευτῶν ἄρτι δεῦρο κεῖμαι γεράνδρυον αὖον πάντη καὶ ἄφυλλον, ῥικνὸς μὲν τὸ σῶμα καὶ βαρὺς καὶ μόνον οὐκ ἀκινητίζων, νωθρὸς δὲ τὸν νοῦν καὶ ἀμβλὺς καὶ πεπηρωμένος τὸ τοῦ λόγου γόνιμον. 4. Ἥ τε γὰρ φυσικὴ νόσος· οὕτω γὰρ τὸ γῆρας ὁρίζονται οἱ σοφοὶ, ὥςπερ καὶ τὴν νόσον γῆρας ἐπείσακτον· καὶ ἡ τῶν περιστατικῶν ἐνδελέχεια οὐχ ὅπως τὴν πηλίνην ταύτην ἐφολκίδα πάντων τῶν πρεσβυτικῶν συμπτωμάτων ἐμπέπληκεν, ἀλλὰ καὶ αὐτὰς τὰς ψυχικὰς δυνάμεις διελωβήσατο, ὡς καὶ τὸν πολυτίμητον νοῦν καὶ καθ' ὃν ἐσμεν οἱ ἄνθρωποι ἄνθρωποι καὶ εἰκόνες θεοῦ· ἐγγηράσκειν γάρ φασι τῷ Τιθωνῷ· κινδυνεύειν ἀδαῆ γενέσθαι εἴτ' οὖν ἄνουν, ἵν' οὕτως ἐρῶ, ὡς ὧν μὲν ἤδη μεμάθηκε λανθανόμενον, πρὸς ἃ δὲ μήπω κατείληφε δυςμαθαίνοντα.

5. Τοιοῦτον γὰρ τὸ ἔσχατον γῆρας, Μνημοσύνης μὲν, ἣν Ζεὺς συνιὼν τὰς Μούσας γεννᾷ, τὸ παρ' ἅπαν ἀπόστροφον, λήθῃ δὲ καὶ λίαν ἁλώσιμον. Τάχα γὰρ ὡς τῷ τοῦ Ἅδου ἤδη προσέρπων οὐδῷ καὶ τοῦ ἐν ἐκείνῳ θρυλουμένου ληθαίου πόματος ὀσφραίνεταί τε καὶ παραγεύεται, ἢ μᾶλλον ὡς ἀναδυόμενον ἀποδοῦναι τὸ χρεὼν ἡ δανείζουσα φύσις τῆς ἀγνώ-

2. *ἐπῆλθε*. — 3. *τοιόνδε*. — 11. *εριώλης*. — 21. *ὃν ἐσμὲν*. — 27. *παράπαν*.— 29. *θρυλλουμένου*.

Digitized by Google

μονος μελλήσεως δίκην εἰσπράττεται καὶ οὐχ ὅπως ὄργανα σώματος ἐνεχυράζει, ὄψιν, ὀδόντας καὶ ἀκοὴν, ἀλλά γε καὶ τῆς ψυχῆς τὸ εὐμαθὲς καὶ μνῆμον καὶ γόνιμον· καὶ οὕτως τὸν παροιμιαζόμενον δὶς παῖδα παλινδρομεῖ ὁ χρονικαῖς λήμαις ἀμβλυωπῶν διὰ τὸ κορωνόβιον. 6. Καὶ τί χρὴ πάσας τὰς τοῦ γήρως κῆρας ἐκτραγῳδεῖν, ἃς παλαιός τις συνελὼν βαρύτερον Σικελίας τὸ γῆρας ἔφησεν, ἣν παρὰ τοῦ Διὸς ἑνὶ τῶν ἐπαναστάντων αὐτῷ γιγάντων, τῷ Ἐγκελάδῳ, ἐπιτεθῆναι μῦθος βούλεται, οὗ καὶ τὸ αἰτναῖον πῦρ ἄσθμα εἶναι τερθρεύεται;

7. Οὔκουν ἐχρῆν σε ζητεῖν τὸν οὕτω διακείμενον ὄψεσθαι. Οὐ γὰρ ἄν τι τῆς αὐτοπτήσεως ὄναιο, ὅτι μὴ καὶ προζημιωθείης. Ἴσως οὐδὲν μὲν σεμνὸν ἢ κερδαλέον ἐς ψυχὴν εὑρὼν, ἐκεῖνα προαχθῆς καθ' ἑαυτὸν παραφθέγξασθαι «ἐψεύσμεθα τῶν ἐλπίδων· οὐδέν εἰσιν οἱ σαπροὶ καὶ οὐδὲν ἱερὸν», τοῦθ' ὅπερ Ἡρακλῆν φασιν εἰπεῖν ἰδόντα καὶ φαυλίσαντα εὐτελὲς Ἀδώνιδος ξόανον. 8. Σὺ δ' ἀλλὰ καὶ γράμμα ἐγχαραχθῆναί σοι προσλιπαρεῖς. Ἐραστὴς γὰρ ὢν τοῦ κατ' ἀρετὴν καὶ λόγον ἀκηράτου κάλλους ἀτεχνῶς ἐκεῖνα φθέγγῃ ἅπερ ὁ ἐν τῷ Ἄσματι ‖ τῶν Ἀσμάτων λέγων «δεῖξόν μοι τὴν σὴν ὄψιν, κατακούτισόν μοι τὴν φωνήν σου, ὅτι ἡ φωνή σου ἡδεῖα καὶ ἡ ὄψις σου ὡραία». 9. Ἀλλ' ἡμεῖς γε, ὦ μακάριε, οὐκέτι τοῦ ὁρᾶσθαι ὡραῖοί ἐσμεν, ἀλλὰ μᾶλλον τοῦ ἐκκαλύπτεσθαι κατ' ἐκεῖνον τὸν ὀλοφυρόμενον «ἐκάλυψεν ἐντροπὴ τὸ πρόσωπόν μου»· οὔτε μὴν φωνοῦντες ἡδύ τι καὶ κνῆθον τὴν ἀκοὴν ἄδομεν, ἀλλ' εἴποτέ τι ἀναγκασθῶμεν φθέγξασθαι ἐκμελὲς ἄδομεν καὶ οἷα τὰ γοερὰ καὶ θρηνώδη τῶν ὀλολυγόνων καὶ ἀλκυόνων ἄσματα, ἀμφότερον, οἷς τε τὰ τῆς θείας ἀπειλῆς καὶ ἡμῖν ἐφήρμοσται λεγούσης «μεταστρέψω τὰς ἑορτὰς ὑμῶν εἰς πένθος καὶ τὰς

1. *μελήσεως*. — 10. *τερθρεύεται*. — 15. *εἰσὶν*. — 20. ‖ Κώδ. 161,6. *δεῖξον*.— 23. *ὡραῖοι ἐσμὲν*. — 24. Ἐν τῇ ὥᾳ πῃ, ἤτοι πάλιν γεγραμμένον τῇ ἰδίᾳ χειρὶ τὸ τέλος τῆς λέξεως *ἐντροπὴ*.

Digitized by Google

ᾠδὰς εἰς θρῆνον» καὶ οἷς ὁ τοὺς φθόγγους τοῦ λόγου ἁρμότ-
των νοῦς, τῷ τε χρόνῳ καὶ τοῖς ἀβουλήτοις ἐκκαμών, ὡς
ἔφθημεν εἰπόντες, παρὰ μέλος ψαλάττει καὶ ἄρρυθμα. Αἱ τα-
ραχαὶ γάρ φησιν αἱ τῶν φρενῶν παρέπλαγξαν καὶ σοφόν.
10. Μαρτυρεῖ τοῖς λεγομένοις τὸ γράμμα τουτὶ ὅπερ σὺ 5
μὲν ἤλπισας δέξασθαι ὡς θείαν τινὰ ἐπῳδὴν καὶ ψυχῆς ἰα-
τρείαν καὶ οἷον ὁ Σωτὴρ τῷ δυνάστῃ τῆς Ἐδέσσης ἀπέ-
σταλκεν, αὐτὸ δὲ αὐτόθεν φανερὸν ὁποῖόν ἐστι. Δέδοικα δὲ μὴ
κἀνταῦθα οὐχ ὅπως οὐκ ἰαθῇς παρὰ τοῦ ἐπῳδοῦ, ἀλλὰ καὶ
βληθῇς καὶ ἐπεὶ τὰ δοκηθέντα σοι οὐκ ἐτελέσθη σχετλιάσεις 10
ὡς παρ' ἐλπίδος ἀπατηλῆς φενακισθεὶς καὶ παρὰ βρυόντων
ἕλκεσιν αἰτησάμενος ἕλμα. 11. Σὺ μὲν γὰρ υἱὸς ὢν τῆς με-
γίστης τῶν ἐκκλησιῶν καὶ μητρὸς, ἐν ᾗ καὶ διδασκαλικοῦ
βατῆρος ἐπιβὰς μετέωρος ἐλπίσιν ἵστασο προβαίνειν τοῖς ἀνω-
τάτω, εἶτ' ἐκεῖθεν μεταναστεύσας καὶ ὀρφανισθεὶς, ἀλγεῖς 15
δήπου καὶ ἀλγῶν νοσεῖς· λύπη γὰρ εἴπερ τι ψυχῆς νόσημα·
καὶ νοσῶν ἔλαβες ἀπαλλαγὴν ζητήσας παρὰ τοῦ ταὐτά σοι
νενοσηκότος ἢ καὶ χείρονα, παρ' ὅσον τὸ φιλτάτης γυναικὸς
ἄκοντα διαζευχθῆναι, ὑπὲρ ἧς καὶ τοὺς τεκόντας χαίρειν ἐῶσιν
ἄνθρωποι, τοῦ μητρὸς ἀποσπασθῆναι ὀδυνηρότερον. 20
12. Οὕτω σοι καὶ τὸ παρὰ τῆς ἡμετέρας φωνῆς ἔπασμα,
εἰ καὶ τυχὸν οὐ προσθήσει ἐπὶ τὸ ἄλγος τῶν τραυμάτων σου,
ἀλλά γε πάντως εἰς κενὸν οἰχήσεται ὡς γραϊδίου ληροῦντος
ψιθύρισμα, εἰ μὴ ἄρα σὺ ὡς ἀγχίνους ἀνὴρ καὶ σοφὸς τὸ ἡμέ-
τερον ταὐτοπαθὲς εἰς οἰκεῖον σεαυτοῦ μετασκευάσεις ἕλμα. 25
Κοινωνία γὰρ συμφορῶν μέγα ψυχῆς φάρμακον καὶ ὡς τὸ
ζητεῖν τὸν συλλυπούμενον καὶ οὐχ εὑρίσκειν ὀδύνης ἐπίτασις,
οὕτως τὸ ἔχειν τὸν συναλγοῦντα οὐ φαύλη τοῦ πιέζοντος ἄνε-
σις. 13. Ἂν οὕτως ἐκδέξαιο τὰ τοῦ γράμματος, τὸ ἐν αὐ-
τοῖς τραγῳδικὸν εἰς ἰατρικὸν δή που μεταβαλεῖς καὶ τοὺς σχε- 30
τλιασμοὺς οὐκ οἰμωγὰς νομίσεις ἀγεννεῖς, ἀλλὰ δραστηρίους

6. *τιὰ*.— 11. *παρα*.— 16. *εἴπέρ*.— 17. *ταυτὰ*.— 18. *παρόσον*.— 25. *ταυτοπαθὲς*.

www.libtool.com.cn

Digitized by Google

ἐπῳδάς. Ναὶ καὶ εἴης οὕτως τῆς ἡμετέρας φωνῆς ἐπακηκοὼς καὶ γοητευθεὶς καὶ πρὸς τὸ εὐφορώτερον μεταβαλὼν, ἵνα μὴ πάντη τῆς ἐλπίδος διαμαρτὼν ἀνιαρότερον διατεθῇς.

www.libtool.com.cn

ροε'. Τῷ Ναυπάκτου κῦρ Ἰωάννῃ.

1. Ἥκω νεκρῶν κευθμῶνα καὶ σκότου πύλας λιπών· εἰ γὰρ καὶ παῖδες ἰατρῶν ἡμιπληξίᾳ πεπληγέναι μέ φασιν, ἀλλὰ τῷ ὄντι ὅλος ἐπλήγην ὡςεὶ χόρτος καὶ ἐξηράνθη ἡ καρδία μου. Τί γὰρ τῶν ζώντων διχασθὲν καὶ ἡμίνεκρον γεγονὸς ἔτι ζῆν ἀνέχεται; Διὰ τοῦτο καὶ ἐγενήθην ὡςεὶ νεκρὸς ἀπὸ καρδίας τῶν τέως φιλούντων κατὰ θεόν· τοῖς γὰρ πολλοῖς ἐτεθνήκειν πάλαι ποτέ. 2. Σὺ δὲ, εἴπερ τις κατὰ θεὸν φιλεῖς, πῶς ἐκ γειτόνων οἰκῶν οὐκ ἤκουσας ἢ ἀκούσας οὐκ ἐπέστραψαι θνησκόντων ἡμῶν, ὥςπερ φασὶ τοὺς παρ' ὑμῖν Δωδωναίους Σελλοὺς δοῦπον ἀκούειν πόντου Ἰκαρίοιο; Ἦ τάχα καὶ σὲ πόνος ἄλλος ἤπειγεν ἀληθῶς παρὰ τῶν δυσκόλων τοῦ καιροῦ, ὑφ' ὧν κἂν τις ἑαυτὸν ἐπιλήσαιτο; Ἀλλὰ τοῦτο μὲν συγγνωστὸν, οἶμαι, παντί· ὁ δὲ ἡμέτερος θρεπτὸς καὶ μαθητὴς καὶ συναπόδημος τῆς ἐνεγκούσης αὐτὸν ‖ καὶ λαχούσης ἐμὲ καὶ οὐκέτι μεθ' ἡμῶν οἷός τε ὢν συζῆν ὧδε συνεσταλμένων· ἡ γὰρ πατρὶς ἀσεβῶν χώρα ἀπετελέσθη βαρβαρωθεῖσα· ἔγνω πάλαι μεταναστεῦσαι ἐπ' ἀλλοδαπήν. 3. Βουλὴ γοῦν ἡμετέρα πρὸς τὸν ὑμέτερον κόσμον, ἐλεύθερον ἔτι Χριστοῦ χάριτι διατηρούμενον, μετασχηνῶσαι, καὶ ἀξιῶ τὴν ἐν Χριστῷ ἀγάπην σου συστῆσαι τῷ ἐν Κυρίῳ ἠγαπημένῳ κυρίῳ μου αὐθέντῃ τῷ μεγαλουργῷ Δούκᾳ, εἰ τέως ἐγγύς που τῆς κατὰ

ροε'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 161,δ - 162,α.

5. *με φασὶν.*— 10. *πάλαι ποτε. εἴπερ.*— 15. *ἑαυτο.*— 16. Ἀπέναντι τοῦ τελευταίου στίχου τοῦ φ. 161,δ *συγγνωστὸν - αὐτὸν* ἐν τῇ ὥρᾳ γέγραπταί τι διεζεσμένον καὶ δυσανάγνωστον. — 17. ‖ Κώδ.162,α.— 18. *ὧδε.*— 19. *ἤ τε χῶρα.*— 20. *βουλῇ.*

Digitized by Google

σὲ τύχοι σκηνούμενος, εἰ δ' οὖν ἀλλ' ἐν γράμματι σῷ ὑπερλαλῆσαι ὡς ἐμοῦ φοιτητοῦ καὶ ἀξίου τυχεῖν τόπου καὶ προσπαθείας οἵας δεῖ. 4. Ἱκανὸς γὰρ ἐν πᾶσι καὶ δυνατὸς ἐν ἔργῳ καὶ λόγῳ ὁ ἀνὴρ καὶ πιστὸς καὶ εὐσύνετος· καὶ πείρᾳ μαθὼν αὐτὸς ὁ κρατῶν, σοὶ χάριτας μᾶλλον ὁμολογήσει τῆς τούτου προσαγωγῆς ἢ σὺ αὐτοῦ τῆς τοῦδε περιχαροῦς δεξιώσεως. Εἴη μοι θεὸς ἵλεως διὰ τῶν σῶν ἁγίων εὐχῶν.

ροτ'. Τῷ Τορνίκῃ κῦρ Εὐθυμίῳ.

1. Βαβαὶ τοῦ φθέγματος, βαβαὶ τῶν χαρίτων ὅσας τὸ ἀνηγμένον τοῦ λόγου εἰς ἕνα κεστὸν συνήρμοσε. Πρὸς οὖν τοιαύτας χάριτας ἔδει με τὸ στόμα ἐκεῖνο ἀναλαβεῖν καὶ ἀντιφθέγξασθαι ὅμοια. Ἀλλὰ ποῦ μοι τὰ τῆς φωνῆς, ποῦ μοι τὰ τῆς μνημοσύνης καὶ ἄλλο εἴ τι οἶδε συνεισφέρειν εἰς τὴν τοῦ λόγου συντέλειαν; 2. Πάντα ἀπόλωλε καὶ διέφθορεν· ὡς ἔοικε γὰρ, ὁ θεὸς οὐκ εἰς ἀξίαν ποινήν μοι νενόμικε τὸ ἀπογυμνῶσαι ἱερωσύνης, τὸ ἐξῶσαι θείου ναοῦ καὶ τῶν θησαυρῶν τοῦ ἱεροῦ καὶ ἀποξενῶσαι κλήρου θεοῦ, ἀλλὰ καὶ τὰ λείποντά μοι φυσικῶς προσαφῄρηται, φθέγμα φημὶ πρέπον τῇ κατ' ἐμὲ ἡλικίᾳ καὶ κεκοσμημένον πολυπειρίᾳ, εἴασε δὲ μᾶλλον νηπιῶδες καὶ ψελλιζόμενον καὶ μηδ' ἔχειν εὐχερῶς στέλλειν τοῖς ἀγαπῶσι τὰ προσήγορα. 3. Τοιούτοις οὖν οὖσιν ἡμῖν σύγγνωτε, ὦ φίλοι, τῆς ἀγραφίας καὶ μόνον εὑρίσκοντες ἐκ τῶν ὧδε πρὸς ὑμᾶς ἥκοντας πυνθάνεσθε πῶς ἄρ' ἔχω, καὶ ὁ Κύριος εἴη μεθ' ὑμῶν.

ροτ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 162, α.

22. ὧδε.

Digitized by Google

ροζ'. Τῷ Βερεβόῃ κῦρ Νικηφόρῳ.

www.libtool.com.cn

1. Ζητεῖς, ὦ φίλη μοι ψυχὴ, παρ' ἡμῶν γράμματα, δι' ὧν τὰς ἐμὰς νόσους ἔχεις μαθεῖν καί τι παραμύθιον ἐπὶ ταῖς σαῖς συμφοραῖς εὕρασθαι. Ἴστω δὲ ἡ σὴ ἀγάπη, τὰ μὲν τῆς νόσου μεγάλης δεῖται τραγῳδίας πρὸς τὸ λεπτότερον διηγήσασθαι, πρὸς δὲ τὸ ἄλλοις παραμύθιον ἐπάγειν αὐτὸς μᾶλλον ἄλλων δέομαι. 2. Τό τε γὰρ μνημονευτικὸν καὶ τὸ ὀρθολεκτικὸν ἀπέσβη τὸ παράπαν, ὃς καὶ ταῦτα βίᾳ γράφειν ἀναγκάζομαι καὶ διὰ τὸ σὸν συνεχὲς τῶν γραμμάτων, νομίζοντος, ὡς ἔοικεν, ὡς ἐκεῖνός εἰμι ὁ πάλαι Ἀθηνῶν. Οὐκ εἰμὶ δέ γε, ἀλλ' εἴδωλον ἀμαυρόν. Μὴ γοῦν ὡς ὑπερόπτας ἢ ἐπιλήσμονας τῆς σῆς ἀγάπης ὑπολάμβανε, ἀλλὰ συγγνώμην ἔχε. Εἴης ἐρρωμένος ψυχῇ τε καὶ σώματι.

ροη'. Τῷ καθηγουμένῳ τῆς μονῆς τοῦ ἁγίου Μελετίου κῦρ Ἰωαννικίῳ.

1. Τί ἐμοὶ καὶ τῷ θειοτάτῳ Ἰὼβ, χαριεστάτη ψυχὴ καὶ τοῦ παντὸς ἀξία μοι κεφαλή; Ἐκεῖ πύρωσις ἦν ἵνα ἀναφανῇ δίκαιος ὁ δίκαιος, ὡς ὁ χρηματίζων φησὶ θεός· ἐνταῦθα ἐν ἐλεγμοῖς ὑπὲρ ἀνομίας παιδεύεται ἄνθρωπος καὶ ἐκτήκεται τὴν ψυχὴν αὐτοῦ ὡς ἀράχνη. 2. Ἀλλὰ πῶς ἂν διηγησαίμην τὴν κατασχοῦσαν τηκεδόνα καὶ τὰ ἐντεῦθεν συμπίπτοντα ἀνιαρά; Σοφὸς ἄρ' ἦν ὁ πρῶτος ἡμίξηρον τὸ πάθος ἐπονομάσας. Καὶ παλαιὸς μέν τις σοφὸς ὅλην τὴν ψυχὴν

ροζ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 162,α.

8. *τὸ σὸν συνεχὲς.*— 9. *ἐκεῖνος εἰμὶ.*

ροη'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 162,α - 162,β.

15. *ἐνταῦτα.*

Digitized by Google

νεκροφόρον ὠνέμασεν οἷς ἀνέχεται διαβαστάζειν τὸ σῶμα, θνητὸν ὂν φύσει· τὸ δὲ καθ' ἡμᾶς πάθος τὸ ἓν σῶμα μερισθὲν εἴς τε ἔμψυχον καὶ εἰς τὸ παρὰ φύσιν αὐανθὲν ἀναγκάζεται παρὰ φύσιν νεκροφορεῖν, καὶ τὸ παράδοξον, τὰ μὲν δεξιὰ, ἥ τε χεὶρ καὶ ὁ πούς, ἀργοῦσι παντελῶς, τὰ δὲ λαιὰ ἐξυπηρετοῦσιν εἰς τὰ ἀναγκαῖα κατ' ἀνάγκην.

3. Οὕτως οὖν ἔχων, ἵνα τὰ παρακολουθοῦντα σιωπῶ, πῶς ‖ ἔδει με κατὰ τὰ ἀρχαῖα ὁμιλεῖν καὶ προσφθέγγεσθαι τὴν θεσπεσίαν ἐμοὶ ψυχήν; Σύγγνωθι γοῦν ὅτι μηδὲ τὸ φθέγμα φυσικῶς προάγειν δύναμαι. Μόνον εὐχαῖς ὑποστήριζε, ἵνα μὴ καταποθῶμεν ὑπὸ τῆς λύπης, ἀλλ' ἐν εἰρήνῃ τὸ πνεῦμα παραδώσωμεν. Ἡ ὑπὸ τὴν σὴν τελειότητα ἀδελφότης προσειρήσθω μοι. Ὁ Κύριος εἴη μετὰ σοῦ.

ροθ'. Τῷ βασιλεῖ τῷ Λάσκαρι τῆς Ἀνατολῆς.

1. Τολμηρῶς ἀναφέρω, δέσποτα κύριέ μου καὶ βασιλεῦ, εἰς τοὺς αἰῶνας ζῆθι. Σοὶ γὰρ τοῦτο προσῆκον ἐπεύχεσθαι μᾶλλον ἢ παρὰ τῷ Δανιὴλ Δαρείῳ τῶν Περσῶν βασιλεῖ. Σὺ γὰρ ἐταμιεύου παρὰ τῆς ἀνωτάτω Προνοίας ἐπὶ τὴν καθ' ἡμᾶς γενεὰν τὴν ἐκ χειρὸς Κυρίου πιοῦσαν ποτήριον θυμοῦ, ἵνα τὸ σὸν κράτος ὑπερασπίζηται καὶ ὑπερμάχηται τοῦ αὐτόθι κόσμου ὅνπερ ἐφύλαξε διὰ σοῦ ἐλεύθερον δουλείας ἰταλικῆς· καὶ μακάριος σὺ ὅτι ἀνταπέδωκας τὸ ἀνταπόδομα ὃ ἀνταπέδωκεν ἡμῖν ἥ τε ἰταλικὴ σύγκλυς πανσπερμία καὶ πρὸς τούτοις ἡ περσικὴ εἴτ' οὖν ἀποικία σκυθικὴ, ἣ τοῖς Ἀσιανοῖς κακὴ παρενάσσατο γείτων· ὧν οὐδετέρᾳ μοίρᾳ προσέβαλον εὐθαρσῶς οἱ πρὸ σοῦ βασιλεῖς. 2. Ἀλλ' οὐ μόνον

4. *εἴτε*. — 5. *πούς* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *ποῦς*. — 8. ‖ Κώδ. 162,6.— 11. *κατἀποθῶμεν*.

ροθ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 162,6 - 163,α.

17. *ἀρωτάτου*.

Digitized by Google

λέγω τοὺς προσεχῶς πρὸ σοῦ βασιλεύσαντας ἕνα ἢ δύο, ἀλλὰ καὶ τοὺς διαδεξαμένους τὴν βασιλείαν ἀπὸ πατέρων καὶ προγόνων, οἳ παρέλαβον μὲν ὅλην τὴν ἐπικράτειαν τῆς ῥωμαϊκῆς ἀρχῆς μεθ' ὅπλων μυρίων καὶ συγγενείας ἀμυθήτου καὶ στρατοπέδων ἀναριθμήτων καὶ θησαυρῶν ἀποκρύφων, οὐδὲν δὲ τῆς τοσαύτης παρασκευῆς ἄξιόν τι κατώρθωσαν, ἀλλ' ὥσπερ ὑποτελεῖς καὶ τοῖς ἐτησίοις φόροις τὴν εἰρήνην ὠνούμενοι ἐν τῇ Κωνσταντινουπόλει ἐπανηγύριζον μακροῖς ἔτεσι καὶ ἱπποδρομίαις ἀνεπόμπευον. 3. Ὕστερον δέ ποτε ὁ μακαρίτης κῦρ Μανουὴλ ἐτόλμησεν εὐθὺ τῆς πρὸς τὸ Ἰκόνιον φερούσης ἅψασθαι. Καὶ τί λέγειν τὰ ἐντεῦθεν συμβάντα; Ἐκεῖνο γὰρ καὶ μόνον εἰπεῖν ἀρκεῖ, ὅτι ὃν ἐπεσύρετο μυρίον ὄχλον ἐν τῇ ἐκεῖ που φάραγγι κατέστρωσε καὶ αὐτὸς ἀντεστράφη μετ' αἰσχύνης οὐ φορητῆς. Ὅθεν δοκῶ μοι καὶ χάριτας ὁμολογεῖν σοι τὴν ἁγίαν ἐκείνου ψυχὴν ὅτι πλείους τῶν τότε πεσόντων οὐ μόνον διὰ τῶν σῶν χειρῶν ἀντικατέστρωσας πολεμίους, ἀλλὰ καὶ αὐτὴν τοῦ δυνάστου τὴν κεφαλὴν ἀπέκοψας. 4. Καί μοι ἔπεισιν ἐλευθέρως εἰπεῖν ὃ φρονῶ καὶ παραιτοῦμαι τὴν Νέμεσιν· οὐδένα τῶν βασιλέων τῶν ἐπὶ τῆς Πόλεως βασιλευσάντων ἰσοστάσιόν σοι νομίζω, ἀλλ' ἐν μὲν νεωτέροις τὸν μέγαν Βασίλειον τὸν Βουλγαροκτόνον, ἐν δὲ τοῖς ἀρχαιοτέροις τὸν γενναῖον Ἡράκλειον. Οὗτοι γὰρ μόνοι μέχρι μακροῦ τοὺς πολεμίους κατηγωνίσαντο καὶ τὰ μέγιστα τῶν ἐθνῶν δουλωσάμενοι ἀήττητοι διαμεμενήκασι. 5. Καί τοι σὺ μὲν, τὸ παραδοξότατον καὶ πλὴν τῶν εἰδότων ἄπιστον, οὐ βασιλείαν διεδέξω, οὐχ ὅπλα, οὐ θησαυρούς, οὐ στρατόπεδα, ἀλλὰ γυμνὸς ὑπεξῆλθες τῆς πόλεως φρονήσει μόνῃ καὶ γενναίῳ φρονήματι καθωπλισμένος, καὶ πολίχνης μιᾶς ἐπιβὰς ἐκεῖθεν ἀντεπεξήεις τοῖς πολεμίοις καὶ, τὸ γραφικὸν εἰπεῖν, αὐτὸς ὡς τεῖχος πυρὸς κυκλόθεν τοὺς ἐναντίους ὑπέφλεγες, οὐκ Ἰταλοὺς μόνους, ἀλλὰ καὶ Πέρσας. 6. Ὡς εἰς μίαν γὰρ ὁμαιχμίαν ἐληλυθότας κατὰ σοῦ τοῦ

16. *ἀντεκατέστρωσας*. — 29. *ἐπιβᾶς*.

www.libtool.com.cn

Digitized by Google

Χριστοῦ Κυρίου καὶ ὡς ἐν δικτύῳ μέσον περιειληφότας, αὐτὸς οὐκ ἐδειλίασας, ἀλλὰ μετὰ τοῦ Δαυὶδ ἔψαλλες «πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς».

www.libtool.com.cn

7. Ταῦτα τὰ θαυμαστὰ κατορθώματα καὶ διηγήματα καὶ ἔτι τὸ παρὰ πάντων ἐλπιζόμενον καὶ εὐχόμενον, τὸ ἐγκατασταθῆσαι διὰ σοῦ τὸν θρόνον τοῦ μεγάλου Κωνσταντίνου ‖ ἐν τῷ τόπῳ ᾧ ἀρχῆθεν ἐξελέξατο Κύριος καὶ τὴν Πόλιν ὅλην ἐπανασώσασθαι. Τίς γὰρ δικαιότερος σοῦ ἀποκαταστῆσαι ἦν ἐξεναγώγησας πόλιν καὶ βασιλείαν ἣν ἀνωρθώσω κινδυνεύουσαν οἴχεσθαι; Καὶ οἶδ' ὅτι πολλοὶ συγγραφεῖς τὰ παρὰ σοῦ γενησόμενα συγγράψονται καὶ ταῖς μετὰ ταῦτα γενεαῖς παραπέμψουσιν. Ἐγὼ δ' ἐγγὺς τοῦ θανάτου εἰμὶ καὶ οὐκ ἂν ὄψομαι ὃ ἔργον ποιήσῃ θεὸς ἐν ταῖς ἐσχάταις ταύταις ἡμέραις.

8. Ὃς ταῖς πέριξ τῶν Ἀθηνῶν νήσοις εἰς μάτην ἐνδιατρίψας χρόνον μακρὸν, ὡς οὐδὲν ἔγνων ἐπ' ὠφελείᾳ τῆς ἐμῆς ποίμνης γενόμενος, ἆρας ἐκεῖθεν εἰς τὴν μονὴν τοῦ Προδρόμου τοῦ οἰκοδομηθέντος παρὰ τοῦ μακαρίτου Κομνηνοῦ κῦρ Ἀλεξίου κατεσκήνωσα. Καὶ ὁ θεὸς, ὡς ἔοικε διὰ τὰς ἁμαρτίας μου τὰς πολλὰς, ἀπορρίψας με εἰς καιρὸν γήρως καὶ ἐν τῷ ἐκλείπειν τὴν ἰσχύν μου ἐγκαταλείψας με, περιέβαλε δεινῇ ἀρρωστίᾳ. Ἡμιθνὴς γὰρ γέγονα, ὅπερ οἱ ἰατροὶ ἡμίξηρόν φασι.

9. Καὶ τί χρὴ λέγειν τἄλλα; Μόνον ἡ ὑπερβολὴ τοῦ ψύχους θανατοῖ με καθ' ἑκάστην, ἣν οὔτε ἀλωπῶν οὔτε λαγωῶν δέρματα, οὔτε ὅσα ἄλλα ἐπιτηδεύουσιν οἱ ἄνθρωποι εἰς θάλψιν παραμυθοῦνται, εἰ μὴ μόνον ἡ θηριακὴ, δι' ἣν τινα ἀπέστειλα πρὸς τὴν ἁγίαν σου βασιλείαν τὸν παρόντα παῖδα καὶ ἡμέτερον δουλευτὴν, ὡς ἂν δι' αὐτοῦ ἐπιπέμψῃς μοι. Σὺ γὰρ ἀντίδοτος θεοδώρητος ἀληθῶς ἐπεδόθης τῷ κόσμῳ, ἵνα τοὺς ναρκώδεις τὰς χεῖρας ζωπυρῇς εἰς ἀνδρείαν καὶ τοὺς ἄλλως πενίᾳ πιεζομένους ἀναθάλπῃς καὶ τοὺς δηλητηρίῳ οἱῳδήτινι

7. ‖ Κώδ. 163,α. — 15. τὰς. *νήσους. διατρίψας.*— 22. *ἡμίξηρον φασὶ.*— 24. *καθεκάστην. ἀ.λωπῶν.*

Digitized by Google

κινδυνεύοντας εἰς ζωὴν ἐπανάγῃς. Κἀμοὶ γοῦν τὴν λεγομένην θηριακὴν ἀποστείλας ζωώσεις με κινδυνεύοντα. 10. Εἰ δὲ καὶ λαγωὸν λευκὸν, ὁποίους ἡ Ῥωσία κατάγει εἰς τὴν μεγαλόπολιν, σὺν τῇ θηριακῇ ἀποστείλῃς μοι· ταύτην γὰρ λέγουσιν οἱ ἰατροὶ διαφερόντως θερμαίνειν· μέγα ἂν βοήθημα ἐπορέξῃς μοι. Καὶ ἵνα πάλιν τὸ κατ' ἀρχὰς ἐπεύξωμαι, εἰς αἰῶνας ζῇθι, βασιλεῦ Ῥωμαίων, καὶ δῴη σοι θεὸς τὰ αἰτήματα τῆς καρδίας σου καὶ πᾶσαν τὴν βουλήν σου πληρῶσαι εἰς καύχημα Ῥωμαίων ἀεὶ νικῶντα· τοῦτο γὰρ βούλομαι καὶ εὔχομαι «αἰὲν ἀριστεύειν καὶ ὑπείροχον ἔμμεναι ἄλλων»· καὶ πολυχρόνιον διαφυλάττοι τὸ ἔνθεον κράτος σου.

www.libtool.com.cn

ρπ'. Τῷ μεσάζοντι αὐτοῦ τῷ Τορνίκῃ κῦρ Δημητρίῳ.

1. Φεῦ τῆς ἀπάτης ἣν ἠπατώμην ἐπὶ τοσοῦτον παρὰ τὸ τῆς θείας Γραφῆς ἐπάγγελμα. Ἡ μὲν γὰρ τὸν δίκαιον ἄνθρωπον «εἰς μνημόσυνον αἰώνιον ἔσται φησὶ, καὶ δυνατὸν ἐν τῇ γῇ ἔσται τὸ σπέρμα αὐτοῦ». Ἐγὼ δὲ τὸν μέγαν λογοθέτην τὸν θεῖον Τορνίκην εὖ εἰδὼς ἐν πάσῃ δικαιοσύνῃ πολιτευσάμενον καὶ ἐν κλήρῳ τῶν ἁγίων τεταγμένον, ᾤμην οὐδένα κληρονόμον τῆς ἐκείνου ἀρετῆς καταλελοιπέναι, τοῦ λαμπροτάτου ἐπάρχου καὶ θαυμαστοῦ κυροῦ Κωνσταντίνου τοῦ ὄντος κόσμου τῶν βασιλείων καὶ εἰκόνος ἐμψύχου τῆς ἐκείνου ἀρετῆς· ὢ τῶν ἐμῶν κακῶν· ἔργον γενομένου Σκυθῶν, τοῦ δ' αὖ ἀρχιποίμενος τῶν Παλαιῶν Πατρῶν καὶ ἄλλου ὑπερφέροντος κόσμου τῆς ἱερᾶς συνόδου οὐκ οἶδ' ὅπως καὶ αὐτοῦ γενομένου ἐκ μέσου. 2. Ὡς γοῦν οὐδὲ μνεία ἦν οὐδαμοῦ σπέρματος διαδόχου τοῦ μεγάλου Τορνίκη, ἐστέναζον κατ'

4. *ἐπιστειλεις.*

ρπ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 163,α - 163,β.

Digitized by Google

ἐμαυτὸν καὶ κατὰ τὴν θείαν Γραφὴν ἐνενόουν ὡς ἠπάτημαι. Ἐπεὶ δὲ φήμη τις ἀγαθὴ περιεβόμβησέ μου τὰς ἀκοὰς, ὡς ἔγγονός τις τοῦ μεγάλου Τορνίκη παρὰ τῷ ἁγίῳ βασιλεῖ τῷ Λάσκαρι μεγάλα δύναται καὶ τῆς ἀρετῆς τῆς πατρικῆς καὶ παππῴας κατ' ἴχνη πορεύεται, ἐπανῆλθον εἰς ἑαυτὸν καὶ τῆς ἀπάτης ἣν ἠπατώμην κατέγνωκα καὶ τὰς ἐπαγγελίας τὰς γραφικὰς τοῦ λοιποῦ σεβάζομαι. 3. Καὶ χαῖρέ μοι, φίλη κεφαλὴ, ὡς νῦν γὰρ πρῶτόν σε ὁρῶ καὶ κατασπάζομαι καὶ περιπτύσσομαι ὡς ‖ εἰκόνα τοῦ θαυμασίου κῦρ Κωνσταντίνου καὶ τοῦ ἀβραμιαίου γέροντος κῦρ Δημητρίου. Οἷς καὶ γίνου ὅμοιος, ἵνα καὶ οἱ μὴ φθάσαντες τὸν γονέα καὶ τὸν προγονόν σου ἰδεῖν ὀφθαλμοῖς αὐτοῖς λέγωσιν ἀληθῶς αἵματος ἀγαθοῦ εἶναί σε ἀπορροήν. 4. Ἐπεὶ δὲ καὶ ἡμεῖς ἐδεήθημεν τοῦ μεγαλουργοῦ βασιλέως εἰς μικράν τινα βοήθειαν τῆς ἀσθενείας ἡμῶν, εἴξαξον τὸν παρόντα παῖδα, ἵνα προσκυνήσῃ αὐτὸν ὡς ἐξ ἡμῶν. Ἐγὼ γὰρ, ὡς ἐν ὀλίγῳ τὸ πᾶν εἴπω, ἡμίξηρος γέγονα καὶ ὑπὸ τοῦ ἀνυπερβλήτου ψύχους ἀποθνήσκω. Καὶ ὁ Κύριός μου φυλάττοι σε ἀπὸ παντὸς πειρασμοῦ, καὶ γένοιο τοῦ πατρὸς εὐτυχέστερος, τὰ δ' ἄλλα ὅμοιος.

1. *τῆς θείας γραφῆς.*—2. *τις.* — 3. *ἔγκονος.* — 7. *χαῖρε.* — 8. *πρῶτον.*—9. ‖ Κωδ. 163,6. —13. *εἶναι. ἀπορροή.*

Digitized by Google

www.libtool.com.cn

ΤΟΥ ΑΥΤΟΥ ΣΧΕΔΟΣ

Εἰ μὴ χρόνιος ἦν ἐν γῇ βαρβάρων ἵνα γ' Ἀθῆναι δ' ὤκουν ἐπὶ πολὺ, αἷ ὡς ἂν ἔδη λόγων ἦν ὅτ' ἐθαυμάζοντο τῆς σοφίας παντοδαπῶν· ἀλλ' οὐκ ἀττικὸν ἀείδει καὶ καθ' ὁμοίωσιν θείαν παρὰ τοῦτο τὸ καθ' ἡμᾶς σοφῶν, ἀγαπητὸν δ' ἂν ἦ εἰ ἡμιβάρβαρον βατταρίζοι, μήτε ἀτεχνῶς οὕτως τὰ κράτιστα τῶν λόγων οὐδὲν πρὸς ἡμᾶς, εἰ καὶ Ἀθηνῶν αὐτῶν τὰ νῦν ἐλαυνόμεθ' ἀττικαὶ ᾠδαὶ τῇδε περιγεγράμμεθα, ὡς δεῦρο ἐρυμνὸν εὑρηκότες φυγαδευτήριον. Πλὴν εἰ καὶ οὕτως ἡγροικίσμεθα, ὦ φιλότης, καὶ πράς γε οὐδόλως σειραῖς καὶ τόμοις σχεδῶν προσανέχειν ὃ δὴ καὶ ἄλλοι φιλόλογοι προὔργου πρώην ἐνόμιζον· μοχθηρὸν γὰρ καὶ καινὸν ἐδόκει μοι τοῦτο γραμματικῆς εἴτ' οὖν ῥητορικῆς κόμμα καὶ ἧσσον πωλῷον ἤδη καὶ ἀρχαίῳ χαρακτῆρι νεοχμωθὲν ὅμοιον, μᾶλλον δὲ λῖνον πω λίνῳ φασὶ σκώπτειν καὶ διασπᾶν σοφιστικὴν σύνθεσιν ὀνομάτων καὶ διαίρεσιν. Ταύτῃ τοι οὐδὲ τῆς καινοτομίας ταύτης ἔγωγε τρίβων ἂν οἶην δεδοκίμακα ἅτε μηδὲ τὴν ἀρχὴν βαδιστέαν μοι εἶναι τήνδε τῶν μεθόδων τῶν λογικῶν, ἀλλὰ καὶ νῦν οὐκ οἶδ' ὅπως καὶ σχεδουργίᾳ χαρίασθαι δὴ ἐπῄει μοι ῥεῖ ἂν ἄλλην κάκωσιν ἐπενεγκοῦσα βαρβάρων ἔφοδος καὶ τῶν ἰδίων ἐπαγγελμάτων σχολὴν ἄγειν παρεδιάσατο. Συγγνώσεσθε γοῦν οἶδ' ὅτι καὶ ὑμεῖς, ὦ φίλοι, εἴπερ καὶ μὴ γεγυμνασμένος ὢν περὶ τοιᾶσδε λόγων ἐμπειρίας εἴδη ἀκονίαστος σχεδουργεῖν ἐπιδέδεγμαι. Οὐ γὰρ ὡς ἐπιδειξόμενος, ἀλλὰ σεμνόν τι σχεδιάσων ποιοῦμαι τήνδε διατριβὴν ὡς ἂν μὴ κα-

Τὸ *σχέδος* τοῦτο περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 177,α - 179,6. Περὶ τοῦ τρόπου τῆς ἐκδόσεως αὐτοῦ ἐνταῦθα ἔπιθι τὴν εἰσαγωγήν.

2. *ἴδη*. — 3. *αττικὸν. καθομοίωσιν*. — 7. *τίδε*. — 13. *πωλίνῳ φασι*. — 16. *μηδὲ*.

Digitized by Google

τηφεῖς ἀεὶ ἥκω μειδίαμ' ἡδίστη ἐσόμενοι γε φυγάδες καὶ πλάνητες ἄνθρωποι. Φιλοῦσι γὰρ οἱ πολλοὶ τοῖς ἐφ' ὁτιοῦν ἀπείρως ἔχουσι καὶ σφαλ || λομένοις ἐφήδεσθαι μέγα ἐπικαγχάζοντες καί θ' ἁπαλὸν γελόωσιν οὐμενοῦν τοῖς τεχνικοῖς καὶ κατ' ὀρθὸν ἐπιβάλλουσιν. Ἐγὼ δὲ ἀλλὰ καὶ ὡς οἷόν τε εὔ- 5
καιρ' ἀνοίσω φασὶ σπουδὴν παιδιᾷ ἀναμὶξ ὠδὶ κατὰ τὸν νῦν κερῶν καὶ ἀνακαλέσομαι πρὸς τὸ εὐθυμότερον τὰ ἡμέτερα· οὕτω δ' ἂν καὶ οἱ ἀπὸ ἀκηδίας ὑπνηλοὶ κάροι ἀθύρμασι τούτοις καὶ νύσταλοι πρᾶοί πω στήσουσιν εἴτε ῥαΐσουσιν. Ἐπεὶ
καὶ τρυφηλῷ ποτε ἔθνει πω Λυδῶν ἀκεσταὶ λιμῶν ἐς ἦμαρ 10
παρ' ἦμαρ καὶ παρήγοροι τρόποι παιγνίων ἐπινενόηντο καὶ Ἅλυς ἐν τούτοις σφαίρης τοι πολλοὶ ἀνδρῶν ἀθύρμασι, τερπόμενοι πολλὰς συνδιέφερον. Ὅ γοῦν ἐκείνοις οἱ πεττοί που τὸ τηνικαῦτα ὡς λόγος ῥέων πολὺς σφαῖραί τε, οὕτω καὶ
ἡμεῖς πάντα νῦν γ' αἱ σχεδῶν ἐμπάσεις συναθύρουσιν ἔμ- 15
μουσα. Εἰς ὅ τι γὰρ ἄλλο ποιησόμεθα τῇ τόσῃ σχολῇ μετὰ βίβλους καὶ προσευχάς, οἷς οὐδὲ τὴν ἀρχὴν ἐπιτέτραπται ὡς πολλοῖς ἄλλοις οἳ κυβειῶν αἰεὶ καὶ ῥαστώνης ἀλλοίας ἀπολαύειν εὔδαιμον νομίζουσι τὸ ἡδὺ καὶ ἀνάλγητον ; Εἰ δὲ τῇ
παιδιᾷ ταύτῃ σπουδὴν ἐπιτείνας καὶ θρῆνον ἐπισυνείρω βρα- 20
χὺν, τάχ' ἂν καὶ οὕτως ἡ ψυχὴ ἡμῶν κουφισθείη γε πρὸς καιρόν τινα, εἰ δὴ ἀνεμέσητον ἐνδομυχούντων ἀνιαρῶν· καὶ γάρ μοι ἡδονὴν νῦν ἄδδην εἴπερ ποτὲ ἐστὶ ἀεῖσαι μνᾶται καὶ τραγῳδικὰ μινυρίσασθαι. Καταγοητεύει γὰρ ἐπίκλαυτον μέλος ψυχῆς ὅτ' ἀντλέει τὰ δύσοιστα καὶ μόνον ἀπωπῶν οὐκ 25
ἀρδεία σταλάττουτα τῶν προσώπων προβολὴ δακρυώδης ἐξοχετεύεται· τῶν πενθικῶν δ' αἶψ ἁλμῶν τουτωνὶ μεταρρυθμιζόμενον ἄλλο γλυκυθυμίας μέλος ὡς τὸ ἔνδον ἐπιρρέει διάδοχον καὶ μετ' ἀδάλ' ἡ εὐχαρὴς τῷ στόματι καὶ τερπομένη φωνὴ περιᾴδεται καὶ τὰ ὦμοι ἃ λέγεται καὶ οὐκ ἄλλο τι ὑπὲρ 30

1. *μειδίαμ'*. — 2. *ἐφοτιοῦν*.— 3. || Κώδ. 177,6. — 4. *γελώοσιν*.— 5. *οἷον*.— 6. *ἀνοίσω*.— 9. *πρᾶοι*. — 11. *ἦμαρ*. — 12. *Ἅλυς*. — 14. *σφαῖραι*. — 23. *εἴ.τέρ ποτε*. — 24. *μινυρίσασθαι*. — 30. *ἀλλό*.

Digitized by Google

εὖγε τε καὶ εἴ τι εὔφημον φθέγγεται. Οὐκοῦν ἐπεὶ καὶ τὰ καθ' ἡμᾶς ξυνῇ εἰσι κεχρημένα συμφορᾷ κυνίδ' ὅτι βάρβαρα γένη λυττῶντα καὶ ψωριῶντα τοῖς ἡμετέροις ἀγαθοῖς ἐπικέχηνεν, ἄγε ξυναυλίαν ἐλεεινὴν ἁρμοσώμεθα, καὶ μή μοι ἀναβεβλημένως σὸν τῷ γε νῦν μέλ' ἐπιβύ' ὠτίον Θηβῶν καλὲ ποιμήν· ἄρτι καιρὸς τοῦ πενθεῖν, ἀλλ' ἐν τῷ μέρει καὶ σύ τοι ἅδε ἅττα πένθη μοι καὶ οὕτως οἰκτρὸν ξυνᾴδωμεν ἆσμ' αἱ νυὶ ἅτε αἱ πενθοῦσαι ἐπὶ τοὺς ἄνδρας αὐτῶν τοὺς παρθενικούς. Καὶ σὺ μὲν τοῦ σοῦ λάχους ἀπεληλαμένος πόρρωθ' εἰ βεστεῖν ἐὰν εἰκὸς πήσσων ὡςεὶ θρόμβους αἵματος δάκρυον· ἔτι δὲ γόα θεῖνεστήθη μὴ πένθει· σύμμετρα ἴσως γὰρ οὕτω ποτνιωμένων, ἵλεως ἔσται θεός. Ἔτι δὲ κλαιόντων χαροπὸν ἦτορ οἰομένων φοβερῶν ἁρπαγὲν ἔσται τὸ καθ' ἡμᾶς καὶ μεταβάλλον εἰς παράκλησιν οὐ κατὰ τὸν σατυρικὸν κλαυσιγέλωτα ἐν ᾧ μετὰ φεῦγ' ἡ εὖ καὶ εἴ τι ἐπιχαρτικὸν ἕτερον φωνῇ, ἀλλ' ἦ χαρμολύπην κέκληκέ τις ἀσκητικὸς πατὴρ ὅτ' ἠθετηκὼς ἦν καθωμιλημένον ὠνομασμένον. Ἐκείνῳ μὲν γὰρ ἅτε παρὰ δραματουργῶν σκηνικῶς διεσκευασμένῳ ποιητὸν, οὐκ ἐνδιάθετον τό τε κλαῦμα καὶ τὸ χάρμα ἦν. Ἐν ταύτῃ δὲ εἰ δεῖ ἀποιήτων κλαυθμῶν τῇ κατανενυγμένῃ ψυχῇ καὶ ἡδῇ ἀσκηνοβατήτως αὖ τὰ θέλγητρα. Εἶεν· ἡμεῖς δὲ ἀλλὰ τί πρῶτον, τί δ' ὕστατον κλαυσώμεθα οὐ λέγω τῶν κοινῶν καὶ τῆς βασιλίδος πόλεως ποικίλων ἀφανισμῶν, ἀλλὰ τῶν οἰκείων καὶ ἐνδαπῶν; Ἐκεῖνα γὰρ ὑπερεβάλετο οὐ μόνον ὅσα Ἱερεμίας ἐπένθησε καὶ Ὅμηρος ἐρραψῴδησεν, ἀλλὰ καὶ εἴ τι ἕτερον ὡς ἐν συγγραφῇ πολυ‖στίχῳ ἐκτραγῳδεῖ Θουκυδίδης καὶ Ἡρόδοτος καὶ ἱστορίη ὅση πως. Οὔκουν οὐδεὶς ἂν θνητὸς ἀξίως ἐκεῖνα πενθήσειε πλὴν εἰ μή τις φθόγγος οὐρανῶν ὥσπερ δόξης θεοῦ κήρυξ λιγύφθογγος λέγεται εἶναι, οὕτω καὶ συμφορᾶς τοιᾶσδε θρηνῳδὸς μεγαλόφωνος. Οὕτω τάχ' ἂν οἰμώξειε γῆ, ἥλιος, σελήνη καὶ πᾶς χορὸς ἀστέρων, οἱ πόλοι

2. *γένει*.— 12. *δε*.— 13. *μεταβάλον*.—17. *ὀνομασμένον*.— 26. ‖ Κώδ. 178,α.— 29. *κῆρυξ*.

Digitized by Google

πως. Πρὸς τούτοις δ' αἰάξων αὐτὸς ὁ τούτων σύνοχος κινήσεται πρὸς τὸ συναδύρεσθαι, καίπερ μένων ἄλλως ἀκίνητος· οὐ κέντρῳ μοι δοκοῦσιν ἔσεσθαι οἱ κωκυτοί, οὐδὲ αὐτῷ τῷ μεσαιτάτῳ τοῦ παντὸς ἀνεπαίσθητοι. Ἡμεῖς δὲ ἀλλὰ τὰ ἡμῶν αὐτῶν καὶ ταῦτα πρὸς βραχὺ κοψώμεθα, ἃ χθὲς μὲν εἶχε καλῶς πρὶν τὴν ἰταλικὴν ἔφοδον κατειληφέναι εἶθ' ἥβασκε Βοιωτίαν πᾶσαν καὶ Ἀττικὴν δ' ἦν ἔγνων δουλώσασθαι· οἳ καὶ τὸν χρυσῶνα θινῶν κατωρχήσαντο, τῶν ἐόντων ἱερῶν τὸ ἄσυλον διαρπάσασα. Ἡμεῖς δ', αἴ, γεγώναμεν ὥς οἷά τινα σκεύη αὐτόθεν ἄτιμα καὶ ἄχρηστ' ὥς μεθ' ἧ καὶ πρὸς γῆν καταρασσόμενα καὶ συντριβόμενα. Καὶ αὐτοὶ μὲν ἐν μοίρᾳ φυγάδων καὶ οἰκτρὸν ἐπίτονα κλαιόντων κλῆρον ἔχομεν καὶ γενναία δύη, κατὰ τὸν τραγῳδὸν, ἀφικνεῖται οὐκ ἐπιπολῆς ἕρπουσα, ἐπὶ δ' ἧπατ' ἦν γ' αἰεὶ ἀμφιπολεῖν τὰς θείας αὐλὰς οὐ συγχωρούμεθα. Βάρβαροι δὲ ὑβρισταὶ καὶ ἀγέρωχοι τῶν ἡγαπημένων θυσιαστηρίων καὶ σκηνωμάτων Κυρίου κατατρυφῶσιν ἀσελγῶς. Οἷον ἐξήχηται ἄκουσμα, ἁγίων βεβηλώσεις καὶ βόμβημ' ἄττον νειαιρῶν ἐξ οὐδενὸς εἰς τὸ νῦν χρόνων τετολμημένα ἕως ἐσχατιῶν τῆς οἰκουμένης περίπυστοι. Τίς οὐκ ὠδύρατο μαθὼν ὅπως μοιχικοί τινες ἐπιβήτορες παροινοῦσι τῶν καθ' ἡμᾶς πνευματικῶν νυμφῶν ἀφθόρων τε καὶ ὕβριν ἄντικρυς πνέοντες· οἷς οὐδὲν αἰσχρὸν οὐδ' αἰπὺ μνᾶσθαι ἀλλοτρίας καὶ κατηγγυημένας ἑτέρᾳ ἐκκλησίας διαρπάζειν οὕτως ἀναιδῶς. Τίς ἐπὶ τούτοις οὐ σχετλιάζει τῶν ἁπάντων; ὦ συΐδια καὶ κυνίδια φέροντα φύσει μόνον ἀνθρώπων εἴδη βλέπουσιν· ὦ ἄγη ἁπασῶν ἐκκλησιῶν· ὄντως οὐ μόνον τὰ θύραζε, ἀλλὰ καὶ τὰ ἔνδον αὐτὰ κεκύνωμαι ὄμματ'· αἴαζ' ἡμείας ἥλιε καὶ γῆ οἷοις θηρσὶν ἐκδεδόμεθα. Εἰ ὄψεις γὰρ ὑμῶν οὐδὲν μέγα γέγων' ἑταίρας προφητικῶς. Δῆλον γὰρ ὅπως ὑπηνῶν τῇ ξύσει τοι πολὺ πρότερον ξυραίων τ' αἰσχρῶν προσώπων αἰδοῖ καὶ νεμέσεις συναποξέονται. Ὦ Παρθενὼν τῆς θεομήτορος ἁγιώτατε, ὦ οἳ ὀνάρι' αἰπὰ γεγαύρωνται καὶ ἀγέρωχον φρονοῦσι καὶ κατὰ σοῦ· ὦ οἷον ἔθνος τὰ σεμνὰ βε-

6. εἶθ' ἥβασκε.— 8. ἱερῶν τὸν.— 14. ἧπατ'.— 27. κεκύνωμε.

Digitized by Google

δήλωκε δάπεδα πολλῷ βδελυκτότερον ἢ οἱ ἀλλόφυλοι τὴν πάλαι καλλονὴν Ἰακὼβ ἢ εἰεράγκειβοτὸν προσουρῆσαν σφίσιν ὡς μηλοβότοις φυσικὴν ἔκκρισιν· οἳ καὶ πρὸς εἰκὰς εἰς τιμῆς ἀφοσίωσιν οὐ ποιοῦνται, ἱερὰς προσκυνήσεις ἀποστέργοντες, ἀλλὰ καὶ θυσία τούτων προσφερομένη ἀτελῶς οὐκ ὀρθῶς ἂν ἢ καὶ ἄλλως κενόσπουδ' ἄζυμος ἢ καὶ Μωσέως νομίμῳ δόξῃ θρησκεύειν ταὐτά. Τί ἂν λέγοιμι ὅπως αἱ ἀγκτῶν τε καὶ μὴ θεμιτὸν ἄλλως χρῆμά τι πολυτελὲς ἀτεχνῶς ἀμβροσίας τούτοις δοκοῦσι τράπεζαι. Παρίημι καὶ τὰς περὶ τὸ θεῖον ἐνδιαστρόφους ὑπολήψεις αὐτῶν, εἶτα τοῦ θείου δὴ Πέτρου μαθητὰς ὑμᾶς καλεῖν ὃς Ἰωνᾶ γε λέγεται βὰρ βαρυζήλων ἐραστῶν Χριστοῦ αὐχοῦντος καὶ ὄντος τὰ πρῶτα καὶ κάλλιστα. Τίς γὰρ ὑμῶν ὡς τῆς ἐκκλησιαστικῆς κεφαλῆς ὑπερτέλλοντα δειμαίνων Πέτρον ἀποτόμους δίκας ἱεροσυλίας εἰσπραττόμενον ἀπέσχετο κειμηλίων θεοῦ ; Ἔρρωτε λωβητῆρες, ἐχθραὶ κεφαλαὶ, παρὰ ‖ τῶν τοιούτων καθαρμάτων, ὧ κοινωνὲ τῶν α . . τη. . . . . αλλ . . συμμωγῶν ἐλαυνόμεθα καὶ δραπετεύομεν ὅποι ἂν δειμάτων βαρβαρικῶν ἀπαλλαγείημεν νόα θεινόντων ἐμόν τε καὶ σὸν καὶ φερόμεθα ὄθι βόμβοι ὠτίον σόν τε καὶ ἐμὸν, ὅπου μηκέτ' ἂν δυσμενεῖς ἀπειληφόροι καταπλήττοιεν. Ἐντεῦθεν ἄστρον ὅ φασι τὰς ἑαυτῶν παροικίας τεκμαιρόμενοι διαπορούμεθα πόσε στῶμεν οἱ τλήμονες τῶν κακῶν μηκέτι χεῖρον τῆλ' ἀληθῆναι βουληθέντες· πεισόμεθα ἔσχατον. Ἐντεῦθεν οὐδὲν ἡμῖν ἀσφαλὲς, οὐ τεῖχος ἀδαμάντινον, οὐ περίβολος σιδηροῦς, οὐχ ὅρος Χαλκὶς Αὐλίς τ' εἰς φυλακὴν τῆς ἡμετέρας τῶν δρασμῶν περιγράφων ἐχέγγυον καὶ ἡρετριάδ' ὡς ὁδαῖ ἀποκρυβῆς χρῆμ' ἀλυσιτελέστατον· ἀλλὰ καὶ πόρρω πω θινῶν αὐλῶνος ἔκτοποι γεγονότες χηραμοὺς καὶ λόχμας ὑποδυόμεθα, ὅτι μηδ' ἐς κοῖλά ποτ' Εὐβοίης στόμα γιγάντων ἐφ' ᾧ διαδράναι καὶ χεῖρας ὀτωκόντων μὴ οὐχ ὑποπτήσσειν ὠκνήσαμεν· ὥςπερ

2. *σφίσιν*.— 7. *ταυτά*. — 16. Κώδ. ‖ 178,6. — 17. Μετὰ τὰ . . τη διατετριμμένος χῶρος οἱονεὶ δώδεκα γραμμάτων πρὸ τοῦ *αλλ*(;) οὗ ἡ καταληπτικὴ βραχυγραφία ἀφανής.

Digitized by Google

οὐδ' ὁ Ζάρηκος λιμὴν τὰς ἑαυτοῦ ἡδείας καταγωγὰς παρεῖχεν ἡμῖν ὁ χοιράσι μέρος αὐτοῦ που πάντη περικλειόμενος, ἕως ἐκεῖθεν ἀχθέντες δεῦρο κατήραμεν ἔνθ' εἰκέος ἦδε ἡ νῆσος ἅλης πόνων ἔχοντας ἀποχρώντως ὑποδεξαμένη ἀνέπαυσεν. Ἴδοιεν οἱ τῆςδε οἰκήτορες τὰ ἀγαθὰ τῆς ἄνω Ἱερουσαλήμ· οὐκ ἴσμεν δὲ ὁποίποτε αὖθις ἐνθάδε μεθορμισόμεθα.

Ἀλλ' ὦ κατοικῶν οὐρανοῦ κύτος μέγα,
ὑπὲρ τὸ πᾶν δ' ὢν ἀσχέτως ἱδρυμένος
καὶ τὰ ταπεινὰ πατρικῶς ἐπιβλέπων,
ὦ πάντα ποιῶν καὶ λόγῳ μετατρέπων,
σκότος μὲν εἰς φῶς, εἰς γαλήνην δὲ ζάλην,
χειμῶνα δ' αὖθις εἰς ἄερος αἰθρίαν,
διεξόδους δὲ καὶ σκιὰς τοῦ θανάτου
εἰς φωτοειδεῖς ἀτραποὺς ζωῆς στρέφων
καὶ πάντα σῷ ῥήματι καὶ μόνῳ φέρων,
σοφῶς κυβερνῶν, ποικίλως διεξάγων
καὶ μᾶλλον ἡμῶν τὴν πολύτροπον φύσιν
φοβῶν, ἀπειλῶν, νουθετῶν, ἀγαθύνων,
πλήττων, ἐλέγχων, μαστιγῶν, πράττων δίκας
οὐ δεσποτικῶς, πατρικῶς δ' ἀγαθύνων,
ἐπίδε καὶ νῦν, ἀλλ' ἱλαρῶς καὶ πράως
ἐπὶ λαὸν σὸν τὸν παροργίσαντά σε
καὶ σκύφον ἐκπιόντα θυμοῦ τρυγίας
καὶ ποικίλαις μάστιξι τετρυχωμένον.
Καὶ μὴ παρόψει, Σῶτερ, ἡμᾶς εἰς τέλος
ἤδη καταρρέοντας εἰς Ἅιδου πύλας.
Εἰ γὰρ ὀλίγα μαστιγούμεθα τάχα
πρὸς μέτρον ὧν ἔφθημεν ἡμαρτηκέναι,
ἀλλ' αὖθις ἡμῶν τὰ κακῶς εἰργασμένα
ὁρώμενά πως ἐν παραλλήλῳ θέσει

2. *χοιράσι*. — 6. *μεθορμισάμεθα*. — 7. *κῦτος*. — 15. *φέρειν*. — 20. *οὐ δεσποτικῶς ὡς πατρικῶς ἀγαθύνει*.

Digitized by Google

πρὸς τὴν ἄπειρον ὧδε χρηστότητά σου,
ὄξους σταγὼν δόξειε πρὸς βυθοῦ χύμα
κόκκος τε κέγχρου πρὸς τὸ πᾶν κόσμου βρῖθος.
Ὄντως σὺ πατὴρ καὶ πατρὸς στέργων πλέον,
ἡμεῖς δὲ παῖδες ὑπόβλητοι καὶ νόθοι
ὡς εὐγενείας υἱότητος γνησίας
γνώρισμα μὴ φέροντες οὐδὲν εἰσέτι.
Οὐκοῦν δικαίως καὶ φιλανθρώπως ἅμα
ἀπερράπισας ἱερῶν ἀνακτόρων
καὶ σῶν τραπεζῶν ἀφθόνων τε χαρίτων,
μωμητὰ τέκνα καὶ παρέγγραπτα κρίνας.
Ἆρ' οὖν ἐπιλήσαιο σῶν σπλάγχνων, πάτερ ;
Τολμῶ γὰρ εἰσέτι σε καλεῖν πατέρα,
τῇ σῇ πεποιθὼς ἀγανόφρονι φύσει
κἂν τῶν τέκνων τὴν τάξιν ἐξωρχησάμην,
οὐδ' εἰς ἀγαθὸν δοῦλον ἐξειργασμένος.
Καὶ μὴν λόγος σὸς ἐκλαβέσθαι μηδ' ὅλως,
εἰ καὶ τροφὸς λάθοιτο γαστρὸς ἐκγόνων.
Μνήσθητι τοι γὰρ, ἵλεως βλέψον πάλιν
καὶ τὴν Σιὼν οἰκτειρον αὐτὴν καὶ τέκνα,
ἣν ἠρετίσω μειζόνως ἢ τὴν πάλαι.
Ἄμφω γὰρ ὠμῶς ἐσθίων κατεσθίει
καὶ στρουθὸν ἄλλην καὶ νεοττοὺς ἀπτέρους
δράκων δαφοινὸς δυσμόθεν προσερπύσας,
πολυκέφαλος, ἀκέφαλος δὲ πλέον,
ὃν Ἡσαΐας στηλιτεύει προφθάσας
ὄφιν σκολιὸν, ἀσσύριον τοῖς τρόποις
ἐν ὕδασι φεύγοντα. Ναί· θᾶττον φύγοι,
μᾶλλον δὲ μὴ φεύξαιτο τὴν θείαν δίκην,
μάχαιραν αὐτοῦ τοῦ θεοῦ τὴν ἁγίαν
ἐπ' αὐτὸν ὠθήσαντος ὡς τομωτάτην,

1. ὧδε.—2. χύμα.— 3. βρίθος.—9. ἀπερράπησας.—17. μηδόλως. —19. ἵλεως.— 25. ἀκέφαλός δε.

Digitized by Google

ὡς ἂν τὸ πᾶν θέσπισμα καὶ πέρας λάβοι
καὶ τῆς Προνοίας εὐλογηθῇ τὸ κράτος,
τοῖς μὲν πονηροῖς ἐνδιδούσης πρὸ χρόνου
κατεμφορεῖσθαι τῶν μισανθρώπων τρόπων
εἰς ἐκπυρώσεις, εἴτε κακῶν ἐκτίσεις,
ἔπειτα πικρὰς ἐξαπαιτούσης δίκας
τῆς κακοποιοῦ φθαρτικῆς μοχθηρίας.
Οὗτος Προνοίας μὴ κινούμενος νόμος
‖ καὶ πλημμελὲς πᾶν πρυτανεύων τοῦ βίου.

Τοῦτ' ἐκεῖνο, φιλότης, τὸ τῆς κομψῆς παροιμίας πράγματ' οὐκ ἦν ἀνδρὶ Λυδῷ ῥοῶδες σφόδρα πάντη δι' αἰῶνος φερόμενον καὶ περιᾳδόμενον, ἀλλ' αὐτὸς ἀπελθὼν σφαλερῶς οἰωνήσατο. Ἐγὼ γὰρ ἅπαξ τῶν σχεδικῶν πλεγμάτων ὑπεριδὼν ἃ μειρακίοις ὑποπήγνυσι θήραθρα καὶ ἃ λιναρίου αἵρεσιν ὑποκρίνεται, εἰκότως δὲ παραβλητέα δοκοῦσι θηρευτικῷ καὶ συμφθέγξονται πάντες γνώμονες ἀληθείας καὶ ἄλλως δ' εἰκαστέα δέσιμοι, οὐδεμίαν εἶχον ἐντεῦθεν ἐργωδίαν αὐτοί. Ἀπέκειντο γάρ μοι πλοκαὶ περὶ λόγον φιλοτιμούμεναι σχεδουργῇ ἀνεπίδεικτοι ὁτὲ πεπονημέναι π . . τεζωγρίαι οὐκ ἐσπουδάσθησαν. Οὔκουν εἶχον τὸ ἐπὶ τούτοις πράγματ' ἠλογηκὼς σχεδῶν κεχρῆσθαι μηδὲ τὴν ἀρχὴν σφίσιν ὡς καὶ ὑμεῖς αὐτοί ποι ἴστε βουλόμενος. Ἀλλ' ἔγωγε ὁ σκαιὰ λυδίσας ἐπ' ἀγαθῷ οὐδένι γ' ὠνησάμην ἐμῷ. Περιουσίᾳ γὰρ σχολῆς καὶ διατριβῆς πρότριτ' ἀΐξας ἐπὶ τὸ σχεδουργεῖν αἰώρα, καταπιέζοντά τε καὶ συνέχοντα ἡμᾶς ἀνιαρὰ μικρὸν ἐπεκούφισα καὶ ὑμᾶς δ' ἐπ' ἔταξα ὑμῖν καὶ συνήθη καὶ φίλα γυμνάσια διανέστησα. Ὡς γὰρ τὸ ἀθυμοῦν τῆς ψυχῆς διαπραύνοντες πράγμασι τούτοις γενναιότερον χρωτίσασθαι εἴτε πη κουρίσαι δεῖν ἔγνω-

9. ‖ Κώδ. 179,α. Ὁ στίχος, γεγραμμένος ἐν τῇ ἀρχῇ τῆς σελίδος, εἶνε προφανῶς τὸ τέλος τοῦ ποιήματος. Ἆρα καὶ τὰ ἑπόμενα, καίπερ ἀρχόμενα διὰ Τ ἐρυθροῦ μεγάλου, θεωρητέον πιθανώτατα ὡς τὴν συνέχειαν τοῦ σχέδους, οὐδεμίαν φέροντα ἰδίαν ἐπιτρ'
γραφήν.— 24. *κατεπιδίζοντα*.— 28. *γενεω*.

Digitized by Google

μεν. Καὶ ταῦτα μὴ καθ' ὥραν ὅτι προβεβηκότες μὲν ὡς ἀπ' ἦρος ἤδη καὶ πρεσβυτικὸν ἡλικιῶν τε νεότητα ἔχομεν, ἐπ' αὐτὰς δὲ τὰς τοῦ γήρως λυγρότητας εἴκοντες ἔτει ὡς ὧδε κακίας χειμῶνος περιπατοῦμεν, παρῆν ὁρᾶν ἡμᾶς οὐδὲν ἀλλ' ἢ τὸ παροιμιακὸν ἐκεῖνο ἵππους εἰς πεδίον θέοντας καὶ τὸ ἐπιβάλλον σοι τῆς σπουδαίας διατριβῆς ὡς ἐν ἀκαρεῖ, ὦ Βοιωτίας ποιμὴν πάνσοφ' ἐπεποίεις, ἐθὰς ὢν τε ἡλῴγ' ὡς τὸ ἔργον εὐθύς. Τὸ δ' ἐντεῦθεν πάλιν ὁ κλῆρος ἐξ ὑπαρχῆς εἰς ἐμὲ περὶ ἥκιστ' ἔργων ταδὶ τὰ μὴ καθ' ὥραν μοι καὶ πρὸς βίαν μόνον οὐκ ἐφελκόμενον. Καὶ προσκαλούμεθα καὶ νῦν ποι ἵν' αὖθις ὡς παιδιώδη σπουδαστέ' εἴτε καὶ ἔξωρ' ἐμβῶμεν ὑπ' ἄλλαις συχναῖς καὶ δυσκόλοις ἐνδημίαις τρυχόμενοι. Καὶ νῦν δ' αἰσθάνομαι ὡς κακῶν ἐῶν ἀζηλώτων τε βεβουλευμένων παραπολάδω εὐηθικῶς καὶ οἷον αὐτὸς ἐν τῷ παρόντι ἐώνημαι μέλημ' ἐθελήσας ἐπαχθὲς ἐπίσπαστον καὶ ἧς αὐτὸς ἐνέχεον κύλικος πίνων ὡς ἐμαυτῷ μᾶλλον ἁρμόττον ἢ τῷ παροιμιακῷ πω Λυδῷ ῥοφῶν εἰμ' ἀκούω καὶ συναρπάζω φρενί. Πλὴν ἀλλ' οὐκ ἔστιν ἀνήνασθαί πως οὐδ' ἀναδύναι. Καί τοι ἐξῆν μοι πρὸς παραίτησιν μόνον εἰπόντι ὡς ἀπόχρη καὶ ἅπαξ χαριεντίσασθαι πρὸς ἄνδρα ὃς τὰ τοιάδε σοφῶς ἐτεκταίνετο καὶ σχέδια παίξαι αἰκάλη σχεδῶν ἀμηχάνως συναρμόττον εὔρυθμον καθ' ὁμοιότητα δήπου ἐκείνου ἀνόμοιον. Ὃς τραγικῶς μὲν ἐπεδείκνυτο οἷα δεῖ τοὺς τοιούτους ποιεῖν ἤδει δ' ἃ σκηνικὸς, ἐπεὶ δ' Αἴανθ' ὑπεκρίνατο ἐναργῶς διὰ δεξιότητα ἔμφυτον, τὸ δὲ θέατρον καταθελχθὲν ἠξίου ἵνα καὶ αὖθις ὑποκριθῇ ἵκελ' οἱμανῇ τε τὸ δεύτερον οὐκ ἀκόμψως ἐκεῖνος ἔφη· ἀπόχρη καὶ τὸ ἅπαξ αὐτὸν μ' ἀνεῖναι· πρὸς τὸ ἐπιδείξασθαι δῆλα ὑμῖν πωλύττημα. Πλὴν οὐ χαρίτων ἄμοιρος ἀδολεσχία ἥδε ἐπὶ τηλικαύτῃ ἀπαγωγῇ καὶ κενὴ τοιάδ' αἰμυλία Μοισῶν συνερανίζεται. Ἄγε πηκτέον πάλιν πρὸς τῷ κατάρξασθαι τὸ πάλαι σχεδῶν ὑπεροπτέων δεδογμένων μοι κύκλ' οὐκ ἐκ καιρ-

3. *γήρους. ὧδε.* — 6. *ἀκαρεῖ.* — 22. *εὔρυθμον.* — 25. *ἔμφοιτον.*

Digitized by Google

νῆς δευτέρας ἤδη περιωπῆς καὶ θρηνητέον πάλιν ἐπὶ βραχὺ τὸν ῥωμαϊκὸν κλῆρον, χθὲς μὲν δεινῶς σπαθῶντ' ἀηδῶντ' ἀδεῶς ἃ εἰσι πορρωτάτω βεβηκότα χλεποῦ δυσπραγήματος. Εἴθε γὰρ πολλάκις ἐπανεδίπλουν τὸν τοιόνδε κοπετὸν ὡς ἐμβάσι γ' ἐπῳδὸν ‖ ἐπικροτούντων καὶ χερσὶ καὶ κόμαι διφθόγγου κατὰ τὸν τραγῳδὸν ἐπι . . . . μένων μοι, νῦν δὲ κακοδαιμονοῦντα καὶ δεδοικότα μὴ τλημονεστέρων πειραθῇ, εἰ ἔσως καὶ δεινοτέρων κακώσεων καὶ δυσφορὰς μακροτέρας ὄψεται πάσας ἄρξαιντ' ἔθνικοὶ ἀδινοὶ συχνοῖς καὶ παντοδαποῖς δυσκληρήμασιν. Οἴμοι οἷον ἔθνος δουλωσάμενον κατῆρξεν ἡμῶν οἷα πωλητῶν ἁμαρτίαις ἀποδεδομένων καὶ πρατῶν τῶν εἴτι πρᾶγμα καὶ ὄνομα· ἔθνος δ πάλαι θεὸς ἐν ἀπειλῇ ὑπογράφων οὔτ' ὀπὸς τῆς που φησὶν αὐτοῦ συνήσεις ζητῶν, οὔτ' ὠφὸς αὐτὸ νύξαι στίξαι ὠμμένον γοῦν οἰκτρὸν γηραλέον οὔμενουν καθυβρίσαι πως εὐλαβηθήσεται οὐδ' ἐλεῆναι ὅτι τὰ θηρίων πονηρῶν καὶ χήρων ἐστὶ νοῦ πεφυκὸς, οὐδ' ἱλαρύναι οἶδεν οἰκτῳ ποτὲ τὴν σκληρόσπλαγχνον ἀγριότητα. Ἐλατίνων γὰρ τούτων ὑπερήφανοι ἀγερωχίαι καὶ ἀκαμπεῖς ἀπήνειαι σφενδαμνίων στελεχῶν οὐδὲν ἀπεοίκασι· μᾶλλον δὲ εἰς αὐτοχόωνον ἄκμονος φύσιν μόνον οὐ μεταλλεύονται, εἰ καὶ πᾶς ὑπερήφανος βάρβαρος φὼς εἰς τέφραν γ' οὐκ ἐλατὴν οὐ χρόνῳ πολλῷ ὕστερον θυμῷ θεοῦ διασκίδναται. Οὗτοι οὐκ ἄλλως οἴδασι τιμωρεῖσθαι ἢ εὐθύνιν ἀλείτην ἄλλως ἐπὶ μετεώρου ἱκρίου βραχιζόμενον πρότερον κατάγει νεκρῶν, εἴτε μέγα τι πλημμελήσοι εἴτε μικρὸν εἴτ' οὖν καὶ ψευδὲς ἢ καὶ τὴν ἀρχὴν μὴ ἁμάρτοι ῥαφθέν γε τε πρὸς πονηρῶν καὶ συκοφαντῶν, κἂν εἴπωμεν διὰ ταῦτα τοὺς ἀλιτηρίους ἀπογόνους τοῦ διφυοῦ δράκοντος, εἴπερ ὑπ' Ἐρεχθεῖς τωνδὶ δυσμενῶν γενεαλογίαν ποιούμενοι ἀναφέρειν εἴχομεν. Ἐκεῖνος γὰρ θάνατον διωρίσατο τῷ τε χεῖρας ἀνδροφονίᾳ ἐπιβάλλοντι καὶ τῷ κλέπτοντι ὧδ' αἱμάττειν πω λάχανόν τι, ἀτόπῳ νο-

1. *περιοπῆς. θρητέον.* — 5. ‖ Κώδ. 179,6. — 15. *καθυβρίσαι πως. οὐδελεῆναι.* — 16. *ἐστι.* — 21. *τέφρἀν.* — 25. *τἰ.*

www.libtool.com.cn

Digitized by Google

μοθεσίᾳ καὶ ἀποτόμῳ χρησάμενος ὡς τὸ κωμῳδεῖσθαι μὴ μέλανι συγγράψασθαι θεσμὰ γυμνὰ πάσης φιλανθρώπου φειδοῦς καὶ μηδὲ τῷ βραχυτάτῳ τῆς ἐπιεικείας περιστελλόμεν' ἀλλ' αἵματι, νῦν δέ· οὐ γὰρ μετὸν αὐτοῖς Ἕλληνος εὐγενείας· ἥκιστα τῷ αὐτόχθονι ἦδ' ἡ φυὴ Κέκροπι καθ' αἷμα προσήκουσ' ἡ δυσμενὴς οἵπερ ἱππεῖς τὴν ὀρθὴν οὐ βαδίζουσιν ὡς Χριστιανοὶ καλούμενοι· ἀλλ' εἴπερ ἅψασθαί ποτε βουληθεῖεν ζωοποιὸν σημεῖον Χριστοῦ ὡς ἐπὶ κρασπέδῳ πλατεῖ χλαμύδ' ὡς ἄκρον ὦμον καὶ ὡς αὐτοῦ φασι βατῆρος ἐπιβατεύοντες κομπάζουσι. Καὶ σκήπτονται μὲν στρατεύεσθαι εὐθὺ τῶν σεβασμίων τόπων καὶ ζωοδόχον ἐπὶ σῆμ', ὅστᾶ γε μὴν ἔνδον ἐπικρύπτονται δόλον καὶ ἀκαθαρσίαν πολλὴν, ὡς μόρφωμα εὐσεβείας ἐπικεχρωσμένοι καὶ ὡς ἄλλος σορὸς ἀγαθὸν ὄντες οἷα ἐπηλειμμένοι δυνάμεως χρισθεὶς, λανθάνοντες δὲ οὕτω πλεῖστα τῶν ἀγαθῶν χωρῶν ὑφαιροῦνται δι' ἐπιποιήτου εὐσεβείας καὶ ὑποβλήττουσι μεῖον κενῶν. Οὕτω πρῶτα μὲν ἁρπακτικώτερον πάσας πόλεις τῆς σκύλλης Συρίας ἐξιδιώσαντο, εἶτα καὶ ὡς Φοίνισσαν ἀνδρείαν, πᾶσαν ὑποκλάζουσαν, περιέζώσαντο· χθιζὰ δὲ καὶ πρωΐζα κἂν μάτην αὐτοὺς φυσᾷ τὸ ὑπὲρ Χριστοῦ αἴρειν ὅπλα ἢ διὰ κενῆς ὀγκοῖ, προνοίᾳ, οὐκ ἐξ ἐφόδου ἐπιθέμενοι κατέσχον χώραν ἐπαφριδωτάτην ἁπασῶν καὶ θαλάσσῃ περίρρυτον. Ἐπὶ τούτοις ὁ κολοφὼν τῶν κακῶν τοῦ τοιούτου πονηροῦ κόμματος ἄλλο ἐξ ἄλλων ἰταλικῶν βαρβάρων στίφος εἰς ταὐτὸ γεγονὸς τῶν ἀνδροφόνων σύστρεμμα ἁλιστὸν καὶ εἰς ἓν ὅ φασι σμῆνος ξὺν νηῶν πολυμιγέσι τε καὶ ἅλις κοίλησί που καὶ αὐτῆς ὕδρας πολυπλοκώτερον καὶ ξυρρεῦσαν αὐτεικῇ, ὡς εἰπεῖν, ἀναρχίᾳ ξυγκλύδων αὐτῶν ὡς ὁμοστόλως οὕτωσὶ εἰσεκώμασε τῇ βασιλίδι τῶν πόλεων καὶ τὸ μήπω . . . . . .

. . . . . .

6. *περιππεῖς*.—19. *φυσσᾶ*.—20. *διακενῆς*. *ἐξεφόδου*.—21. *ἐπαφριδώτα*— 22. *κολοφῶν*.— 24. *ταυτὸ*. — 25. *πολυμιγέσι*.

www.libtool.com.cn

ΑΡΧΑΙ

ΤΙΝΩΝ ΔΙΑΦΟΡΩΝ ΕΠΙΣΤΟΛΩΝ

Ὁ προξενῶν τοῖς ἀπόροις τὸ εὔπορον καὶ παραμυθούμενος τὴν τούτων στενότητα παραμυθεῖται καὶ αὐτὸς παρὰ τῆς ἄνωθεν δεξιᾶς καὶ οὐκ ἀποστερεῖται τῆς ἀντιδόσεως· διὸ δὴ κἀγὼ. . . .

Καὶ ὁ τὴν ἄγρωστιν ἐκτέμνων ἀπὸ τῆς γῆς, εἰ μὴ κατὰ καιρὸν τὸν προσήκοντα πάλιν ἀνερευνᾷ τὴν ἐξ αὐτῆς γένεσιν, πόνον κενὸν κατηνάλωσε· τὸν δὲ ἡμερωθέντα τόπον ἄγριον πάλιν ἐγκαταλέλοιπε, τῆς κακίστης βοτάνης ἄνωθεν περιπολευούσης καὶ ἀποπνιγούσης πᾶν τὸ μετασπειρόμενον. Καὶ ὁ τὴν ἀδικίαν ἐκτέμνων ἣν ἀπαιτεῖται καί τινες τῶν ἁπλήστων ἐργάζονται καὶ δοκῶν ἀποπαύειν πᾶν τὸ παράλογον, εἰ μὴ καθ' ὥραν ὁρῴη τὰς πράξεις αὐτῶν, τὴν λύσσαν μᾶλλον ἀνῆψε τῆς τούτων κακίας, ἀνηλεῶς τοῖς εἰςπραττομένοις ἐπέρχεσθαι παρεσκεύασε. Τοιοῦτόν τι καὶ ὁ δεῖνα πέπονθεν.

Ὧν ὁ τρόπος διαφανὴς τῆς ἀναγωγῆς, τούτων ὁ βίος ἐπαινετὸς καὶ οὓς ἐκ μικρῶν ‖ μείζονας ἡ πρᾶξις ἀπέδειξε, τούτους δεσ (;) . . . . . εν . . . ε καὶ τὰς τούτων ψυχὰς ἀνεπτέρωσε καὶ τὸ ζέον τῆς πίστεως ἀπεθέρμανεν. Οἷς δὲ ἡ πίστις καὶ πράξεις καὶ τρόποι παρέσχον πᾶσι τοῖς δεσπόταις τὸ φίλιον, τούτοις πᾶν εἴ τι χρηστὸν ἐπακολουθεῖ ἂν μὴ καθ' ὑπόκρισιν ἡ πίστις προσάγηται.

Ἠδὺ τὸ προσλαλεῖν τοῖς φίλοις ἐκ μέλανος καὶ διὰ μνήμης ἄγειν ἑκάστοτε. Οὕτω γὰρ ἂν ἡ ἐν τῷ βάθει τῆς καρδίας

Αἱ ἀρχαὶ αὗται ἐπιστολῶν περιέχονται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 187,α - 188,6.

6. αὐτῶν.— 16. ‖ Κώδ.187,6.— 17.Ὑπὸ τῆς ὑγρασίας ἀποτετριμμένα οἱονεὶ πεντεκαίδεκα γράμματα.

Digitized by Google

πεπηγυῖα ὁρᾶται διάθεσις. Ἐγὼ δὲ καὶ χαρᾶς τῷ ὄντι ἐμπίπλαμαι ὅταν σου τοῦ προσφιλοῦς μνημονεύσω ὀνόματος καὶ οἷα πλήκτρῳ τῇ μνήμῃ κρουόμενος τὸν λόγον τῆς ἐπιστολῆς ἐξερεύγομαι. Καὶ τοῖς ἴσοις ἡμᾶς αὐτὸς μήποτε λάθοις δεξιούμενος.

Τί τοσοῦτον ἐβάσκηνέ μοι τὸ δαιμόνιον ὅτι σε τὸν ἐμὸν ἀντιλήπτορα, τὸν πραὺν καὶ ἀνεξίκακον ἐπὶ τὸν κατ' ἐμοῦ κεκίνηκε παροργισμὸν ἑτοίμως ὡς μὴ ἐπιδῦναί σοι τούτῳ τὸν ἥλιον, ἀλλὰ συνήθως σοι διαμεῖναι τὰ τῆς ὀργῆς; Ὡς ἀληθῶς ἀβίωτον ἡγοῦμαι τὸν βίοτον. Ἐγὼ γὰρ ὁ μάταιος ᾠχούμην ἐλπίσι τὴν λαμπηδόνα τῆς εἰς ἐμὲ προσπαθείας.

Σοφὸς ἄρα καὶ σοφῶν ἄριστος ἦν ὁ εἰπὼν μὴ εἶναι ἄλλο τι ἀντάλλαγμα φίλου πιστοῦ. Τοῦτο μὲν γὰρ καὶ αὐτὸς τοὺς μὴ εἰδότας ἐδίδαξα, ἐμὲ δὲ καὶ νῦν αὐτὸ τὸ ἔργον ἀνέπεισε. Τί γὰρ ἐμοὶ τοσοῦτον ἀντάλλαγμα, τί ἐμοὶ σοῦ ποθεινότερον; Οὐ χρυσὸς, οὐκ ἄργυρος, οὐκ ἄλλη τις ὕλη κάτωθεν γινομένη καὶ κάτω ῥέουσα. Ἧς ἀεὶ τὸ πλέον ἔχουσιν οἱ πολλοί.

Ἐδεξάμην εἰς χεῖρας, αὐθέντα μου, τὴν γλυκεῖαν καὶ ἐμοὶ ποθεινοτάτην σου γραφὴν καὶ αὐτὰς ἐνόμισα τὰς Μούσας εἰληφέναι ἢ τὰς χάριτας, δι' ὧν αὐτὴν κατεκόσμησας καὶ θαυμασίαν οἵαν εἰργάσω καὶ ἡδονῆς γέμουσαν. Τί γὰρ οὐκ εἶχεν ἐπαγωγὸν καὶ θελκτήριον, μᾶλλον δὲ τίνι οὐκ ἐφείλκετο τὸν ἀναγινώσκοντα ὥςπερ μαγνῆτις σίδηρον. Λειμὼν γὰρ ἦν σχεδὸν ὡραιότατος, παντοίοις ἀγαθοῖς βρίθουσά τε καὶ θάλλουσα, ἄλλοτε ἄλλῳ ἐφελκομένη τὸν ἀναγινώσκοντα, τοῦτο μὲν τῇ γλυκύτητι τῶν λέξεων, τοῦτο δὲ τῇ συνθέσει τῶν συλλαβῶν, πλέον δὲ μᾶλλον ἔτερπεν ὅτι τὴν σὴν ὑγίειαν εὐηγγελίζετο, ἣν ἐγὼ πρετιμοτέραν τοῦ παντὸς τίθεμαι καὶ ἧς οὐδὲ τοὺς Κροίσου θησαυροὺς ἐκείνους οἵτινές ποτε ἦσαν τίθεμαι. Ἀλλ' ὑγιαίνοις καὶ στέλλοις.

Πέποιθα ἐν θεῷ, ἐν ᾧ πᾶς ἄνθρωπος ἤλπισεν ἐκ κοιλίας

12. *ἀλλό.* — 16. *τίς. κατώθεν.* — 22. *εφειλκετο.* — 27. *ύγειαν.*

www.libtool.com.cn

Digitized by Google

μητρὸς αὐτοῦ· ὃς ἑαυτὸν ἔθετο βοηθὸν ὑγιαίνειν σε καὶ ἐρρῶσθαι. Πάντως γὰρ ὑγιαίνω κἀγὼ ὑγιαίνοντος σοῦ, ὥςπερ νοσοῦντος νοσῶ, εἴπερ ἄρα κοινὰ τὰ τῶν φίλων εἰσίν.

www.ibtool.com.cn

Ἀπέλαβόν σου τὰ γράμματα καὶ ἐπῆλθον αὐτὰ καὶ ἡδονῆς ἐπληρώθην καὶ χαρμονῆς ὅτι τε ἦσαν γλυκύτητος γέμοντα καὶ τὴν σὴν ὑγίειαν εὐηγγελίζοντο. Τί γάρ μοι τῶν σῶν γραμμάτων καὶ τῆς σῆς ὑγιείας τερπνότερον ἢ γλυκύτερον; οὐδέν μοι πρὸς ταῦτα λωτὸς ὁ ποιητικὸς, οὐδέν μοι θείου νέκταρος ἀπορρὼξ πρὸς ὀλίγον εὐφραίνοντα καὶ λαιμὸν παίζοντα, εἴπερ ἄρα μὴ μῦθός εἰσι, καὶ οὐδὲ τέρπειν ἰσχύοντα.

Οὐκ οἶδας πόσον ὀδυνῶμαι καὶ διαπρίομαι· οὐκ οἶδας πόσα σπαράσσομαι, πόσον διακόπτομαι, πόσον ἀλγεῖ ἡ καρδία μου, πόσον ματμάσσει τὸ πνεῦμά μου, οἷαν ὀδυνηρὰν ζωὴν διαζῶ μὴ σὰ δεχόμενος γράμματα. Κἂν ὀψὲ γράψον.

‖ Ταχέως ἡμῶν ἐπελάθου, τῷ χωρισμῷ σου, σφόδρα λυπηρῷ ἡμῖν γεγενημένῳ, καὶ τὴν ἀπὸ τῆς σιγῆς τῆς μακρᾶς προσθεὶς ἀθυμίαν.

Κἂν πολλάκις, κἂν ὀλιγάκις ἐπιστείλῃς, ἡμεῖς ἥνπερ ἐξ ἀρχῆς εἴχομεν ψῆφον περὶ τῆς σῆς ἀγάπης, ταύτην ἀκίνητον διατηροῦμεν. Ἴσμεν γὰρ ὅτι καὶ γράφουσα καὶ σιγῶσα ὁμοίως περὶ ἡμᾶς διακεῖσθαι ἐσπούδασας. Ὁ θεός σοι παράσχοι . . .

Τὴν κάμινον τῆς ἀθυμίας ἣν ἐπὶ τῆς ψυχῆς περιφέρεις ὑπὲρ τῶν εἰς ἡμᾶς γεγενημένων σαφέστατα ἡμᾶς ἐδίδαξε τὸ γράμμα σου· πλὴν ἀλλὰ καὶ τῶν δακρύων οὐκ ἔλαττον καὶ τῶν ὀδυρμῶν ἐκείνων ἀπεκάλυψεν ἡμῖν τὴν φλόγα τῆς λύπης τῆς ἐν τῇ διανοίᾳ.

[Ἔ]γνων καὶ πρὸ τῶν γραμμάτων τῶν ὑμετέρων ὅσην ὑπομένετε λύπην.

Οὐχ ὡς ἔτυχεν ἤλγησα ἀκούσας τὰ καὶ τὰ . . .

Ἱερῶς τοῖς ἱεροῖς δεῖ προσιέναι καὶ φιλικῷ καθήκοντι ἁγιάζεσθαι· τοῖς ὁμοίοις γὰρ φιλοτιμούμενον χαίρει τὸ ὅμοιον. Τοῖς ἱεροῖς τοίνυν σε ῥήμασι προσφθέγξομαι, τιμιώτατε, τῷ

6. *ὑγειαν*. — 7. *ὑγειας*. — 10. *μῦθος εἰσι*. — 15. ‖ Κώδ. 188,α. *ἡμῖν*. — 31. *φιλοτιμούμενος*.

Digitized by Google

θείῳ Παύλῳ συμφθεγγόμενος· «τοιοῦτος ἡμῖν ἔπρεπεν ἀρχιερεὺς ὅσιος, ἄκακος, ἀμίαντος, καὶ τὰ λοιπὰ, καὶ ὅσοις ἄλλοις ὀνόμασι τὸν ἀληθῆ ἀρχιερέα συνίστησιν. Ὃν γὰρ ὁ βίος κοσμεῖ τοῦτον καὶ ὁ λόγος σεμνύνει.

www.tbtool.com.cn

Ἡμεῖς οὔτε ὑπερορῶντες οὔτε ὀλιγωροῦντές σου τῆς ἀγάπης τὸν ἔμπροσθεν ἐσιγήσαμεν χρόνον, ἀλλὰ [διὰ] τὰ περιεστῶτα δεινὰ ἡμᾶς τὴν μακρὰν ταύτην σιγὴν ἐποιήσαμεν. Οὐ γὰρ ἐν ἐνὶ ἵδρυται τόπῳ, ἀλλὰ νῦν μὲν, νῦν δὲ, καὶ τὰς ἐρημίας περιπολοῦμεν. Οὕτω πάντα θορύβων ἐμπέπληνται καὶ ταραχῆς.

Μήτε ἀθύμει μήτε ἁμαρτίας λογίζου τὴν ἀποδημίαν τῆς μακαρίας· εἰς γὰρ ἀκύμαντον κατέπλευσε λιμένα καὶ πρὸς ζωὴν ἦλθε καλλίστην μηκέτι πέρας ἔχουσαν καὶ τῶν κατὰ τὸν παρόντα βίον κυμάτων ἀπαλλαγεῖσα. Καὶ δεῖ χαίρειν ὑπὲρ τούτου καὶ σκιρτᾶν καὶ εὐφραίνεσθαι.

Ἐγὼ μέν σου τὴν ἀγάπην ἣν περὶ ἡμᾶς ἔχεις ἤδειν καὶ ἔμπροσθεν, δι' αὐτῶν μαθὼν τῶν πραγμάτων, ἔμαθον δὲ σαφέστερον νῦν δι' ὧν ἐπέσταλκας νῦν, καὶ διὰ τοῦτό σε μᾶλλον θαυμάζομεν, οὐ διὰ τὸ γράψαι μόνον, ἀλλὰ καὶ διὰ τὸ ἀπαγγεῖλαι ἡμῖν πάντα τὰ γεγενημένα.

Τὸ μὲν σῶμα ἡμῶν ἐν ἐνὶ ἵδρυται χωρίῳ, τῆς δὲ ἀγάπης τὸ πτερὸν πανταχοῦ τῆς οἰκουμένης περιπατεῖ. Ὅθεν καὶ ἡμεῖς ὁδοῦ τοσούτῳ διῳκισμένοι μήκει πλησίον τῇ ἀγάπῃ ἐσμὲν καὶ καθ' ἑκάστην ἡμέραν ὀφθαλμοῖς τοῖς ἐκείνης βλέπομεν ὑμῶν τὴν ἀνδρείαν, τῆς ψυχῆς τὸ γνήσιον, τῆς διαθέσεως τὸ στερρόν.

Ἐθαύμασα πῶς ἐν οὕτω χρόνῳ μακρῷ ἡμῖν οὐκ ἐπέσταλκας, ἀλλ' ἀγάπην μὲν περὶ ἡμᾶς ἐπιδείκνυσαι, καὶ ἀπόντας, πολλὴν, γραμμάτων δὲ ἡμῖν οὐ μετέδωκας τῶν σῶν. Νῦν γοῦν ἡμῖν γράψαι μὴ κατοκνήσῃς.

Γράφομεν ὀλιγάκις τῇ σῇ διαθέσει διὰ τὸ μὴ ἐπιτυγχά-

5. *ὀλιγωροῦντες*.— 6. *διὰ* λείπει. — 13. *καλλίστην* προστεθειμένον ἐν τῇ ὥχ.— 18. *τοῦτο*. — 23. *τοσούτου. τῆς ἀγάπης*. — 24. *καθεκάστην. ἐκείνοις*.

Digitized by Google

νειν ῥᾳδίως τῶν ἐπικομιζόντων τὰ γράμματα· μεμνήμεθα γὰρ οὐκ ὀλιγάκις, ἀλλὰ διηνεκῶς. Τὸ μὲν γὰρ ἐφ' ἡμῖν κεῖται, τὸ δὲ οὐκ ἐφ' ἡμῖν. Τοῦ μὲν γὰρ μεμνῆσθαι διηνεκῶς αὐτοὶ κύριοι, τοῦ κομίζειν δὲ τὰς ἐπιστολὰς οὐκέτι. Διὰ τοῦτο τὸ μὲν ἀεὶ γίνεται, τὸ δὲ οὐκ ἀεί, ἀλλ' ἡνίκα ἐξῆν.

Οἱ πρὸς χάριν γράφοντες ἢ λέγοντες ἐπισκοτοῦσι τὰς διανοίας καὶ βλάπτεται ὁ τυχὼν οὐ μόνον ἐκ τῆς ἀδήλου τῶν ὑπαρχόντων κτήσεως, ἀλλὰ καὶ τῇ τούτων βλαβερᾷ ἀπάτῃ. Οἱ δὲ βέβαιοι φίλοι τὸν τῆς ψυχῆς πλοῦτον ἐγκωμιάζουσιν. Ἔστι δὲ ὀρθῆς πίστεως ἀδιάλειπτος μελέτη, σωφροσύνη, ἐλεημοσύνη.

Οὐ διδάσκω, πάτερ, ἀλλ' ὑπομιμνήσκω, νόμος φύσεως καὶ πρόσταγμα θεοῦ κελεύει οὐ μόνον γεννᾶν, ἀλλὰ καὶ κήδεσθαι τῶν γεγεννημένων. Εἰ γὰρ τῶν ἀλόγων ζώων κατανοήσομεν πῶς τὴν τροφὴν φέρουσι τοῖς φιλτάτοις ἢ ἑαυτοῖς πεινῶσι παρέχουσιν, ὁ δὲ ἄνθρωπος λογισμῷ καὶ τιμῇ ὑπερέχων πῶς οὐχ ἱκανῶς τρέφει καὶ παιδεύει τὰ οἰκεῖα, ἀπορῶ.

Οὐ τόπος ἀμείβει γνώμην, οὐ χρόνος ἀμβλύνει διάθεσιν, εἰ μή τις πλαστὴν ἀνθρωπίνῳ ταύτην κέκτηται προσχήματι. Διόπερ καὶ τὸ γράφειν συνεχέστερον ἀσφαλὲς καὶ τὸ ὑπομιμνήσκειν διηνεκῶς εὐπρεπές.

4. *διατοῦτο μὲν.* — 8. *κτίσεως.* — 10. ‖ Κώδ. 188,6. — 12. *ὑπομνήσκω.* — 18. *Ου.* — 20. *ὑπομνήσκειν.*

Digitized by Google

www.libtool.com.cn

Digitized by Google

www.libtool.com.cn

ΤΟΥ ΑΘΗΝΩΝ ΠΟΙΗΜΑΤΑ

Θεανώ.

Ἡσυχίης τόδ' ἄθυρμ' ἐμὸν ἠδέ τε λέσχη μακρὰ
ἀνδρὸς ἀκηδιόωντος ἀήματι νυσταλόεντι,
οὐ μὰν ἄμουσον πάμπαν ὅλον τὸ πόνημα πέπαικται,
ἀλλ' ἐπιμιξ τῆς παιδιῆς ἔσθ' ἃ καὶ ἐσπούδασται.
Οὐδέ γε αὖ ἱερῇ πολιῇ καθάπαξ ἀπεοικὸς
οὔνομα καὶ Θεανὼ κικλήσκεται, οὔνομα σεμνὸν
καί κε σὺ τοῦτο γνώσεαι, ὦ φίλος, αὐτίκ' ἐπελθών.

Κόσμον ἐμῶν προθύρων, συκέην σκιόεσσαν, ἀείδω,
οὕνεκ' ἀγάλλει ὀπωρινὸν ἡμετέρην γε θυωρὸν,
ἀμφότερον καρπῷ γλυκερῷ, πετάλων τε καλύπτρᾳ,
πρὸς δ' αὖ καί τι νόῳ δεδαηκότι δῶκεν ὄνειαρ
οἷα θεάμονες ἄνδρες ὕλης ἀπονόσφι συλῶντες
ἀμβροσίην κατέδουσι σπῶσί τε νέκταρος ἄχνην.
Εἰ γὰρ χάρμα μέγ' ὤφθη θεσπεσίῳ ὑποφήτῃ
αὐτομάτῃ κολόκυντα φυεῖσα λίην πλατύφυλλος
οὕνεκά οἱ κεφαλῇ σκιερὸν σκέπας ἀμφετάνυσεν,
τίς κεν ἐπιτρύζων νεμεσήσῃ συκῆς ἀοιδῇ,
αἴ κεν μὴ κολοκύνταις τἄνδον φάεα λημῶν

Τὸ ποίημα τοῦτο περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 180,α - 185,6.

Ἐν τῷ τίτλῳ εὕρηνται μόνον αἱ λέξεις *τοῦ ἀθηνῶν*, γεγραμμέναι διὰ ζωηρᾶς κοκκίνης βαφῆς. Ἡ δ' ἐπιγραφὴ τοῦ πρώτου τούτου ποιήματος *Θεανὼ* εὕρηται ἐν τῇ ὥᾳ γεγραμμένῃ διὰ κιρρᾶς βαφῆς ἀπέναντι τοῦ ὀγδόου στίχου. Οἱ πρῶτοι ἑπτὰ στίχοι τοῦ ποιήματος εἶνε γεγραμμένοι ἐν τῷ κώδικι διὰ κιρρᾶς βαφῆς.

1. *ἠδὲ τελέσχη.* — 3. *τε πόνη πέπαικται.* — 4. *ἃ κεν.* — 9. *οὕνεκα. ὀπωρινὴν.* — 16. *οὕνεκα.*

Digitized by Google

οὐχ ὁράα κολοκύντης ὅσῳ κράδη περίεστιν
ἔν τε μελιχρῷ καρπῷ ἐν ταναῇ τε σκιῇ.
www.tibtool.com.cn
Μήδων μὲν βασιλῆϊ πολυχρύσῳ ἀγερώχῳ
θάμβος ἐνῆκε φανεῖσά που ἀμφιλαφὴς πλατάνιστος.
Τοιγὰρ ἐπεὶ χρυσῷ εὐδαιμονίην παρεμέτρει
χρυσῷ καὶ τόδ' ἐρώμενον ἔρνος ἐκόσμει· ἐκεῖνος
ὄφρα κατασκιάοιτο χρυσοκόμῳ ὑπὸ δένδρῳ.
Οὐ γὰρ κείνῳ ἀνασχετὰ μὴ οὐ καὶ σκιὴν αὐτὴν
χρυσεοφεγγέα τευξέμεν ἔκ τε μελαίνης ξουθὴν,
σπεύδων καινοτόμοις ἐπ' ἀθύρμασιν εὐχετάασθαι.
Ὡς πολέμου σκιὰν ἐν νεφέεσσι βελῶν σχεδιάζεν,
ὡς Πόντον μὲν Ἕλης πεζευτὸν ἔτευξεν ἀμάξαις
γαιώσας πολυγομφώτῳ σχεδίῃ λινοδέσμῳ,
τρηχεῖαν δὲ Ἄθω ῥάχιν ἐστόρεσεν νήεσσιν.
Ὡς οὐδὲν φρένας ἀνδρῶν πάμπαν ὄλλυσιν ἄλλο,
οἷον ὑπέρβιος ὕβρις ἀγηνορίης πολυόλβου.
Κράδην δ' αὐτὸς ἔγωγε φίλην οἷς ἔχω στεφανώσω
‖ κρούμασιν ὀξυτόνοις μολπὴν φιλόμουσον ἀείδων.
Ἀλλ' ἄγε, θυμὲ φίλ', ἔννεπε τίς γε φυτοῖο γενέθλη,
τίς τε πρῶτα τόδ' ἔρνος ἐγείνατο γουνὸς ἀρούρης.
Ἤτοι μὲν σοφίης κυκλικῆς σελίδες πολύμυθοι
Ἀτθίδα φασὶ συκῆς πρωτότοκον γενέτειραν
ἔνθα γ' ἐπικλείουσιν Ἐριχθόνιον γαίηθεν
φῦναι πρωτογόνοιο λοχείης ὠδίνεσσιν,
μαρτυρίην δ' ἐπέων ἱερὴν ἐπάγονται συκῆν.
Ὡς γὰρ Κεκροπίδα καλέουσι πάλαι γενεῆθεν
ὀργάδα που πρασιὴν ἐπὶ ἀνδήροισιν Ἰλισσοῦ,
σὺν δ' ἐπὶ κύρβιν ἀπόρρητον καθάπαξ ἀπύουσαν
ἐκφορέειν σύκα τῆλ' ἀπ' Ἀθηνάων ἀπιόντα·

20.*ἔν τε ναῇ σκιῇ*.—28.*εὐχετάᾶσθαι*.— 30 *ἕλης* ἐν ἐνὶ *λ* χάριν τοῦ μέτρου. *ἁμαξαις*.— 36. ‖ Κώδ.180,6. *ὀξατόνοις*.— 37.*γενέθλην*.—41.*γένθεν*.— 43.*μαρτυρέην*.— 46.*κῦρβιν*.— 47.Τῆς λέξεως *σύκα* θεωρεῖ βραχεῖαν ὁ Μιχαὴλ τὴν πρώτην συλλαβὴν ἃ κἂν χρῆται αὐτῇ οὕτως ἐνταῦθα χάριν τοῦ μέτρου.

Digitized by Google

ἔνθ' ὃς ἔφηνε τὸν ἐξαγαγόντ' ἐκάλουν συκοφάντην.
Ἦκεν ἀγασθείη τις ὅπως ἑτέρης μὲν ἐδωδῆς
οὔποτε παῖδες Ἐρεχθῆος ἐφθόνεον μερόπεσσιν,
οὐ κριθῆς, οὐ πυροῦ φύντος Ἐλευσίνησιν,
οὐ μὲν ἐλαίης οὐδ' αὖ ἡμερίδος πολυοίνου,
οὔτ' ἄρ νέκταρος Ὑμηττοῖο μελισσοβότοιο·
πᾶσι δὲ κοινώσαντο φυτὰ καὶ σπέρματα πάντα
καὶ βροτέην βαλανηφάγον ἱλάρυναν τράπεζαν
Τριπτολέμοιο διδαξαμένου ἤδιστον ἄροτρον.
Οἷα δὲ οἷοι σῦκα παρὰ σφίσιν αὐτοὶ ἀπηύρων,
οὐδ' ἐξῆγον ἐπ' ἀλλοδαπήν τινα γείτονα γαῖαν,
οὐδ' ὅσον ἐν πλεκτοῖς ταλάροις ἑτέρωσε κόμιζον.
Ὣς θ' ὁπότ' ἔθνεα δένδρων ἐχειροτόνουν βασιλῆα
δέλτοι πρεσβυτάτης σοφίης τό γε μυθήσαντο·
αἴ κεν μὴ σκῆπτρον βασιλήϊον ἐξομόσαντο
ἡμὲν ἐλαίη, ἠδὲ συκῆ, ἠδ' ἄμπελος αὐτή,
ἀλλά τι ἀμφ' αὐτῷ νεῖκος καὶ δῆριν ἔθεντο
ὡς Ἥρα περὶ μήλῳ, Ἀθηνᾶ τ' Ἀφροδίτη τε,
τὴν συκέην δοκέω βασιλείας ἄρασθαι κῦδος
τῶν κατ' Ἀρήϊον εὐνομέοντα Πάγον δικασάντων
ὡς ὅτε καὶ αὐτοῖσι θεοῖς ψηφοφορέοντες
θαλλὸν ἐλαίης Πειραιῶς μέγ' ἀμείνον' ἔθεντο.
Ὡς βασιλευτέρα ἡ συκέη φυτῶν ἄλλων ἔσκεν.
‖ Τῷ βασιλῆες ἐὴν ἐπίνικον ἀγακλέα πομπὴν
εὖτ' ἂν, ἄστεα δυςμενέων στρατιήν τ' ὀλέσαντες,
εἰςελάωσιν ἀγαλλόμενοι νικηφορίῃσι,
θρίαμβον καλέουσι παρωνυμίῃ χαριέσσῃ

49. *ἀγαθείη*. — 51. *οὐ κριθῆς οὐ πυροῦ ἄρτον φυέντων* γεγραμμένα ἐν τῷ κώδικι χειρὶ ἴσως νεωτέρᾳ ἐπ' ἄλλων γραμμάτων διεξεσμένων, τὰ νῦν ἀδιαγνώστων. Τὴν διόρθωσιν θεωρῶ πιθανὴν, παραληφθέντος ἴσως τοῦ *ἄρτον* ἔκ τινος ἄλλου κώδικος. — 57. *σύκα. αὐτοῖς ἀπηύρων*. — 65. *ἀθηνᾶ. ἀφροδίτη δε*. — 71. ‖ Κώδ. 181,α. Ὑπὸ τὰς λέξεις *ἐπινίκιον* (οὕτως ἐν τῷ κώδικι) *ἀγακλέα* ἦσαν πρότερον γεγραμμένα ἄλλα τινὰ τὰ νῦν ἀδιάγνωστα.— 73. *νικηφορήσι*.

Digitized by Google

θρίων συκῆς, ἐπεὶ γεραρώτερα φύλλων ἁπάντων
ὡς καὶ καρποὶ ἀπαργμάτων ὡραίων προπάροιθεν·
εἴ τι παλαιὸν ἀκούοις ὠσχοφόρων τόδε πλέγμα
εἰρεσιώνη σῦκα φέρει καὶ πιόνας ἄρτους
καὶ μέλι ἐν κοτύλῃ καὶ ἔλαιον ἀναψήσασθαι
καὶ κύλικα εὔζωρον, ὡς ἂν μεθύουσα καθεύδῃ.
Ὡς μὲν μυθοπόλοι τόδε δένδρον ἐσεμνώσαντο,
αὐτὰρ ἐγὼ λογίων πυθόμην, ἐμὸν οὖας ὑποσχών,
ὡς ἄρ' ἐπ' Ἀντολίης θεὸς ὄρχατον ἐξεπόνησεν,
χρῆμά τι δενδρῆεν πάσαις χαρίτεσσι μεμηλὸς,
παμφορίῃ τ' ἀθανάτων καρπῶν βεβριθὸς αἰεὶ,
τοὺς οὐκ ἐς τόδ' ἐφημέροις ἀνδράσι γευστοὺς ἴδμεν,
οὐδὲ μὲν οὐνόματ' ἔκλυέ τις ἅ γ' ἕκαστα καλοῖτο,
οἵης δ' οὖνομα συκῆς κεῖθεν ἀφίκετο δεῦρο,
ἢ καὶ πρωτογόνους ἑοῖς ἀμφέζωσε πετήλοις,
μὴ μελέων σφίσιν αἴσχεα παρφαινοίατο γυμνά.
Ἥ που καὶ βλύσατ' οἰκτροῖς ᾧ μελιηδέϊ χυμῷ
πευκεδανήν γε παραιβασίης θανατώδεα γεῦσιν.
Οὕτω κείνων ἀκηράτων ὀρχάτων ἐξέφυ συκῆ
γηγενέας τε μόνη ἐλεαίρουσ' ἀμφεκάλυψεν.
Ἔνθεν τοι φιλέω σκιερὸν γλυκερόν τε τόδ' ἔρνος,
ὅττι γε καὶ στυγέειν κακομηχανίην με διδάσκει,
ἰνδάλλουσ' αἰεὶ περιάμματα φυλλιόωντα
οἷάπερ Ἄδαμος Εὐά θ' ὑπερράψαντο ἀλεῖται.
Πρὸς δέ μ' ἐγείρει παμφορίη ἀρετῆς ἐράτεινῆς

S

ἑστίαν φιλοτοῖν Ἰὴν θεῖον ἄνακτα
μήποτ' ἀρασσάμενος φύλλοισι μόνοις κομόωντα,
ἀζαλέον θήσει, εἴτ' ἐκταμέειν με κελεύσῃ.
Ταῦτ' ἀναπεμπάζειν ὑπονύττει μνημοσύνησι.
Ναὶ μὴν καὶ τάδε μοι δοκέω λαλεούσης κλύειν.
«Ὦ πέπον οὐχ ὁράας ὅσον εἰσφορέει μοι ὄνειαρ.

77. *τόδ' ἄειγμα.*— 78. *σύκα.*— 83. *ἐκαντολίης.*— 90. *μη.* — 91. *κλύσατ'.*— 95. *ἔνθέν.*— 98. *οἷα περ.*— 105. *οὐχοράας.*

Digitized by Google

‖ ὠλεσίκαρπος ἐρινεὸς ἀβρώτοις ἐπ' ὀλύνθοις.
Τῶνδε γὰρ αὔτως ἀναπτομένων ἐπ' ἐμοῖς ὄζοισι
καρπὸν ἔγωγε πεπαίνω, οὐδὲ ῥέοντ' ἀποβάλλω
ταῖς φύσιος πυκναῖς ὑποθημοσύνησιν ὁμαρτῶν.
Σκέπτεό μοι σοφίης ἐξωτερικῆς ὀνέεσθαι,
τόσσον ὅσον περ ἔγωγε ψευδοσύκων ἐξ ὀλύνθων,
ὥς κεν ἐὸν καρπὸν βιότου τε λόγου τε φυλάσσοις.
Ὡς ὅ,τε Τεθμότης Ἰμέρων τ' ἀνὴρ ἐφράσαντο
Αἰγύπτου σοφίῃ Βαβυλῶνός τ' ἐννεάσαντες.
Ἀλλὰ τὰ μὲν καὶ ἂν ἐξ ἑτέρης συκέης δρέψαιο·
ξυνὰ γὰρ ὅσσαπερ ὤπασε πάσαις φύσις ξυνή·
ἄττα δ' ἐγὼ παρὰ πυθμέν' ἐμῷ πεύθουσ' ἐλελήθειν,
οὐ τρόφιμ' ἀγροιώταις, νήϊσιν οὐκ ἐπίοπτα,
δρεπτὰ δὲ οἷς σοφίης ἐνὶ κήποις εἰλίσσονται,
ἐξ ἐμέθεν τρυγόων μόνης ἄμβροτον εἶδαρ ἔδοιο.
Ἀλλὰ φράζεο πῶς συκάσαις ἂν θείην ὀπώρην,
χρὴ δέ σε μεμνῆσθαί πῃ Πυθαγόρου νοεροῖο.
Χρειὼ γάρ τοι ἰδμοσύνης κείνου διφόωντι.»
Ὣδε μὲν ἔννεπε καὶ σιγόωσά περ ἅπερ Θεανὼ
πυθαγορείη, ἣ γλῶσσαν τάμεν οἷσιν ὀδοῦσιν,
χαῖρε δ' ἐμὸς νόος ἐσθλαῖς ταῖςδ' ὑποθημοσύνησι.
Ὡς δὲ θεμέθλων ἢ φρεάτων ἢ ἄλωῆς σκαπτὴρ
κόψε μακέλλῃ γῆς ποτε κόλπους, ἅμα δε νέρθεν
οὔατα βεβλήκει ἑρμαίου ἄγγελος ἠχώ,
γήθησεν δ' ὃ τύχης ἐσθλῆς δώροις ἐπικύρσας,
καί τε μάκελλαν ἐπισπέρχων πρόφρων ἀνορύττει,
ὡς κραδίη μοι χαῖρε, νόος δ' αὖ ὦρτο θεωρός.
Ἔνθα περισκοπέοντι φυτοῦ στελέχη τ' ὄζους τε
οὔτε πολυστελέχοις ἐναλίγκιον εἴδετο θάμνοις,
οὔτε μονάπρεμνον πεφύκει γαίηθεν ἀνέρπον,

106. Κώδ. ‖ 181, 6. *ἐπολύνθοις*. — 109. *τῶ*. — 112. *ὣς*. — 114. *βαβυλῶνος*. — 119. *οἱ*. — 120. *ἐξεμέθεν. ἄμβροτον*. — 125. *πυγαθογορείη*.

Digitized by Google

ἀλλὰ δύω μὲν πρέμνω ἀναδραμέτην ἀπὸ ῥίζης
βαιὸν ὑπὲρ γαίης ἀνιόντε ὅσον τ' ἐπὶ πῆχυν,
εἶτ' ἄμφω ἀνὰ ὄζον παρφυάδα προβαλόντε
αὖθις ἀνέρχονται, μετὰ δ' αὖ σχίζονται τριχθά,
ὄζοι δ' αὖ δοιὼ δίχα λεπτοτέρους ἐπὶ ὄζους,
‖ τοιγὰρ ῥίζα μὲν ἄμφω πρέμνω γείνατο τώδε,
πρέμνα δὲ δοιὰ τέκε βλαστήματα τέτταρας ὄζους,
οἱ δ' αὖ δοιὼ ἐξανέηκαν πέντ' ἐπὶ πέντε
μειοτέρους μὲν, ἀριθμητούς γε μὲν ἐκπρεπέας τε·
ὁσσάτιοι δὲ πολυσχιδέες δεκάδος προκέχυνται
τίς κεν ἀριθμοίη μὴ ἄνθεα φύλλα τε μετρῶν;
Ἀλλ' ὄψει μὲν ἰδέσθαι πρέμνα τόσα βλαστοί τε.
Αὐτὰρ ἐγὼ νοερώτερον εἰδομένοις ἐπιβάλλων,
φημί γε κεγχραμίδα, κραδίνου δένδροιο σπέρμα,
ἰνδάλλειν μονάδα, πρωτίστην μητέρ' ἀριθμοῦ.
Τυτθομερὴς γὰρ κεγχραμὶς ἐγγυτάτη τ' ἀτόμοιο,
ἀλλ' ὅσον τὸ δένδρον [χ']ὑλημανὲς ἐξέθρεψεν!
Ὡς δ' αὕτως μονὰς ἀρχὴ ἐοῦσ' ἄτομός τ' ἀμερής τε
ὁλκὸν ἄπειρον ἀριθμοῦ χεύατ' ἀπειράκις αἰεὶ,
πρὸς δ' αὖ καὶ σημήϊον ὅττι θετὴ μονὰς ἄλλη
ὡς ἄθετον σημήϊον ἡ μονὰς ὦπτο περιττῶν.
Τοῦ κε ῥυέντος πᾶν μεγεθῶν γένος ἐξεφαάνθη,
πρῶτον ἐφ' ἓν, μετέπειτα διχῇ τριχθά τε, χυθέντων
τοῖσι περαίνεται δέμας ἅπαν [καὶ] σύμπας ῥυθμός.
Ὧδε μὲν ἡ κεγχραμὶς ἠὲ φυτοῖο ῥίζα
σήματος ἢ μονάδος κε σαώζοι πως εἴδωλον,
πρέμνα δὲ δοιὰ πρεσβυτάτης δυάδος λάχεν εἰκῶ
ὡς ἄν ὑλήεντα πρό τε ὀμμάτων ὄντα θετά τε

139. *ἀνέξονται*.— 141. ‖ Κώδ. 181,6. — 144. *ἀριθμητους*. — 146. *φῦλλα*. — 148. *εἰδομένοι*. — 156. *περιττῆς*. — 158. *τριχθὰ* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *τριχθᾶ*.— 159. *ἅπαν καὶ σχῆμα*
σύμπας ρυσμὸς. Αἱ λέξεις *καὶ σχῆμα* εἶνε ἐπιγεγραμμέναι διὰ κφρᾶς βαφῆς. Ὁ δὲ στίχος εἶνε πάντως διεφθαρμένος.

Digitized by Google

κἀρτ' ἐνύλοιο νοητῆς τε ἰδ' ἀθέτου τε.
Ὡς γὰρ κεγχραμίδος μιῆς ἔφυ δοιὰ πρέμνα,
τὼς μονάδος πρώτη δυὰς ἐκθορε τολμήεσσα.
Ὡς πρέμνοιν δὲ παρέβλαστον δύο δοιοὶ βλαστοὶ
καὶ τετραπλόα θῆκαν δικρόα γ' ἔμπης ἐόντα,
ὡς δοιαζομένη δυὰς ἐξεφάνη τετρακτὺς
Πυθαγόρου Σαμίου σοφίης ἐρικυδὲς θαῦμα,
ἧς κλέος ἔν γε δαήμοσι καὶ πολλῶν ἕνεκ' ἄλλων,
μᾶλλον δ' οἷς δεκάδ' ὠδίνει, κορύφωσιν ἀριθμῶν·
λάθριον, οὐδέ γε δημοτέροις λαοῖς ἐκφερόμενον·
ἄζομένη ποῦ τέθμια σεμνὰ πυθαγόρεια.
Αἱ δέ γε διτταὶ πεντάδες ὄζων ἐκπεφυκυῖαι
‖ πᾶσιν ἐναργέ' ἔθεντο χύσιν δεκάδος σωρηδὸν
πρόσθεν κρυπτομένην τετρακτύος ἐν θαλάμοισιν.
Καί κεν ἐπ' ἄλλῳ κύδεϊ κομπάζοιτό [γε] πεντὰς
τῇ μὲν ὅτι φράσατο προτέρη ὑμέναιον ἀριθμῶν
ἄρτιον ἁρμόσασα πρῶτον, πρώτῳ γε περιττὸν,
τῇ δ' ὅτι μιν δίχην οἵην ἀριθμῶν κικλήσκουσιν,
ὧδέ γ' ἐπικλειόντων Πυθαγόρου ὁαριστῶν.
Ὅσσα δὲ τοὐντεῦθεν πολύοπτά τε λεπταλέα τε
ἐκφορίων ἀναμίξ ἐπετείων ἠδὲ πετήλων,
ταῦθ' ὁρόων ἐπιτεκμήραιτό τις ἴδρις [ἂν] ἀνὴρ
τήν γ' ἐπ' ἄπειρον ἀριθμοῦ ῥύσιν ἀεξομένοιο.
Δένδρου δ' ἡ σκιὴ εὖρος ἔχουσ' ἀβαθὲς μῆκός τε
στορνυμένη κατὰ μαρμαρέης τῆςδε τραπέζης
κεῖνο εἴσκει μοι μέγεθος τὸ διχῇ γε διεστώς.
Ὅσσα δ' ἐπ' αὐτῆς ἠελίου ῥαντίσματα φανὰ
αἱ πετάλων διέχειαι σχίζαι τε σπείρουσι,
γραμμῶν σχήματ' ἐναργέα φαντάζει τυπόωντα
εὐθύγραμμά τε, μυριόγωνά τε, κυκλοτερῆ τε,

165. *ἐφ φυδοιὰ.*— 167. *δοοὶ* κατὰ διόρθωσιν ἐκ τοῦ τὸ πρῶτον γραφέντος *δοιοὶ*. — 176. ‖ Κώδ. 182,6. — 177. *θαλάμησιν.*— 178. *κομπάζοιτο. γε* λείπει.— 180. *περιττῶ.*— 182. *ὁ ἀριστῶν.* — 183. *δε τοὐντεῦθεν.*— 185. *ἴδεις ἀνήρ.*— 186. *ἀπείρον.* — 187. *εὖρος. μῆκος.*

Digitized by Google

εὔδιος ἠνίκα νηνεμίη, θρία δ' ἀτρεμέουσιν.
Εἰ δ' ἀήταις φυλλάδες ἀκρέμονές τε δονεῦνται
πρίν τις κύκλος ἐνινδαλθῇ, μετέπαλτο ἐπ' ἄλλο
εὐθύγραμμον, ἐς ἄλλο δ' ἐκεῖνο μετασκαίρει αὖ
κύκλιον ἢ πολυγώνιον ἢ δ τύχοι ἑτεροῖον,
πάντα δ' ἀνατράπελα στεροπαῖς ἰκέλῃ ταχυτῆτι.
Ὡς μὲν ἐγὼ φυτὸν ἀμφαφόων παλάμῃσι νόοιο
τοῖςδε δαημοσύνης γλαφυροῖς ἀναπεμπασμοῖσιν,
ἤδιον, ἠὲ ὀπώρη λαιμὸν, ἐμὴν φρένα τέρπω.
Ἔμπα γε μὴν οὐ τοῖα μόνον τρυγόων ἀγαπάζω,
ἀλλ' ἀναδιφάω ἐξ ἑτέρων ἕτερ' αὖ κύδιστα.
Παῖδες μὲν γὰρ Ἀλωῆος κατὰ θεῖον ἀοιδὸν
Ὄσσαν ἐπ' Οὐλύμπῳ μέμασαν θέμεν· αὐτὰρ ἐπ' Ὄσσῃ
Πήλιον εἰνοσίφυλλον, ἵν' οὐρανὸς ἀμβατὸς εἴη·
ἀλλ' οὐκ ἐξετέλεσσαν οὐδ' ἤδης μέτρον ἴσχοντο.
Τῷδε δ' ἐγὼν ἐπὶ δένδρῳ θῆκα μαθήσιος ὄψιν,
τῇδε δὲ αὖτε δαημοσύνην ὑπάτην ἐπιθήσω
‖ καί κε μοι ἔσσεται ἀμβατὰ τά περ ὕπερθεν Ὀλύμπου.
Ὡς γὰρ ἄειρέ με κεγχραμὶς ἡ φυτικὴ φυσική τε
ἕς γε θεωρίην οὗ μέρος οὐθὲν ἔην μονάδος τε,
ὥς ἐκ τῶν δ' ἀμερῶν, ἀδιαστάτων ἀύλων τε
αὖθις ἀερθεὶς ὑψινόοιο ἐρέσσω ταρσὸν
ἀρχὴν ἐπ' ἀκροτάτην ἀρχῶν γενέτειραν ἁπάντων.
Πλὴν μονὰς εἰς δυάδα προχυθεῖσ' ἄρρητον ἀπ' ἀρχῆς
καὶ μονάδων μονάδ' ἀρχικὴν, αὐτῶν ἀριθμῶν ἀριθμὸν
σῆμα ὅλων ὄντων προεὸν μεγεθουργὸν ἁπάντων,
κέντρον ἀφ' οὗ χῦτο πᾶν ἐὸν εἰς ὅ τε αὖ ἐπάνεισι
μέσφ' ὁμοειδέος ἕστηκε τριάδος τρικορύμβου
καί τ' ἄλλως ἐν ἐπιφροσύναις ὁρόωντι τόδ' ἔρνος,
ἔπλετο ἄλλο θεοψίης ἐσθλὸν ἔμοιγ' ἐπίβαθρον.
Ἀνδράσι μὲν γὰρ ἦν ὅτε ὦπτο θεὸς μακάρεσσιν
τῷ μὲν ὑπὸ δρῦν, τῷ δ' αὖ ὀξυκόμων ἐνὶ βάτῳ,

204. *ἀλλὰ διφάω*. — 208. *ἐξετέλεσαν*. — 211. ‖ Κώδ. 183,α. — 222. *ἔρνος*.

www.libtool.com.cn

Digitized by Google

ἄλλον ὑπ' ἀρχεύθῳ μεθ' ὁδοιπλανίην εὕδοντα
ἀγγελιώτης ἐξ ὕπνου μετὰ δαῖτ' ἀνέγειρεν,
πτόρθον δ' αὖ καρύης ὁρῶν ὄναρ Ἱερεμίης
ἐξεδάη θεὸν ἐγρηγόρθαι δρασείοντα.
Εὖ τι δένδρεα τοσσάδ' ἀλλοθαλῆ κατέλεξα ;
Ναθαναῆλον ἐόνθ' ὑπὸ συκῆν εἶδεν Ἰησοῦς,
αὐτὸς δ' ἐν συκέῃ θεὸν ὄψεσθαι δοκέω μοι
οὐκ αὐτοψίῃ ὡς κεῖνοί γε θεοῦ ὀαρισταὶ
εἰσωποὶ θεὸν ὀσσόμενοι φιλέοντα φιλεῦντες,
παρβολάδην δ' ὡς ἠύτ' ἐν ἰνδαλμοῖσιν ἀφαυροῖς,
ὡς νάπυος κόκκος βασιλείης οὐρανῶν εἰκών.
Τυτθὸς ἐγὼ πενίῃ φυῆς ἡλικίῃ τε νόοιο·
τοιγὰρ ὡς ὅτε τις Ζακχαῖος ἀρχιτελώνης
συκομοραίης δῆτ' ἐπεβήσατο εἰδέ τ' Ἰησοῦν,
ὣς συκέης ἐκ τῆςδε κἀγὼ νόον οἷον ἀερθεὶς
ῥίζαν ὁρῶ γε, θεὸν, πατέρ' αὐτόρριζον, ἄναρχον,
πρέμνα δὲ ῥίζης δοιὰ, υἱὸν ἄγημά τε θεῖον
ἐξ ὁμόθεν πεφυῶτα τὰ καὶ τρία ἔσκεν ἀριθμῷ·
αὐτὴ ῥίζα φύουσα φυέντα τε δύο πρέμνα,
ἀλλά γε καὶ ἓν ἦν ὡς ὁμοειδέα συμφυέα τε
‖ ζωῆς δένδρον ἓν οὗ κεν ἔδοντες ζώομεν αἰεί.
Τοίην ὀπωπὴν εἶδον [τ], αἴθε δὲ καὶ ἀΐοιμι
θεσπεσίης αὐδῆς ἐπικελλομένης μοι ὧδε·
«μικρόνοε, σπεύσας γε κενεμβασίης κατάβηθι,
μεῖναι χρή με τεῷ ἐνὶ οἴκῳ ἐπ' ἤματι τῷδε»
καὶ καταβαίην ὕψους ψευδομένου τε νόθου τε.
Εἶην δ' ἄρχιος ἐν τέγεϊ χθαμαλοῖο νόοιο
αὐτήν μοι σοφίην ξεναγησέμεν ἐμμενέουσαν.
Εἴ τις γὰρ κεκασμένος ἰδμοσύναισι περιτταῖς
δοξοσόφῳ φυσιώσει ἐπεμβεβαὼς αἶροιτο,
οὐ πρὶν ὑπὸ κλισίην ἐὴν ἀτρεκίην δέξαιτο

230. *τί.*— 231. *ναθαναήλον.*—233. *κεῖνοι.* — 236. *εἰκῶν.* — 238. *τίς.* — 239. *εἶδε.* — 242. *ἄημα.* — 244. *ῥίζουσα φύουσα.*— 246. ‖ Κώδ. 183,6.— 247. *τ'* λείπει.— 251. *ὕψος.*

www.libtool.com.cn

Digitized by Google

πρὶν καταβαίη αὖτως φυσιόωντος ὀρόγκου.
Καὶ τριτάτης γὰρ ἄντυγος οὐρανίης ἐπιβήτωρ
ἔννεπεν «εἰ σοφὸς ἔμμεναι ἐξ ὑμῶν δοκέει τις,
νηπύτιός γε τετύχθω ὄφρα σοφός τις ἔσοιτο».
Γηράσκειν μὲν ἐν ὀρχάτοις ἔκλυον Ἀλκινόοιο
ἄλλα τ' ἐπ' ἄλλοισι δρυόκαρπα, σῦκόν τ' ἐπὶ σύκῳ.
Εἰ δέ κε γηράσκοιεν ἧπυ καὶ φθινύθοιεν,
ἄττα δ' ἐγὼ τρυγόω μετακάρπια τῷδ' ἐπὶ σύκῳ
ἄφθιτ' ἀπευθέα φυλλοχόου μετοπώριδος ὥρης.
Οὔκουν ἀζαλέη ἔσεταί ποτε τοῖα φέρουσα,
ὡς κείνη ἣν Χριστὸς ἀράσσατο· χώσατο γάρ οἱ
οὕνεκα μὴ φερέκαρπος ἔην ἐπὶ ἥματα πάντα.
Ὠὴ τίπτε θέλει με τέρας τόδε λάθρα διδάσκειν;
Πῶς θεὸς ἔρνος ἀναίτιον αὖον ἔθηκεν ὁμοκλῇ
ὅττι μὴ ὥριον ἔν γε ἀωρίῃ ἔκφερε καρπόν;
Ἦ τάχα κέλλεται, εἰκόνι δειμαλέῃ φοβέων με,
παντοίης ἀρετῆς καρποτρόφον ἔμμεναι αἰὲν
καὶ ὅτ' ἀκαιρίη ἀντιόωσα θύραζε κολούει,
ὡς φέρε φᾶναι, εὖτ' ἂν ἀνὴρ ἐρέθῃ κακοεργὸς
κερτομίῃσι χαλαζῶν ἢ χείρεσσι πατάσσων
καί μευ θυμὸν ἀερτάζῃ ἀμύνεσθαι ὕβριν·
οὐ χρὴ μειλιχίης ἀγανοφροσύνης λελαθέσθαι
ὡς στυγέειν τὸν ἀδελφεὸν ἐν φιλαπεχθέϊ θυμῷ.
Οἷος ἔην Μωσῆς ἵλεως ἐν ἐπεσβολίῃσιν
‖ λισσόμενος θεὸν ὡς κεχόλωτο ἑ δεννάζουσιν·
τῆς περ Ἰησοῦς ἰσχανόων γλυκερῆς ὥςπερ ἐδωδῆς
βούλεται ὡς τεμένη ἐὰ ἠνεκέως ὁράασθαι.
Καί μεν ἐπήν τις ἔπεσσί τε καὶ ἔργοις χαλεπήνῃ·
καί κ' ἀπ' ἐμοῖο δρέψατο σῦκα ὅτ' οὐ σύκων ὥρη
οὐ καιρῷ πραϋθυμίῳ εὑρών με γλυκύθυμον,

260. *νηπίτυος*. — 268. *οὕνεκα. φερέκαρπος*. — 274. *ἀντιόωσα*.— 281. ‖ Κώδ. 184,α. — 283. *ὥστ' ἐμεγηέα ἠνεκέως*.— 285. *σύκα*.

www.libtool.com.cn

Digitized by Google

εἰ δὲ τρηχὺν ἐφεύροι· ἀλλὰ σχέτλια σιγῶ·
κεῖνο δὲ φαίην ὡς ὅ γε κέντρων ἀργαλέος τε
οὐ συκέη, τρίβολος δέ κεν ὀξυβελὴς καλέοιτο,
τῆς ὀδύνας σφακέλους τε ξυλλέγομεν, σύκα δ' οὐχί,
ὡς οὐδὲ σταφυλὴν ἀπ' ἀκάνθης κεντροκόμοιο,
οἷα κἀκεῖν' οὐχ ὧρσα σῦκ' ἐρατεινὰ Χριστῷ
πτωχὸν ἄημα ἐν ὄλβῳ, ἐν ἐνδείᾳ μεγαλόφρον,
ἐν νεότητι σαοφροσύνη, πενίῃ δ' ἐλεητὺς,
ἄλγεος αὖ πάλιν ἤματα οὐ κενὰ χάρματος εἶεν,
ἀλλ' ἀνακέκραγε Παῦλος· «χαίρετ' ἐπ' ἤματα πάντα».
Ἦρ' οὐ καὶ ἔδε, τέρψιας αἰτέων ἐν θρήνοισιν,
δίζεται ἀμφαδὸν σύκα ὅτ' οὐ σύκων εἴδεται ὥρη,
οἳ' αὐτὸς φέρεν αἰεὶ χαίρων καὶ ὅτ' ἂν ἔτλη
ὅσσα πέπονθεν ἀπ' αἰῶνός τις φαρμακὸς οὐδείς.
Ὡς παρακαίρια σῦκ' ἀγαπαζέμεν οἶδα Χριστόν.
Χαῖρε, φίλη ἱερή τε συκῆ, δένδρων βασίλεια,
συγγενέων δ' αὐτῶν συκέων τόσον ἄμμιν ἀρίστη
ὅσσον ἔην Θεανὼ σοφωτέρα θηλυτεράων.
Μή τι που ὑψικόμου δρυὸς Ἀβραάμου θυγάτηρ εἶς;
Εἰ γὰρ Ἀβραάμῳ τόσ' ἀνέγρετο τέκν' ἀπὸ λάων,
οὐ μέγ' ἀπὸ δρυὸς Ἀβραάμου ἐκφῦναι συκῆν,
ἐππότε κἀκ πιτύων ἐπικαομένων ἐφύη δρῦς.
Τῷ κομόωσα φιλοξενίῃσι θεοξενίῃ τε,
οἵην μὲν πολυειδέα μοι ξενίην παρέθηκας
τῆλ' ἀπ' Ἀθηνῶν ἐληλαμένῳ ἱερῇ ἀλήτῃ,
ἀμψύχουσα ὀΐζυρὸν ἦτορ ἐμεῖο νόον τε.
Οἵην δ' αὖτε θεοψίην ἰνδάλλουσ' ἀνέφηνας.
Ἀλλ' ὅσον Ἀβραάμου Ἄδαμος προγενέστερος ἔσκε
‖ τόσσον σὺ προτέρα δρυὸς ἐν κύκλῳ [δένδρων εἶς].

290. σῦκα. — 292. κακεῖν' οὐχ'. σύκ'. — 295. οὔ κεν. — 299. ἀρέτλη. — 300. πέπονθ' αἰῶνος τις. — 301. σύκ'. — 306. τόσσ'. — 311. ἀλείτῃ. — 315. ‖ Κώδ. 184, 6. Μετὰ τὴν λέξιν κύκλῳ τὰ γράμματα εἶνε ἀφανῆ, ἐπιτετριμμένα ὑφ' ὑγρασίας. Συνεπλήρωσα δὲ δένδρων εἷς κατ' εἰκασίαν.

www.jibtool.com.cn

Digitized by Google

Ἀνθρώπους φιλέουσ' ἐλεαίρεις ἀδρανέοντας.
Ὡς προγόνων οὖν ἐμεῖο ἐλεγχίην ἀμφέζωσας,
ὡς ἐμὲ κείνων ἄμναμον εὖ σκιόωσ' ἀναθάλπεις,
ὀρχάτων ἐξ ἱερῶν ἀπεωσμένον οἰοχίτωνα.
Ἀλλὰ συκῇ μὲν ὤν εὖ πάθον ἄντιτα δῶκα τοῖα,
νῆσον δ' ἣ τέκε μὴν τόδε δένδρον, ἐμοὶ δ' ἀνέηκεν,
ξεινοδόκος μὲν ἐμεῖο πεφυκυῖα, κράτ' ἐρυμνὴ
ἀστεφέ' ἐξ ἐπέων παρελεύσομαι ἠδ' ἀγέραστον;
Οὐ μὰ φιλοξενίην ἣν καὶ θῆρες σεβάσαντο,
πὰρ δὲ θεωτέρων ἀνδρῶν ὑπερτάτας εὗρατ' ἀμοιβάς.
Τοὶ καὶ θηλυτέραις ξενίης ἀπέτισαν ὀφειλάς.
Ὡς Ῥαάβην μὲν Ἰησοῦς περθομένης Ἰεριχοῦς
ξύν τε μελάθροις αὐτοῖς καὶ φύτρῃ γε σάωσεν.
Σιδονίῃ δὲ γυναικὶ λιμοῦ χθόνα βοσκομένοιο
Ἠλίας ὤπασεν ἐγκρυφιαζέμεν ἀμφοτέροισιν
ἀνθρακιῇ σποδοέσσῃ εὐρυτέρᾳ μάκτρᾳ τε·
ἅλις ἐπεί οἱ ἅλφιτ' ἄμυλα ῥέεν σιπύηθεν,
ξὺν δέ τε λήκυθος ἠνεκέως πήγαζεν ἔλαιον.
Αὐτὰρ ἐπεὶ θάνε οἱ πάϊς ἐξ Ἀΐδαο ἔγειρεν.
Καὶ μὲν Ἐλισσαῖος στερίφῃ ξεναγῷ πόρεν υἷα
τόν κεν ἄελπτα θανόντα παλίμπνουν ἔθηκ' ἀϋτμαῖς.
Εἰ δὲ γρηῒ πενιχρῇ, τὴν Ἐκάλην καλέεσκον,
Θησεὺς ὤφλε χάριν ξενίης ὀλίγης τε μιῆς τε
καί ἑ θανοῦσαν ἐνὶ μνήμῃ θέτο οὐ θνησκούσῃ·
οὐ γὰρ ἔην νήκουστα ἐτήσια δεῖπν' ἐκάλεια,
φεῦ δύστηνος ἐγὼ τόσ' ὀφείλων πῶς ἀποτίσω
νήσῳ τῇδε ὅλῃ γε φιλόφρονι κοινοξείνῳ,
ὥδ' ἕλκων βιότου μετανάστου μέσσαβα λυγρά;
Τί δ' ἀποδοὺς ξεινήϊον ἔν γέ τι ἀντὶ τοσῶνδε,
μὴ χαρίτων ἀνεπίστροφος εὐξείνων δοκέοιμι,
γνῷ δὲ Κέως ὡς οὐ τὸν ξεῖνον ἐτώσια φέρβει,

322. *πεφυκυῖ' ἄκρατ' ἐρυμνὴ.* — 325. *παρδὲ.* — 328. *φύτρῃ.* — 331. *εὐρυτέρα.* — 334. *θάνέ.* — 336. *τὸ.* — 337. *ἐκάλεῃ.* — 341. *ἀποτίσυω.* — 344. *ἀποδιδοὺς.*

Digitized by Google

ἐξάετες φιλέουσά με μειλιχίως ἀσύνοφρυς.
Ἀλλὰ τίς ἄν μοι δῶκε Σιμωνίδεω κιθαριστὴν
ὄφρα κε πατρίδα κείνου, ξεινοδόκον δέ τ' ἐμεῖο
‖ ἀντί τοι ἐργμάτων ἐσθλῶν ἐν ἄνθεσσι λίγαινον,
τῆς κλέα τοι πολιὰ πολιαὶ δέλτοι κροτέουσιν.
Ὥς ποτε τέτρασιν ἄστεσι τειχήρεσσι κέκαστο,
τῶν ὡς ἔκλυον οὐνόματ' ἦν περίπυστα πάροιθεν
Ποιήεσσα, Κορησία τοι, Κάρθαια, Ἰουλίς,
ἥ γε Σιμωνίδην ἠδ' Ἐρασίστρατον ἐξήνεγκε.
Τῶν ὁ μὲν ἐν μελέεσσι σοφοῖσι μέγ' εὔρατο κῦδος,
τῶν δέ γ' ἰητήρων Ἐρασίστρατος ἦεν ἄριστος.
Τοῖς ἐπανέσχον ἀριπρεπέες σοφίῃ παντοίῃ
ἔδρις ἀρίστων Βακχυλίδης τε Πρωταγόρας τε.
Τοσσατίους πολίτας σοφοὺς ἦδ' ἐθρέψατο νῆσος.
Οὐ σοφίης δὲ μόνον τροφὸς ἔπλετο μήτηρ ἐσθλὴ,
ἀλλά γε καὶ ἀρετῆς παντοίης ἐλευθερίης τε
ἀργαλέα ζυγὰ δουλοσυνάων ἀτιμάζουσα,
βουλομένη τε θανεῖν ἢ δούλιον ἦμαρ ἰδέσθαι.
Τῆς γὰρ τέθμιον, αἶκε τις ἀβρανέῃ γε καλῶς ζῆν,
μὴ ζώειν γε κακῶς ὡς εὐγενὲς ἔτρεφε λῆμα,
καί γε νῦν ἐξέτι κείνου θάλπει ζωὸν ἔναυσμα.
Οὐ γὰρ εἰναλίοις ποτὲ πειρατῆς εἶξεν ἀγεννῶς
ἅτε δυςέμβολος ἐς τόδε ἀλλοφύλοισιν ἐοῦσα,
πρῶτα μὲν ἔρκεσι φύσιος οὔρεσιν ἀντιόωσα,
τῶν οὐκ ἀμβατὰ ῥᾷστα τἀνάντη δυσμενέεσσιν,
οὐ τὰ κατάντη αὖτε καταιβατὰ παντὶ ἔασιν,
ἠδὲ φάραγξι παρακρήμνοισιν ἀπερρωγυῖα,
εἶτα καὶ ἀνδράσιν αἰπόλοις ἐργατίναις τ' ἐρύκουσα,
οἷς οὐκ ἔργα μὲν Ἄρεος αἱματόεντα μέμηλεν,
ἔμπα γε μὴν ἀμύνονται νήσῳ ἐπεμβεβαῶτας
δυσμενέας φρακτοὺς ἐνὶ τεύχεσι παγχάλκοισι,
βλήμασι τόξων ἠδὲ σφενδονῶν εὐθυβόλοισι

350. ‖ Κώδ. 189, α. *ἄνθοισι*.— 358. *ἀριπρέες*.—366 *λῆμμα*.

www.libtool.com.cn

Digitized by Google

βάλλοντες, σχεδόθεν τε πατάσσοντες κορύνῃσι
ποσσὶν ἐπεὶ γυμνοῖς καὶ κουφοτέροισι θέουσιν
οὕνεκα γαστέρας ἐντομόωνται σφηξὶν ὁμοῖα.
Οὐ γάρ τοι πολυσαρκέες οὐδέ τε πίονές εἰσιν,
ἀλλ' αἰὲν λαγαροὶ κενεῶνας, γυῖα δ' ἑλαφροί,
ὑδροπόται Ἀχιλείους κάγχρυας ἄδδην ἔδοντες
‖ καὶ βαλάνους δρυὸς ἧδιον ἧπερ φοι[νικείους]
καί τε λοετρῶν νήγδες ἄρκτοι ὡς ἀστερόεσσαι.
Ἀρκάσι γοῦν προςεοίκασι Κεῖοι, ὡς δοκέει μοι,
ἔς τε δίαιταν ὄρειον ἐς ἤθεα τ' ἠνορέην τε.
Καὶ μὲν ὡς οὐκ εἶξαν κεῖνοι κρατέουσι Λάκωσι,
δουλοσύνῃ θ' ὑπάγουσιν ἅπαν περιοίκων ἄστυ,
καὶ δὴ πευθομένοις ὁ Πυθοῖ χράων ἀνέειπεν·
«Ἀρκαδίην μ' αἰτεῖς, μέγα μ' αἰτεῖς, οὔ τοι δώσω·
πολλοὶ ἐν Ἀρκαδίῃ βαλανηφάγοι ἄνδρες ἔασιν».
Ὣς οὐδ' ἡ Κέως ἐς τόδ' ὑπὸ στόμα δέκτο χαλινὰ,
ἀλλ' Ἰταλοὶ, οἵμοι μοι πῶς θεὸς ὡς κεχόλωτο,
ἄστυ μὲν εἷλον πάμμεγα θείου Κωνσταντίνου,
οὗ μὴ κόσμος ὅλος καὶ πᾶς ἀντάξιος ἦεν,
κεῖθεν δὲ προχυθέντες ἐπέκλυσαν ἔκ γε Θρῄκης
εἶως ἀρπεδόνων νήσου Πελοπηΐδος ἄκρων
Εὐρώπης παραλίην πᾶσαν ἰδ' Ἑλλήςποντον,
τῶν τε μεταξύ γε πάντων ῥηϊδίως ἐπέβησαν,
Θέρμης, Θετταλίας ἠδ' Ἑλλάδος Εὐβοίης τε.
Αὐτὰρ ἐπεί κε Κυκλάδας ἐξείης συνέμαρπτον,
ὄφρ' ὑφ' ἑαυτοὺς γαίῃ συζεύξαιντο θάλασσαν,
ἔνθα Κέως, οὐχ ὕβριν ἀνασχομένη, ἀνέπαλτο,
βλέψε τ' ἐλεύθερον ὥς ποτ' Ἀθηνῶν χρύσεον ἄνθος.
Κεῖνοι γὰρ, σφᾶς ἐπεὶ δουλωσέμεν ἤθελε Πέρσης,
πρῶτα μὲν οὓς προΐει αἰτεῖσθαι γαῖαν ὕδωρ τε
ἐν καπέτῳ ζωοὺς βάλον ἔν τε φρείατι μακρῷ,

381. *οὕνεκα. σφήκεσιν.* — 384. *κάγχρυας.* — 385. ‖ Κώδ. 189,6. Τὰ ἐν ἀγκύλαις τελευταῖα γράμματα τῆς λέξεως *φοινικείους* εἶνε ἀφανῆ ὡς ἐπιτετριμμένα ὑφ' ὑγρασίας. — 405. *οὐχ'.*

www.libtool.com.cn

Digitized by Google

εἶτ' ἐπιόντα γε κεῖνον ἀπειρεσίῳ ξὺν στρατῷ
ναυμαχίῃ κατέαζαν, ὅσαν δ' Ἑλλάδος ἔξω.
Καὶ Κεῖοι δὲ νῦν οἵδε, βίην Ἰταλῶν στυγέοντες,
δασμολόγους μὲν τῶν δ' ἀπέπεμπον' ἀγγελέοντας
ἄλλην δρῦν βαλανιζέμεν, ἐκ δὲ Κέω χάζεσθαι.
Ταῦθ' ὡς ἔκλυον οἳ κρατέειν πάντων ὀΐσαντο,
Εὐβοίηθεν ἐπέπλεον ἐν κοίλῃσι νέεσσι,
μηκεδαναῖς δ' ἅπας λινοθώρηξ χαλκοχίτων τε
κνημίσι καὶ κυνέαις κεκορυθμένοι ἠδὲ σάκεσσιν,
ἀμφιβαλεῖν μενεαίοντες σφετέροισι πανάγροις
‖ ὡς Πέρσαι ποτ' Ἐρέτριαν ἔχμασιν ἅτε σαγήνῃ
εἴτε διαρραῖσαι ἠβηδὸν ὅλην ὀλέσαί τε
ὡς Θήβας Μακεδὼν φόβον ἐνσείων Παναχαιοῖς.
Οὐ γάρ τοι σφίσιν εἶδετ' ἀνασχετὸν οὔτε τλητὸν
πασάων ἠνία δεχνυμένων πολίων νήσων τε
ἐκ Συμπληγάδων εἰς θυσάνους Πελοποννήσοιο
οἵην Κυκλάδα νησίδα θαρσεῖν ἄντῃν ὁράαν.
Ἐν τοιῷδε χόλῳ ζάκοτοι νήσῳ ἐπέκελσαν,
ἐκ δὲ νεῶν βάντες δῦνον ὅπλα γανῶντα σιδήρῳ.
Αὐτὰρ ἐπεὶ μεθ' ἑκηβόλων ὀργάνων ἀγχεμάχων τε
μαστοὺς ἀναθρώσκειν ὀρέων μέμασαν ἄκρας τε,
δὴ τότ' ἀρήϊα μέρμερα ἔργα τέτυχθ' ἑκάτερθεν,
τά κεν ὁ Μουσάων θεράπων ὕμνησεν Ὅμηρος.
Κεῖνο δ' ἐγὼν ἐρέω σάφα λεπταλέῃσιν ἀοιδαῖς,
ὅττι πάλαι μὲν ὁ Δαυΐδος ψιλὸς ὁπλιτοπάλαν
εἷς ἕνα λᾶαν ἰεὶς βάλε κἀδ δ' ἔρραξεν ἔραζε,
νῦν δὲ ὅσους κατὰ γαίης τάννυσαν ὅσσοι Κεῖοι
πλήγμασι χερμαδίων πυκνοῖς ξὺν βλήμασι τόξων
εὔζωνοι πεπυκασμένους ἔντεσι δαιδαλέοισι.
Καὶ Μήδους μὲν ἔωσαν ἀφ' Ἑλλάδος ὀψέ γ' Ἀχαιοὶ
ἔν τ' αὐλῶνι Ἐλευσινίῳ ναυμαχέοντες

413. *ἀπέπεμπον.*—420. ‖ Κώδ. 185,α. *πέρσαί ποτ'. ἄχμασιν.* — 426. *ἄν τιν'.* — 428. *γανόοντα.* — 435. *καδδ'ἔραξεν.* — 436. *ὅσοι κεῖοι.*

Digitized by Google

ἔν τε Πλαταιαῖς ἱππομάχους ἐλάοντες πεζαί,
οἱ δὲ πρώτῳ τῷδε τελευταίῳ τε ἀγῶνι
παμφυλίην Ἰταλῶν ἐκ Κυκλάδων Αἰγαίης τε
ἤλασαν ἠὐτέ τι κνέφας, ἐν δὲ φάος πύρσευσαν.
Ὡς γὰρ ἐλευθερίην νήσοις σάλπιγξε τόδ' ἔργον,
πᾶσαι ἀδελφεὰ ῥέζον Αἰγαίοιο θύγατρες
καί τ' ἐράνων δασμῶν τε ἀπώσαντο πρηκτῆρας.
Καὶ νῦν ἑπτάετες τόδ' ἴαυσαν ἐξέτι κείνου
οὐκ Ἰταλῆς ὀφρύες ἀτασθαλίης τ' ἀΐουσαι,
χεῖρα παναλκέ' ὑπερσχόντος μεγάλοιο θεοῖο,
καὶ φλογὸς Εὔβοιαν καταβοσκομένης Κρήτην τε,
νήσους κειμένας οὐδ' ἑκὰς, Αἰγαίου ἑκάτερθεν,
οὐδ' ἑτέρωθεν ἐόντος ἱκάνειν πυρὸς ἀϋτμήν.
Ἀλλὰ σάωζε Κέω, βασιλεῦ αἰώνων Ἰησοῦ
‖ πημοσύνης Ἰταλῶν ἀλεγεινῆς αἰὲν ἄγ[ευστον]
ἂν δὲ σάου πόλιν ἁπασάων πολίων βασίλειαν
δουλοσυνάων ἀργαλέα προταμὼν ζυγόδεσμα.

Εἰς τὴν κοίμησιν τῆς ὑπεραγίας Θεοτόκου.

Γῆθεν ἀειρομένης νεφέλης τῆς φωτοδόχοιο
εὐθὺ θεοδμήτων θαλάμων ὑπερουρανίων τε,
αἴφνης ἠνίοχοι νεφέων ἐλατῆρες ἐλαφρῶν
κήρυκες οἵδε φέρονται γαίης ἄλλοθεν ἄλλος
ὄφρα Σιῶνος ἐς ἄστυ ἅμα τροχόωντες ἵκοιντο·
ἀθρόοι, ἀμφὶ κόρην θεόπαιδα θεοῖο [τε] τίτθην,
θείαις ἀοιδαῖσιν κοπετοῖσί τε κυδαίνοντες.
Τίς ἀτάλαντος τῷ Κυρίῳ ταῖς δ' ἐν νεφέλῃσιν
ἧς αὐτὸς ξυνάγειρεν καινοτέροις τεράεσσι
μητρὶ φίλῃ φίλον ἐξόδιον τόδε κῦδος ὀπάζων;

444. *ἠΰτέ*.— 450. *ὑπερεσχόντος*.— 455. ‖ Κώδ. 185,6. *ἀγ*.. τὰ λοιπὰ ἐπιτετριμμένα ὑφ' ὑγρασίας.

Τὸ ποίημα τοῦτο περιέχεται ἐν τῷ λαυρεντ. κώδικι, φ. 185,6.
5. *τε* λείπει.— 7. *ἀοιδαῖσι. κοπετοῖς*.— 9. *ξυνάγειρε*.

Digitized by Google

www.libtool.com.cn

Εἰς τὴν δευτέραν παρουσίαν.

Τίς ἱερογραφίης ὁρόων γε σοφίσματα τοῖα
βῆμα θεοῖο ῥίγιστον ὑπόψιον ἐκτυπόωντα
οὐκ ἂν καίριον οὐδ' ἀδεὲς δέος ἐκμάξαιτο,
εἰκόνι μὲν πολυανθέϊ σώματος ὄμματ' ἐρείδων,
φαντασίῃ δὲ νόου δίκην ἐσσομένην προδεδορκώς;
Ἀβάλε πῶς πάϊς ἄφθιτος ἀθανάτοιο θεοῖο
οὐρανόθεν μὲν ἔραζε κάτεισιν δεύτερον αὖθις
οὐχ οἷος πρότερον πτωχῷ ἐναλίγκιος ἀνδρὶ,
ὡς βασιλήων δ' ἐκπρεπέων βασιλεὺς ἐρίολβος
κύδεϊ θεσπεσίῳ στρατιῇσι τ' ἐπουρανίῃσιν,
ἐν δὲ θεμιστεύουσιν ἐφεζόμενος θώκοισι,
πᾶσαν πρωτογόνου γαίης Ἀδάμοιο γενέθλην
ἐκ κονίης ξυναγείρει ψυχοβόρου τ' Ἄϊδαο,
ὑπνόθεν ὥςπέρ ἀνεγρομένην ἰαχῇ σάλπιγγος
θᾶσσον ἢ ἀμπετάσαι βλεφάρου φάρος εἶτ' ἐπιμῦσαι,
ὄφρα κεν ἔργοις ἐοικότα μισθὸν ἕκαστος ἄροιτο.
Οἷος δ' αὖ ποταμοῖο ῥόος πυριφλεγέθοντος
πρόσθεν ὑπεκπρορέει μετεωροτάτου θώκοιο,
κλύζων ἐρίβρομος ἐν φλογίνοις ροθίοισιν ἁλιτρά.
Πρῶτα μὲν οὖν γε διακρίνων ἅτε πώεα ποιμὴν
‖ δεξιτερὴν μὲν ἄρα προβάτοις ἔπαγε πραέεσσι,
λαιὴν δ' αὖθις ἀλήταις κρημνοβάτοις τ' ἐρίφοισι,
αὐτὰρ ἔπειτα δικάσας ἀμφοτέροις μετέειπεν
ὧδε μὲν ἱσταμένοισι, δεξιτερῆς ἐπὶ χώρης,
«δεῦρ' ἴτε πατρὸς ἐμεῖο ἐπιστεφεῖς εὐλογίῃσι
κληροῦχοι βασιλείης ἔστε μενούσης αἰεὶ,

Τὸ ποίημα τοῦτο περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 185,δ - 186,α.

7. *κάτεισι*.— 21. ‖ Κώδ. 186,α. Τοῦ *ἔπαγε* σώζεται μόνον τὸ γ, τῶν λοιπῶν γραμμάτων ὄντων ἐπιτετριμμένων ὑφ' ὑγρασίας. — 22. *ἀλείταις*.

Digitized by Google

ὡς βρῶσίν τε πένησι πόσιν τε χιτῶνά τε δόντες»,
τοῖς δ' ἐπ' ἀριστερῆς· «ὦ κατάρατοι, νηλέες τε,
ἔρρετε τῆλ' ἀπ' ἐμοῦ ἐς ζαφλεγὲς ἀθάνατον πῦρ».
Ἔνθ' ἀγαθοῖσι μὲν ἐξανέῳγεν ἐρατὸς κῆπος,
δενδρέων ὀρχάτοισι τεθηλὼς καρποφόροισιν
ὅσσα φυτηκομέων θεὸς ἐξανέηκεν ἔωθι,
αἰχμὴ δὲ φλόγεος πυλαωρὸς τοῖσδ' ὑπόειξεν
ὄφρα φυτὰ ζωῆς τρυγῷεν ἀειζώοιο,
ἀμφὶ θεὸν δὲ χορείαν ἄληκτον ἀνελίσσοντες
φάεος ἀτρεκέος πίμπλανται γηθοσύνης τε,
ἀγγέλοις ὑμνοπόλοις συμμολπάζοντες ἀοιδάς.
Οἱ δ' αὖ ἀλιτροὶ τίσεων ἐς χώρους ἐλάονται
ἔνθα γέεννά τε πυρὸς ἀειφλεγέος γενέτειρα
καί τ' ἔρεβος μέλαν ἠδ' ἐξώτερον ἠδὲ βάθιστον.
Ἐν δὲ ῥίγιστος τάρταρος, ἐν δέ τ' ὀδόντων ἀραγμὸς
οἰκτρὸν βεβρυχότων ἐν ἀπειρεσίῃς ὀδύνῃσι,
σῆτές τ' ἄγρυπνοι πολυαλγέες ἰοβόλοι τε,
οἷς ἔπι ἄλγε' ἄπαυστα, γόοι, θρῆνοι στοναχαί τε.
Τάλας ἐγὼ, τρίχες ὀρθαί μοι, κραδίη δὲ πατάσσει
ὀσσομένου γραπτοῖσι τύποισιν, ὁποῖ' ἐν ἐσόπτρῳ,
ὅσσαι τλήμονας ἡμέας ἐκδέξονται ποιναί·
εἴθ' ὠφέλλομεν οἵ γ' ἐρίφοισιν ἐόντες ὁμοῖοι
μή ποτε νηδύος ἐκ μογερῆς πίπτειν γε θύραζε
ἢ δίκας ἐξαποτινέμεν ἐς λυκάβαντας ἀπείρους.

Εἰς Θεοτόκον.

Εἰ καὶ παμμιγέων Ἰταλῶν σύστρεμμ' ἀγερώχων
τῆλέ μ' Ἀθηνῶν ἤλασε, Παρθένε παμβασίλεια,

26. ἐστὲ.— 27. *βρῶσιν τε. χιῶνα.* — 37. *ἀοιδας.*— 43. *σῆτες.*— 45. *δε.*— 50. *ἐξαποτινέμεν.*

Τὸ *εἰς Θεοτόκον* ποίημα περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 186,6.

Τίτλος. *εἰς θεοτόκιον.*— 1. *ἀγέρωχον.*— 2. *τῆλε.*

www.ibtool.com.cn

Digitized by Google

ἔνθ' ἔλαχον θείου τεμένους σέθεν εἶναι ἀρητῆρ,
ἀλλὰ καὶ ὧς αὖ, ὅποι ποτ' ἂν ὦ γαίης μετανάστης,
πάντα σύ μοι θυτήριον ἄλλο, ναὸς μέγ' ἀμείνων
‖ οὐχ ἁρπακτὸς ἀτασθάλοις ἀνδράσι . . . .
Τοιγὰρ, ἄνασσα, σάωζε σὸν, εἴ ποτ' ἔην, ἱερῆα.
Σεῦ γὰρ ὑπεκκρεμόω ψυχὴν ἐμὴν, ἣν ἐλέαιρε.

Εἰς τὸν μονόκερων.

Τλῆμον ἐφήμερε οἷ' ἀπατώμενος οὐκ ἀλεγίζεις,
ἀλλὰ κλεψινόου βιότοιο ἴυγξιν ἁπαχθείς,
τῷδ' ἐν δενδρέῳ ἀμφιβέβηκας ὄναρ κομόωντι
ἀμφαγαπάζων ἣν μέλιτος γλυκεροῖο ἀπορρὼξ
χείλεα τέγγῃ καί τοι ἄφρονα θυμὸν ἰαίνῃ.
Αὐτὰρ ὄπισθεν ἐλάα διώκων οἰόκερως θὴρ,
εἴδωλον τόδε δεινὸν ἀνεκφύκτου θανάτοιο,
κέντρον ἀλιτροσύνης προβεβληκότος ὡς κέρας ὀξύ,
νέρθεν δ' ἦμαρ ἰδὲ κνέφας ἠύτε μῦες ἀναιδεῖς,
αἰὲν ἔδουσι φίλης βιοτῆς πρέμνον ταχύποτμον,
ἐξ ἐρέβους δ' Ἀΐδης ὥς τις δράκων ἀμφικέχηνε.
Τοῖά σε δείματ' ἄλλοθεν ἄλλα περιστοδὸν ἄγχει.
Σοί γε μὴν, ὤλεσε γὰρ φρένας ἡδονὴ, οὔ τι μέμηλεν,
ὄφρα κε νήπιος ὑστατίοις κακοῖς ἐπικύρσας
γνώσεαι οἷα σεαυτὸν ἔοργας ἄτῃσι νόοιο.

Εἰς τὴν σταύρωσεν.

Δράκοντι δηχθεὶς καὶ νοητοῖς σκορπίοις,
θνήσκων τε μικροῦ καὶ τὰ λοίσθια πνέων

3. *ἀρητὴρ*.— 4. *ὅποί*.— 6. ‖ Κώδ.186,6.

Τὸ *εἰς τὸν μονόκερων* ποίημα περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 186,6.

6. *ἐλέα*.— 7. *ἀνεκφύτου*.— 11. *ἐξερέβου*.— 12. *τοῖα*.

Τὸ *εἰς τὴν σταύρωσιν* ποίημα περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 186,6.

Digitized by Google

ἀναθεωρῶ τὸν κρεμασθέντα ξύλῳ,
ὡς καὶ θανών πως ἀναβιώην πάλιν.
www.tibtool.com.cn
Ἀνάστασις γάρ ἐστι καὶ ζωὴ μόνος,
ὡς ἀμνὸς αἴρων κοσμικὴν ἁμαρτίαν.
Εἰ χάλκεος γὰρ καὶ τυπικός τις ὄφις
ἐρπυστικῶν δήγμασι θανατουμένους
ἐζωοποίει προσδεδορκότας μόνον,
πῶς οὐκ ἂν αὐτὸς ἐξαναστήσεις, ἄναξ,
κέντρῳ πεπληγότα με τῆς ἁμαρτίας
καὶ κείμενον δείλαιον ὡς τεθνηκότα
καὶ βλέμμ' ἀνατείνοντα πρὸς σὲ καὶ μόνον;
Ἀλλ', ὦ πρὸς ὕψος ἀναβὰς θεοῦ λόγε,
ὡς πάντας ἄρδην πρὸς σεαυτὸν ἑλκύσαις,
ὡς αἰχμαλωτεύσειας αἰχμαλωσίαν,
ὡς αὐτὸς εἶπας καὶ Δαυὶδ ψάλλων ᾄδει,
ἕλκυσον, ἀπάλλαξον αἰχμαλωσίας
καὶ προσλαβοῦ με τὸν κακοῖς ἀπωσμένον
χερσὶ ταθείσαις σταυρικῇ διατάσει,
καὶ ζωοποιῷ σῷ τριταίῳ θανάτῳ
ἔμπνευσον ἐμπνεύσαντι παλινζωίαν
ὡς πνεύματι ζῶ σήν τε νέκρωσιν φέρω
καὶ συμμετάσχω, σῶτερ, ἀειζωίας.

Εἰς τρίμορφον.

Σῶτερ, Κύριε, δέσποτα Κύριέ μου,
πρόσφατε ναὲ καὶ θεὲ χρόνων πάτερ,
παθὼν ἐφάπαξ καὶ θανὼν ἑκουσίως,
αὐθημερὸν μὲν ὡς νεὸς λελυμένος
θεὸς δ' ἀναστὰς ἐκ ταφῆς τριημέρου,

15. *ἑλκύσας.*

Τὸ *εἰς τρίμορφον* ποίημα περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 186,6.

Digitized by Google

αἰωνίως ζῶν, οὐκ ἀποθνήσκων ἔτι,
μνήσθητι, κἀμοῦ σῶν καλῶν λελησμένου,
μνήσθητι, λῃστὴς ἄλλος εὔνους εἰμί σοι,
εἰ καὶ κακοῦργος, ἀλλὰ σοῦ κήρυξ κράτους.
Εἰ δ' οὐκ ἐμαυτὸν καὶ συνεσταύρωκά σοι,
‖ σταυρὸς δ' ἔμως σὸς πάμμεγας καύχημά μου.
Ἴλαθι τοιγὰρ, ἵλαθι, σύγγνωθί μοι
τῷ πλημμελοῦντι κἀξαμαρτάνοντί σοι,
τὰς εἰςόδους τε τῶν καλῶν μεταμέλου
ὡς παραδείσου πύλας ὑπάνοιγέ μοι,
πίστει δικαιῶν, παρορῶν ἁμαρτίας.

Εἰς ἀγγέλους.

Οὐκ ἀγνοοῦσιν οὐρανῶν αἱ δυνάμεις
τὸν ὄντ' ἀπ' ἀρχῆς ἐν θεοῦ μορφῇ λόγον
καὶ τὸν κατ' αὐτὰς οὐσιῶν ὑποστάτην,
κἂν ἠμφίεστο δουλικῆς μορφῆς πλάσιν
κραθεὶς καθ' ὑπόστασιν ἀνθρώπου φύσιν.
Ἀλλ' οἴδασι Κύριον ἐσταυρωμένον
καὶ προσκυνοῦσι πάντες ἄγγελοι τρόμῳ
ὑπηρετοῦντες ὡς ἑνὶ τῆς Τριάδος,
υἱῷ διφυεῖ καθ' ὑπόστασιν μίαν.
Παρ' οὗ πυραυγεῖς κἀξαναφθέντες φλόγες
λαμπτήριοί τε καὶ καθάρσιοι φύσει
πυροῦσιν, ἐκτήκουσιν ἡμῶν κηλίδας
καὶ φωσφοροῦσιν ἀμβλυωπούσας κόρας.
Ἀλλ' ὦ φαεινοὶ τοῦ θεοῦ παραστάται
καὶ γῆς ἁπάσης φύλακες καὶ προστάται,

9. *κῆρυξ*.— 11. ‖ Κώδ. 187,α.
Τὸ *εἰς ἀγγέλους* ποίημα περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 187,α.
10. *κἀξαναθέντες*.— 12. *ἐκτελοῦσιν*.

Digitized by Google

πρόστητε κἀμοῦ καὶ προσαρήξατέ μοι
ἐπὶ βάραθρα τῶν κακῶν πλανωμένῳ
καί μου γένοισθε τῇ προσύλῳ καρδίᾳ
ἄνθρακες ἐμπιπρῶντες αὐτοὺς τοὺς σπίλους
καὶ φῶς ἐναυγάζοντες ἐζοφωμένοις
καὶ ζωπυροῦντες εἰς καλῶν ἐργασίαν,
ψυχῆς δ' ἔρωτα συντακέντα τοῖς κάτω
ἀναπτεροῖτε πρὸς τὸν ἔνθεον σπόρον.

Ἄνθραξ κυρίως Ἰησοῦς ὁ δεσπότης
ὡς πῦρ θεϊκὸν φλεκτικὸν μολυσμάτων
φωτιστικόν τε τῆς λογικῆς οὐσίας
καὶ τῇ γεηρᾷ συγκεκραμένον φύσει,
ὡς μυσταγωγεῖ Σεραφεὶμ Ἡσαΐας.
Ἡ δ' ἀνθρακώδης οὐσία τῶν ἀγγέλων,
κατὰ μέθεξιν δευτέρως πυρουμένη,
σμήχει ῥυπῶντας, φαιδρύνει ζοφουμένους.
Ὡς εἴπερ κἀμοῦ τὸν ῥύπον καὶ τὸν ζόφον
ἐκκαθάραιτε, φῶτα λειτουργὰ φάους,
καὶ τὸ πρόσωπον τοῦ θεανθρώπου βλέπειν
ἀεὶ τρυφῶσα τἀγαθοῦ θεωρία
θεία ξυνωρὶς ἀύλων ἀρχαγγέλων,
καὶ τῶν καθ' ἡμᾶς προστατεῖς ἐν τῷ μέρει.
Οὐκοῦν κακυνθέντα με κακοπραγίαις
ἀγαθύναις, ἕλκουσα πρὸς τὰ βελτίω.

20. *dravγάζοντες.*

Τὸ τελευταῖον ἀνεπίγραφον ποίημα περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 187,α.

3. *φωτιστικὴν.* — 7. *καταμέθεξιν.* — 10. *ἐκκαθάροιτε.* — 14. *πρωστατεῖς.*

Digitized by Google

www.libtool.com.cn

ΣΤΙΧΟΙ

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΑΘΗΝΩΝ

ΚΥΡΟΥ ΜΙΧΑΗΛ ΤΟΥ ΧΩΝΙΑΤΟΥ

ἐπὶ τῇ ἀρχετύπῳ ἀνιστορήσει αὐτῶν,

τουτέστι τῆς πόλεως τῶν Ἀθηνῶν.

Ἔρως Ἀθηνῶν τῶν πάλαι θρυλουμένων
ἔγραψε ταῦτα ταῖς σκιαῖς προσαθύρων
καὶ τοῦ πόθου τὸ θάλπον ὑπαναψύχων.
Ἐπεὶ δ' ἔτ' οὐκ ἦν οὐδαμοῦ φεῦ! προσβλέπειν
αὐτὴν ἐκείνην τὴν ἀοίδιμον πόλιν
τὴν, δυσαρίθμου καὶ μακραίωνος χρόνου
λήθης βυθοῖς κρύψαντος, ἠφαντωμένην,
ἐρωτολήπτων ἀτεχνῶς πάσχω πάθος·
οἳ τὰς ἀληθεῖς τῶν ποθουμένων θέας
‖ ἀμηχανοῦντες ὡς παρόντων προσβλέπειν,
τὰς εἰκόνας ἐρῶντες αὐτῶν, ὡς λόγος,
παραμυθοῦνται τῶν ἐρώτων τὴν φλόγα.

Οἱ στίχοι οὗτοι, ὑπὸ ταύτην τὴν ἐπιγραφὴν, περιέχονται ἐν μόνῳ τῷ παρισιακῷ κώδικι Gr. 963, φ. 116,6 117,α (Χ). Ἐξημοσιεύθησαν δὲ τὸ πρῶτον ὑπὸ Boissonade ἐν τοῖς *Anecdota Graeca* Τόμ. Ε' σ. 374. κ. ἑ. (Β) καὶ κατόπιν ὑπὸ Ellissen, *Michael Acominatos*, σ. 142 κ. ἑ. (Ε), Tafel *Michaelis Choniatae allocutio Isaacii Angeli* σ. 19 ἐν σημειώσει (Γ), Παπαρρηγοπούλου *Ἱστορ. Ἑλλ. ἔθνους* Δ'. 688 (Π), Κωνσταντινίδου *Ἱστορία τῶν Ἀθηνῶν ἀπὸ Χριστοῦ γεννήσεως μέχρι τοῦ* 1821, σ. 321 (Κ).

Τίτλος. *μηχαὴλ* Χ. *χοριάτου* Χ. *τοῦτέστι* Χ.— 1. *θρυλλουμένων* ΧΒΕΤΚ.— 2. *τοῦ* Χ.— 3. *ὑπ' ἀραψύχων* Χ. — 4. *ἐπεὶ'* Χ. *ἔτ'* λείπει Χ. *δὲ οὐκ* Β. — 6. *τῆς* Ε. — 7. *λίθοις* ΧΒΕΤΠΚ. — 8. *ἐρωτοληπτῶν* Χ. —9. *οἱ* Χ. *ἀληθεὶς* Χ. — 10. ‖ Κώδ.117,α. *τῶν παρόντων* ΧΒΕΤΠΚ. — 11. *λόγῳ* ΧΒΕΤΠΚ.

Digitized by Google

Ὡς δυστυχὴς ἔγωγε, καινὸς Ἰξίων,
ἐρῶν Ἀθηνῶν, ὡς ἐκεῖνος τῆς Ἥρας,
www.libtool.com.cn
εἶτα λαθὼν εἴδωλον ἠγκαλισμένος.
Φεῦ! οἷα πάσχω καὶ λέγω τε καὶ γράφω.
Οἰκῶν Ἀθήνας οὐκ Ἀθήνας που βλέπω,
κόνιν δὲ λυπρὰν καὶ κενὴν μακαρίαν.
Ποῦ νῦν τὰ σεμνὰ, τλημονεστάτη πόλις;
Ὡς φροῦδα πάντα καὶ κατάλληλα μύθοις,
δίκαι, δικασταὶ, βήματα, ψῆφοι, νόμοι,
δημηγορίαι <τε> πειθανάγκη ῥητόρων,
βουλαὶ, πανηγύρεις τε καὶ στρατηγίαι
τῶν πεζομάχων ἅμα καὶ τῶν ναυμάχων,
ἡ παντοδαπὴ Μοῦσα, τῶν λόγων κράτος.
Ὅλωλε σύμπαν τῶν Ἀθηνῶν τὸ κλέος·
γνώρισμα δ' αὐτῶν οὐδ' ἀμυδρόν τις ἴδῃ.
Συγγνωστὸς οὐκοῦν, εἴπερ οὐκ ἔχων βλέπειν
τῶν Ἀθηναίων τὴν ἀοίδιμον πόλιν,
ἴνδαλμα ταύτης γραφικὸν ἐστησάμην.

13. *ἐξίων* X.— 15. *λαβὼν εἴδωλον ἠγλαϊσμένος* X. *λαβὼν εἴδωλον ἠγλαϊσμένον* B. *λαβὼν εἴδωλων ἠγλαϊσμένης* ΕΠΚ. *λαθὼν εἴδωλον ἠγλαϊσμένος* Τ. — 17. *ἀθῆνας* X. *αθήνας* X. — 18. *λιπρὰν* X. *καινὴν* X. — 19. *ποῦ τὰ* XB. *ποῦ δὴ τὰ* ΕΤΚΠ. — 22 *τὲ* X. *τε* λείπει Κ.— 23. *τὲ* X.— 25. *παντοδαπὴς* XBΕΠ. — 27. *ἴδοι* XK. — 28. *ἔχω* X. — 29. *τὴν ἀθηναίων* X.

Digitized by Google

www.libtool.com.cn

ΕΠΙΣΤΟΛΑΙ

ΠΡΟΣ ΜΙΧΑΗΛ ΤΟΝ ΑΚΟΜΙΝΑΤΟΝ

α'. Τοῦ ὑπερτέμου Νέων Πατρῶν κῦρ Εὐθυμίου.

1. Ἐμοὶ καὶ τοῦτο συμφορᾶς ἐπιθήκη, δέσποτα καὶ ἀδελφέ, ὅτι καὶ αὐτόθι παρὼν τῆς ἡδίστης ἀπεστερούμην σου ξυναυλίας, καὶ παρὰ τῇ βασιλίδι τῶν πόλεων γεγονὼς οὐχ ἧττον ταύτην ἐπιποθῶ, πάσης ‖ ἄλλης ἀμοιρῶν παρακλήσεως.

2. Τίς γὰρ καὶ πόθεν, ὅταν οὐ πάρεστι μὲν ὁ καλὸς Θεσσαλονίκης, ἄπεστι δὲ καὶ ὁ θεσπέσιος Ἀθηνῶν, ὡς εἴ γε μηδ' ὡς οἷον ἐκ μηχανῆς ὁ σοφὸς ἡμῖν πατριάρχης ἐδωρήθη παρὰ θεοῦ, τὸ κοινὸν ἀγαθὸν, ἡ πάντων παραψυχὴ, αὐτίκα ἂν ἐξελίπομεν καὶ λύπαις καὶ φροντίσι συμμεριζόμενοι. Οὗτος γὰρ ἡμᾶς καὶ λόγοις ἀναψύχει καὶ τοῖς ἔργοις παρακαλεῖ καὶ ἀπογνώσεως πόντῳ βεβυθισμένους, ὡς οὕτως εἰπεῖν, χειρά τε βοηθὸν παρέχει καὶ ἀνανήχεσθαι δίδωσι. Τούτῳ μὲν οὖν χάρις ἀπὸ θεοῦ, πολλὰς καὶ παντοίας ἡμῖν ἐπιχορηγοῦντι τὰς χάριτας.

3. Εἰ δὲ καὶ σὺ, παναγιώτατε δέσποτα, τὸ τῆς θέας ὑστέρημα διὰ γραμμάτων ἀναπληρῶν τῷ τῆς σῆς γλώττης μέλιτι τὴν περὶ ἡμᾶς ἀψινθίαν θαμινώτερον ἐπιχρίοις, τάχ' ἂν ἀκέραιον μὲν ἐσεῖται τὸ ἀγαθὸν καὶ τάχιον ἐπὶ τὴν προτέραν εὐθυμίαν δραμούμεθα, ὡς ἔγωγε τὰς Ἀθήνας εἴπερ νῦν ποτε καὶ μακαρίζω διὰ σὲ καὶ φιλῶ, δύο τοὺς Ὑμηττοὺς ἀνθ' ἑνὸς

α'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ λαυρεντιακῷ κώδικι, φ. 95,6 - 96,α.

Τίτλος. *πρὸς τὸν αὐτὸν ἀθηνῶν τοῦ ὑπερτίμου* κτλ. — 4. ‖ Κώδ. 96,α. — 6. *μηδ'*. — 11. *οὗτος. χεῖρα τε*. — 17. *ἐπιχρίεις*. — 20. *ἡμηττοὺς*.

Digitized by Google

πλουτούσας καὶ διπλᾶς τὰς χρυσέας ζώνας, ὑφ' ὧν αὐταις διπλασιάζεται τὸ μακάριον. 4. Ὡς ἄρα ἦσθα τῆς ἐν πόλεσι χρυσωνυμουμένης θύτης ἐπάξιος καὶ χώρου μελισταγοῦς κληρονόμος ἰθαγενὴς ὁ χρυσοῦς ἐν ἀνθρώποις καὶ τὴν γλῶτταν μελίρρυτος, ἔσχε σε καὶ ἡ Καλλιρρόη δικαίως, οὗ τὰ ῥεύματα τῆς σοφίας καὶ πολύκρουνα καὶ καλλίρροα. 5. Μὴ τοίνυν φθονήσῃς ἡμῖν, μὴ τῶν παρὰ σοὶ τοῦ χρυσοῦ ψηγμάτων, μὴ τῆς γλυκαζούσης φωνῆς, μὴ τοῦ πλημμυρσῦντος ῥεύματος. Εἰ δὲ καὶ ταῖς εὐχαῖς ἐπιστηρίζοις, τὴν ἄνωθεν ἡμῖν ἐπισκοπὴν ἐφελκόμενος, τοῦτ' ἂν εἴη σοι φιλίας τε ἀκραιφνοῦς ἔλεγχος καὶ τῆς κατὰ θεὸν ἀδελφότητος οὐκ ἀγενὴς χαρακτήρ.

www.libtool.com.cn

ϛ'. [Γρηγορίου τοῦ Ἀντιόχου] τῷ ἁγιωτάτῳ Ἀθηνῶν καὶ ὑπερτίμῳ.

1. Ἀλλ' ἵνα τί ἡμᾶς ὡς ἐν Καρὸς ἔθου μοίρᾳ, θεοειδέστατε δέσποτα, καὶ νῦν οὐδὲ δυεῖν γοῦν συλλαβῶν ἐθέλεις ἐν ἐπιστολαῖς ἀξιοῦν; σῖς ἄρα πρώην, καὶ οὐ πάνυ τι πρώην, ἐπιστέλλων ἦσθα καὶ μακρότερον ἢ τοῖς ἄλλοις καὶ θαμινώτερον. Καὶ ὀπηνίκα τις ἦκε γράμματα κομίζων Ἀθήνηθεν, ὁ μὲν αὐτίκα τὸν φάκελλον ἐς μέσον τιθεὶς καὶ τὴν πρὸς ἡμᾶς ἐπιστολὴν οὐχὶ τοσοῦτον τῷ ἐπιγράμματι τεκμαιρόμενος ὅσον ἀμέλει τῷ μεγέθει καὶ τῇ πρὸς ὄγκον τοῦ εἰληταρίου διαστολῇ καὶ ταύτην πρὸ τῶν ἄλλων ἀναλεγόμενος, εἰς χεῖρας ἐνετίθει φέρων ἡμῖν. Αὐτοὶ δὲ ταύτην ἀναπτύσσοντες ἢ καὶ ὡς ἄλλην κεφαλίδα προφητικὴν περιχαίνοντες, τὸν νοῦν καὶ τὴν καρδίαν ἐψωμιζόμεθα, ἡ δὲ εἰς μέλι γλυκάζον ἡμῖν ἐτέλει, κατ' ἴσον τῷ τὴν ‖ κεφαλίδα καταβροχθίσαντι Ἰεζεκιὴλ

1. *πλουτήσας. διπλᾶς.*— 4. *ἠθαγενὴς.*

ϛ'. Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ ἐσκουριαλείῳ κώδικι, Υ - Η - 10, φ. 396,β - 399,β.

13. *ἰρατι.*— 25. *κατῖσον.* ‖ Κώδ. 397,α.

Digitized by Google

τὸ πολὺ τῆς πικρίας ἧς ἐμφορούμεθα ὑποτέμνουσα. 2. Ἀλλὰ γὰρ, ὃ προὐθέμην, διὰ τί ἡμεῖς ἐν Καρὸς μοίρᾳ παρὰ τῇ σῇ ἁγιότητι; Ἢ γὰρ ὅτι τὴν πρώτην ἐλεύθεροι καὶ φύντες καὶ τραφέντες καὶ αὐξηθέντες, ἔπειτα, κατὰ τοὺς ἀθλίους Κάρας ἐκείνους τὴν ἐλευθερίαν καταπροέμενοι, τὴν θητείαν ταύτην καὶ τὴν ἐπὶ μισθῷ δουλείαν εἱλόμεθα. Κἂν οὐχὶ κατ' ἐλπίδας ἡμῖν τὰ τῆς λατρείας οὐδ' ἐντελόμισθα, εὖ ἔχει σοι τῆς περὶ ἡμᾶς ὀλιγωρίας καὶ στέρξομεν, καλῶς δὲ ταύτην καὶ αὐτὸς ἡμῶν κατεψηφίσω καὶ οἴσομεν. 3. Ἵνα τί γὰρ ἐλευθερίας τετιμημένοι, δουλοπρεπῶς αὐτῇ προσηνέχθημεν καὶ ἐν ἀτίμοις τὸ καλὸν τοῦτο καὶ πολύτιμον θέμενοι χρῆμα καὶ οὗ μηδεμίαν οἱ τὴν Θέμιν πρεσβεύοντες ἴσασι διατίμησιν, τὸ μηδὲ ὀβολοῦ τιμώμενον ἀνελεύθερον ᾑρετισάμεθα; 4. Πλὴν οὐχὶ τοσοῦτον ἡμᾶς ἐχρῆν εἰς περιφρόνησιν ἀπερρίφθαι παρὰ τῆς σῆς ἁγιότητος, οὕτω φρενοβλαβῶς δουλώσαντας ἑαυτοὺς καὶ τοῦ κρείττονος τὸ χεῖρον ἀλλαξαμένους καὶ ἀλλοιωθέντας οὐχὶ τὴν ἀρίστην ἀλλοίωσιν καὶ τῆς τοῦ Ὑψίστου κατὰ τὸν φάμενον δεξιᾶς, ἀλλὰ τὴν χειρίστην καὶ, ὡς ἄν τις κομψεύσαιτο, τῆς τοῦ ὑποχθονίου Τελχῖνος ἀριστερᾶς, ἐπεί τοι οὐδὲ αὐθαίρετον ἡμῖν τὸ κακόν. 5. Μαρτυρόμεθα τὴν συνείδησιν, οὐδὲ αὐτόμολοι ἥκομεν ἐς τοῦτο κινδύνου, ἵνα καὶ πᾶν ἡμῖν ἀποκλείοιτο σπλάγχνον καὶ οἴκτου τύχοιμεν μηδενὸς, ὥσπερ οἱ τὸν βίον μεμισηκότες καὶ θανατιῶντες καὶ σφᾶς αὐτοὺς ἀνάρτῶντες βρόχου ἢ ξιφῶν καθαλλόμενοι καὶ διὰ τοῦτο καὶ τῆς προσηκούσης ὁσίας ἀνάξιοι κεκριμένοι καὶ ἀθρήνητοι ἐκτεθειμένοι καὶ ἄταφοι. Οὔμενουν οὐκ ἐθελονταὶ ἡμεῖς περὶ τὸ κακὸν, ἀλλ' εἰς τοῦτο εἰ καί τις τῶν ἁπάντων τετυραννήμεθα, καὶ τυραννίδα οὐκ ἐξ ἀγάπης, ἡλίκην ἄρα καὶ ὁ ἐμὸς Γρηγόριος ὁ πολὺς τὴν θεολογίαν οἶδε τυραννηθείς. Οὐ γάρ ποτε περὶ τὴν ἐπάρατον ταυτηνὶ βιοτὴν ἀγάπης νόμοις ἀπονενεύκαμεν, οὐδὲ περὶ τὴν κακῶς ἀπολουμένην μισθοφορίαν ἐρωτιάσαντες ἐαλώκαμεν, ἀλλ' ἐκ τῆς ὁλοκαρδίου

2. *διατί*.— 3. *εἰ*.— 23. *θανατῶντες*.— 24. *διατοῦτο*.

Digitized by Google

περὶ σὲ ἡμῶν πίστεως καὶ τῆς περὶ τὰς χρηστοτέρας ἐκείνας ἐπαγγελίας πειθοῦς, ἐξ ὧν ἡμῖν ὁ τῶν ἀνιαρῶν μυρίος ἐσμὸς ἐπεστοίβασται καὶ τῆς κεφαλῆς ὑπερῆρται τὰ σκυθρωπά.

www.ibtoo.com.cn

6. Οἷς οὖν ταῖς σαῖς ὑποθημοσύναις πιθήσαντες ἐν δευτέρῳ τῆς πονήρου ταύτης καὶ ἀνονήτου δουλείας τὴν μακαρίαν ἐλευθερίαν ἐθέμεθα, διὰ τοῦτο οὕτως ἡμᾶς περιόψεσθαι χρῆναι ὠήθης; Καὶ ποῦ τοῦτο ἐν δικαίοις θείη τις ἄν; Ἕτερος μὲν γάρ τις κἂν μεμίσηκεν ἡμᾶς, καὶ μῖσος οὐκ ἄδικον, οὕτω τῆς περὶ σφῶν αὐτῶν σφαλέντας βουλῆς καὶ δούλιον ἦμαρ τοῦ ἐλευθερίου θεμένους ἐπίπροσθεν. Τὴν δὲ σὴν ἱερὰν κεφαλὴν ἕνεκά γε τούτου ἀπεστράφθαι ἡμᾶς ὅλως ἐχρῆν; Οὐχί· ὅτι τις μόνη τῶν ἄλλων αὐτὴ τὸν τηλικοῦτον ἡμῖν ἐπέκλωσεν ἄτρακτον· οὕτω γὰρ ἂν καὶ θεὸς αὐτὸς πολὺ πρότερον περὶ τὸν Ἀβραὰμ διατέθειτο, κἀπειδή περ ἐκεῖνος ἀπέπλησε τὸ ἐξ οὐρανοῦ καταφοιτῆσαν ἐπίταγμα καὶ αὐτίκα μάλα πρὸς τὴν ὁλοκάρπωσιν ἔδραμε τοῦ παιδὸς, καί οἱ ἀθρόα πάντα παρῆσαν ἐκ τοῦ σχεδὸν, τὸ πῦρ καὶ τὰ ξύλα καὶ τὸ ξιφίδιον, οὐ μᾶλλον ἂν τὸν ἄνδρα τῆς ὑπακοῆς ὁ καλέσας ἐθαύμασεν ἢ τοῦ περὶ τὸν ἀγαπητὸν μεμίσηκεν || ἀφειδοῦς καὶ ἀπέστραπτο τοῦτον ὁπόσα καὶ φόνου διψῶντα καὶ εὐχερῆ πρὸς τὴν μάχαιραν, καὶ ταῦτα περὶ γνήσιον αἷμα καὶ πρωτοτόκου καὶ φιλτάτου παιδός. 7. Ἦ γὰρ οὐχὶ καὶ αὐτοὶ τοῖς τῆς σῆς ἱερᾶς γλώσσης ῥήμασι πτερωθέντες ὅσα καὶ οὐρανόθεν κατερρηγμέναις ὁμφαῖς τὰ τοῦ καινοῦ δράματος τῆς πατριαρχικῆς ἐκείνης ἱερουργίας ἐν ἑαυτοῖς ἐσκηνοβατήσαμεν, αὐτοὶ καὶ θύοντες καὶ θυόμενοι; Οὐχὶ τὸν παρ' ἡμῖν ἐλεύθερον, τὸν ἐν βίῳ τοῖς εὖ φρονοῦσι πάντων ἀγαπητότερον εἰς ὁλοκάρπωσιν ἐκδεδώκαμεν, πῦρ ἀνάψαντες τὸ τῆς περὶ σὲ θερμὸν πίστεως, οὐκ ἐπιβώμιον, ἀλλ' ἐγκάρδιον; Οὐ ξίφος ἐγκεχειρίσμεθα τοῦ ἡμεδαποῦ θελήματος τὴν τομὴν, ὅπερ ἡμῖν ἐκ πρώτης τριχὸς ἐμπεφύκει περὶ τοὺς λόγους καὶ τὰ μαθήματα; Οὐκ ἐπε-

8. ἀ'ν ὡς καὶ κατωτέρω πανταχοῦ.— 20. || Κώδ. 397,6.

Digitized by Google

σάξαμεν ἑαυτοῖς κατὰ νώτου καὶ ξύλα, κόπους ὑποδύντες θητείας καὶ μόχθους καὶ βίον ἐπαχθῆ καὶ ἐπώδυνον, καὶ τὸν τῆς ὄνου φόρτον εἰς ἑαυτοὺς ἀναθέμενοι, τῆς ἀγελαίας δῆλα δὴ καὶ ἀλογωτέρας μοίρας τῶν λαχόντων μισθοφορεῖν, οἷς ἄρα καὶ βρεφόθεν τὰ νῶτα τηλικούτοις ἄχθεσιν ἐγγεγύμνασται; 8. Οὐχὶ καὶ πλέον ἢ κατὰ τὸν γνήσιον ἐκεῖνον σφαγέα δρῶντες τὴν αὐτοχειρίαν ἐντελῆ πεποιήμεθα, οὐ μίαν καὶ εἰς ἅπαξ καὶ κατὰ μόνου λαιμοῦ τὴν μάχαιραν βάψαντες, ἀλλὰ πολλὰς καὶ ὁσημέραι καὶ κατὰ παντὸς ἡμῶν σώματος, ὡς πάντοθεν τούτου καὶ ἀπὸ μυρίας ἀτεχνῶς διασφάγος πυκνοὺς ἀναστομοῦσθαι τῶν ὑφαίμων ἱδρώτων τοὺς ὀχετοὺς ὑπόσα καὶ αἱμάτων κρουνούς; 9. Ἑνὸς ἡμῖν τούτου δέει πρὸς τὴν εἰκόνα τῆς ἀβραμιαίας ἐκείνης θαυμασίας θυσίας. Ὅτι ἐκεῖ μὲν συμπεποδισμένος ἦν ὁ σφαγιαζόμενος καὶ ὑποκλάζουσι γόνασι χαμαὶ δίκην ἱερείου βαλλόμενος, ἡμεῖς δὲ τὴν τηλικαύτην ὑπέχομεν καθ' ἑκάστην σφαγὴν οὐ γόνυ κάμπτοντες, οὐ συνάγοντες τὰς ἰγνῦς, οὐ συμποδιζόμενοι, ἀλλὰ κατὰ τὰ νύκτωρ καὶ μεθ' ἡμέραν ὑπὸ σκέλεσιν ἀκλινέσι παρεστηκότα τῶν ἀνδραπόδων ὀρθοστάδην διακαρτεροῦντες καὶ ἐν ἀπαρεγκλίτῳ τῷ σχήματι. Δέον οὖν, ἵνα τὴν ἱστορίαν συνάψω, κατὰ τὸ Ἀβραὰμ σπέρμα πληθυνθῆναι καταλλήλως κἀμὲ ἀνθ' ὧν τῆς σῆς φωνῆς ὑπήκουσα, καθώς φασιν ἐκεῖνος τῆς τοῦ θεοῦ. Λύτὸς δὲ τοὐναντίον ἅπαν πρός γε τῷ σμικρυνθῆναι μᾶλλον ἀντὶ τοῦ πληθυσμοῦ ἔτι καὶ τὴν σὴν ἀποστροφὴν κατεψήφισμαι. 10. Καὶ πῇ δὴ τὸ λοιπὸν ἰτέα, πῇ δέ μοι ἐπιρριπτέα τὴν μέριμναν; Καὶ εἰ τὸν παρὰ σοὶ βωμὸν τοῦ Ἐλέους κεκλεισμένον εὑρίσκω καὶ ἄβατον καὶ οὐκέτι φῆς ἐπιτρέψειν τὴν εἰς τὸ ἄδυτον εἴσοδον, πῶς ἄρα τῷ Ἱκεσίῳ προσπεσοῦμαι καὶ τοῦ Φυξίου δεήσομαι; Ποῦ ποτε δ' ἂν ἐν ἀσύλῳ γενοίμην, ὡς ἐντεῦθεν οἶκτον εὑρεῖν; Καὶ εἰ τὸν σὸν Ἄρειον Πάγον, τὸ ὑπερνεφὲς Ἀθήνησιν ὄρος, φάραγγες πάντοθεν διειλήχασι καὶ κρημνοί, ὡς μηκέτι θαρρεῖν με τὴν ἄνοδον παρὰ

8. *εἰσάπαξ*. — 16. *καθεκάστην*.

Digitized by Google

τῷ ἐκεῖ που κριτηρίῳ δικασθησόμενον καὶ τῶν δικαίων ταξόμενον, παρὰ τίνι ἂν εὐθυτέρῳ λοιπὸν σταίην δικασπολείῳ καὶ τὰμὰ πυθείην εἰς γυμνασίαν τοῖς κρίνουσιν; 11. Καὶ ἄλλως δὲ τίς ποτ' ἀνθρώπων ὁδοιπόρῳ περιτυχὼν, ἣν αὐτὸς ἕλοιτο πορευσμένῳ τρίβον ὅλοις ποσὶ, καὶ σὶ ἑτέραν ὑποδείξας τραπέσθαι τῆς ἐν ποσὶν ἀποκλίναντι, ἔπειτα τοῦτον ἰδὼν ἢ βόθρῳ ἐνολισθήσαντα, ὁποῖοι πολλαχοῦ τῆς ὑποδειχθείσης τρίβου ὑπανεῴγασιν, ἢ κατὰ κρημνοῦ βεβλημένον οἰκτιστον πτῶμα, ὁποῖοι πολλοὶ τὴν ἀτραπὸν ἐκείνην περιερρώγασιν, ‖ οὐ κατοικτίζεται τοῦτον τοῦ πάθους οὐδὲ τοῦ πτώματος περικαίεται, ἀλλὰ καὶ μᾶλλον περιορᾷ τοὐναντίον καὶ ἀποστρέφεται καὶ τὴν ὀδυνωμένην ψυχὴν ἀφίησι τῷ τοῦ βόθρου χάσματι ἐναπορριγεῖν, καὶ ἀτεχνῶς δυσχεραίνει μὴ ταχυθανατοῦντα, ἀλλὰ καὶ περὶ τὴν ἀπαλλαγὴν διατρίβοντα, ὥσπερ ἂν εἰ μὴ αὐτὸς τῷ δειλαίῳ τοῦ κινδύνου γέγονεν ἀφορμὴ, τὴν ἐπὶ θάνατον βαδιεῖσθαι τούτῳ ὑποβαλών;

12. Ταῦτα πρὸς τὴν τῆς ἱερωτάτης σου γλώττης ἐπὶ μακρὸν σιωπὴν καὶ τὸ ἐντεῦθεν ἡμῖν ἀπαράκλητον. Εἰ δέ μοι ἐκ ταὐτοῦ ἀντεπιχειροίης, ὅτι σιωπῶντι ἀντισεσίγηκας καὶ τοῦ λέγειν ἀφεμένῳ τοὺς λόγους ἐπέσχες, οἶμαι καὶ οὕτως ὑπαντιάσω, τὰ δυνατὰ πρὸς τὴν ἀντίθεσιν ἀπαλογησόμενος. Σὲ γὰρ παρ' ἐμαυτῷ στήσας παντὸς καὶ ἔργου καὶ λόγου ἄρχειν ἐμοὶ, ἀκολούθως κἀνταῦθα σὲ μὲν ἠξίουν πρωτοφωνεῖν καὶ τὸ τοῦ φθόγγου ὑποτείνειν ἐνδόσιμον, ἐμὲ δὲ εἰς τὸ τῆς ἠχοῦς ὑστερόφωνον ἀπερρίφθαι καὶ ὥσπερ ἐν ἄλλοις ἐς λοισθίαν ἀποκέχριμαι μοῖραν καὶ τὸ ἧττον ἀπηνεγκάμην καὶ τοῖς δευτερείοις ἐνείδεσμαι, οὕτως κἀνταῦθα συνήθως δουλεύειν καὶ τοὔλαττον ἀποφέρεσθαι. 13. Καὶ ἄλλως δὲ πηγὴ μὲν ἡ σὴ γλῶσσα, ἐκ ταύτης δὲ βραχεῖα ῥανὶς ἡ ἐμή· ποταμὸν γὰρ εἰπεῖν μὴ καὶ ἀλαζόνος γραφείην. Ἔστιν οὖν ἰδεῖν ποτε ῥανίδα ἢ ποταμὸν μὴ τῆς πηγῆς προϊσχομένης τὰ ῥάμματα, κἀκείνης ἐνδιδούσης τὴν προχοήν; Πολλαῦ γε καὶ δεῖ.

9. ‖ Κώδ. 398,α.— 19. ταυτοῦ.

Digitized by Google

14. Ἐγὼ μὲν γὰρ ἐν πᾶσι βουλοίμην ἂν τοῦ δεσπότου μου προάγειν ὡς δοῦλος· κἂν δέῃ σὺν σοί με ἀποθανεῖν, προῦλαβον ἂν κἀνταῦθα καὶ ἡγησάμην τῆς ἐπὶ θάνατον καὶ προήρπασα τὸ χρεών, οὐδ' ἂν τοῦ Σίμωνος Πέτρου τοῦτο τὸ μέρος ἀπολελείμμην. 15. Ἀλλ' εἰ καί πως ἡμῖν τῆς ἐν τῷ πολυκυμάντῳ τουτωὶ βίῳ θαλαττεύουσιν ἐφανέρωσας ἑαυτὸν κατὰ τὸν ἐν Τιβεριάδι τοῖς μαθηταῖς τοῦ Σωτῆρος ἐμφανισμὸν, καὶ ποθέν μοι τὴν ἀκοὴν εἰσερρύη ὡς ὁ Κύριός ἐστι καὶ δεσπότης μου, αὐτίκα τοὺς ἄλλους ἀφεὶς τῷ πλοιαρίῳ ἐλθεῖν, αὐτὸς ἂν ἔρριψα κατὰ θαλάσσης καὶ διενηξάμην πρὸς σὲ, τοῦ περιστελοῦντος ἐπενδύτου μηδὲ μνησθείς. Κἂν γὰρ εἰ καὶ μόνος τῶν συμπλόων γυμνὸς ἐγὼ κατὰ Πέτρον, ἀλλ' ἀναισχύντως ἐχρησάμην τῷ πράγματι, ἵν' οὕτω μοι εἴχες ἐπιγνῶναι καὶ τὴν πρόθεσιν καὶ τὴν γύμνωσιν. 16. Κἂν εἰ παλὺ πρότερον τῷ αἰγιαλῷ παραστὰς ἡμῶν ἐπύθου μή τι προσόψημα ἔχομεν, αὐτὸς ἄν σοι, τοὺς ἄλλους φθάσας, ἀποφάσκων ἀπήντησα, τοσούτου δέων περιεῖναί μοι προσοψήματος εἰς τρυφὴν, ὡς ἀγαπητῶς καὶ ἄρτου μόνον ἐκπορίζειν ἑαυτῷ εἰς διατροφήν. Ἄλλοις μὲν γὰρ ὁ πολὺς ἰχθὺς καὶ ἡ εὐοψία καὶ πολλάκις τὰς σαγήνας τῆς ἄγρας πληθούσας τοῦ ὕδατος ἀνιμήσαντο, ὅτι τοι καὶ μόνοις αὐτοῖς τὰ πάντα πρωΐα καὶ ἰχθυῶνται ὑπὸ φωτὶ καὶ περὶ τὰ δεξιὰ τοῦ λέμβου χαλῶσι καὶ τὴν ἄγραν ἀφθονωτέραν συγκλείουσιν· ἡμῖν δὲ ὁ τῆς ἁλιείας πόνος πως ἐν νυκτὶ καὶ ἐν ταύτῃ πιάσαι οὐδὲν ‖ οὐδαμῶς ἡμῖν περιγέγονε. 17. Κἂν δὲ καὶ ἡμῖν ἴσως ἀγρευτέα ποτὲ, ἀλλ' οὐχ ὑπὸ βαθυκόλποις σαγήναις ἢ ἀμφιβλήστροις ἢ θήρα, ὡς εἶναί τινας καὶ τῶν ἀδροτέρων ἰχθύων περιδαλεῖν· ὑπὸ μόνοις μὲν οὖν ἀφαυροῖς καλαμίσκοις καὶ λεπταῖς ὁρμιαῖς, οἷς ἄρα καὶ ἀθύρμασι μᾶλλον ἢ θηράτροις τῶν ἰχθυδίων ἐχρήσαντο τὰ φαυλότερα, πλέον ἐμπαίζοντα

8. ἐστὶ.— 10. Τὸ ἂν γεγραμμένον ἐπὶ τοῦ τὸ πρῶτον γραφέντος γὰρ, ἀμυδρῶς νῦν ὑποφκινομένου. — 24. πῶς.— 25. ‖ Κώδ. 398, ℰ.

Digitized by Google

τούτοις ἢ ἁλισκόμενα, γένυσι μὲν ἀκροτάταις θήγοντα μόνον ὅσον περιδονῆσαι τὴν μήρινθον, ἀεὶ δὲ τὴν τοῦ ἀσπαλιέως χεῖρα ποιοῦντα σαλεύειν ὑπὸ κεναῖς ἐλπίσι τοῦ συλλαβεῖν, ἔστι δ' ὅτε καὶ πᾶσαν τὴν ἀγκιστρίδα συμμάρπτοντα τῷ λαιῷ καὶ αὖθις ἐξαναπτύοντα καὶ συστέλλοντα μὲν ἤδη τὸ περὶ ταύτην τοῦ σφετέρου στόματος χάσμα, τὸν δὲ θηρατὴν ἐῶντα καθῆσθαι μόνον, ἔτι τὸ κῦμα περιχασμώμενον.

18. Τοιαῦτα δὴ τῆς μακρᾶς ἀπολελαυκότα θητείας ἦν διὰ σὲ μόνον τῶν ἁπάντων καὶ οὐδένα ἕτερον ὑπελήλυθα, εἶτα μηδενὸς ἐντεῦθεν κέρδους αἰσθόμενον, ἔτι καὶ τὰς σὰς χρυσᾶς συλλαβάς με προσζημιοῖς, καὶ διὰ πυρὸς καὶ ὕδατος διιόντα τῶν ἐπὶ κενοῖς ἐκτηγανιζόντων καμάτων καὶ τῶν περιαντλούντων ἱδρώτων ἐς πόδας ἐκ κεφαλῆς ἀποστερεῖς καὶ τῆς ἐκ τῶν σῶν ῥημάτων ἐρχομένης ἀναψυχῆς. Μὴ σύ γε, θεσπέσιε δέσποτα· πολλάκις, ἐκεῖνο τοῦτο τοῦ σοφοῦ ψαλμῳδοῦ, κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν μου ἐν τῇ καρδίᾳ μου αἱ παρακλήσεις σου εὔφραναν τὴν ψυχήν μου· πολλάκις ἀθυμοῦντα καὶ τοῖς καθ' ἡμέραν συμπίπτουσιν ἐνασχάλλοντα τοῖς σοῖς λόγοις τοῦ ἀνιᾶσθαι παρήγαγες· πολλάκις με καταπεπτωκότα ἐπιστείλας καὶ μόνον καὶ οἷόν τινα χεῖρα μακρὰν ὀρέξας τοῦ πτώματος ἀπανέστησας. 19. Ἀπῆλθον καὶ ὑπὸ γράμματι μόνῳ πρακτικῷ τεθεραπευμένος τὸ τῆς ψυχῆς πεπληγὸς, οἶδα καὶ ψιλῷ ῥήματί σου λαθικηδεῖ φαρμάκῳ χρησάμενος, ἡνίκα δὴ κἂν ἑταπεινούμην ἀνύψους, κἂν ἐπενόμην ἐπλούτιζες, κἂν ἀστήρικτος ἦν τὴν καρδίαν ἄρτῳ ὡς μηδὲ τρύφος ἑαυτῷ ἐκπορίζειν εἰς δεῦρο οἷός τε ὢν, ἀλλ' εἶχον οὐκ ἐπ' ἄρτῳ ζήσεσθαι μόνῳ, ἀλλὰ καὶ ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ τοῦ ἱεροῦ σου στόματος ἐν ἐπιστολαῖς καὶ ὅλως ἦσάν μοι αἱ συλλαβαὶ πάσης θλίψεως ἀμυντήριον. 20. Τί δὴ λοιπὸν τῆς ἐντεῦθεν παραμυθίας ἔρημον τίθης ὁ κοινὸς ἁπάντων παρήγορος; Τί τοσοῦτον ἁμαρτόντα κολάζεις ὁ μηδὲ μέχρι καὶ εἰς βραχύν τινα στεναγμὸν λυπηρὸς ἀνθρώπῳ

18. *καθημέραν*. — 25. *μηδὲ*. — 26. *οἷος*. — 29. *ἦσαν*. — 32. *μηδὲ*.

Digitized by Google

φανείς; Πῶς ἀφιλανθρώπως ἔχεις μοι χρησάμενος ὁ φιλανθρωπότατος; Πῶς ἐπὶ σοὶ καὶ μόνῳ σαλεύοντα τὰς ἐλπίδας ἐς τοὺς πάντη ἀποκρίνεις ἀνέλπιδας; Κἂν ἐάλων ἴσως καὶ παροινήσας, ἀλλ' ὑπὲρ τὴν παροινίαν τὸ ἐπιτίμιον καὶ μακρῷ πλεῖον τοῦ ἀγνοήματος μεμαστίγωμαι.

21. Ἀλλ' οἶδα ὅθεν μοι τὸ τῆς κατακρίσεως αὐστηρόν· οὐκ ἀγνοῶ πόθεν τὸ τῆς καταδίκης ἀπότομον. Πρόφασιν τούτου μίαν εὑρίσκω, τὴν μὴ ἀληθεύουσαν φήμην, καὶ ταύτην αἰτιῶμαι τοῦ πράγματος. Λῦτη γὰρ, ὅπερ αὐτῇ πρὸς τρόπου κοῦφον ἀνεῖσα πτερὸν καὶ τῷ ψεύδει ἑαυτὴν ἐπιχρώσασα, ἑτέρως ἢ παρηκολουθήκει τὸ πρὸ βραχέος ἐπ' ἐμοὶ συμπεσὸν ταῖς σαῖς ἱεραῖς παρέπεμψεν ἀκοαῖς· καὶ τάχα γραφαῖς ἀγράφοις, οἶμαι, παρασυρεὶς ὅσας δὴ κατ' ἐμοῦ ἡ κατήγορος αὕτη φήμη καὶ συκοφάντις ἐπλάσατο, παρὰ τὰς σάς με πνύκας ἢ τοὺς ἀρείους πάγους ἀναγαγὼν καὶ δικαστήριον καθίσας τἄλλα μὲν εὐθυδικοῦν καὶ ἀπαραλόγιστον, ἐπ' ἐμοὶ δὲ ὅπως οὐκ οἶδα τοῦ ἀκριβοῦς ‖ ὑφειμένον καὶ ἑτεροκλινές, ἴσως ἐρήμην μου κατεψηφίσω καὶ ἤδη ἔχεις ἀπαγαγών με κατάκριτον. 22. Εἰ δὴ ταῦτα οὕτω καὶ οἱ παρὰ σοὶ τριάκοντα τῆς Θέμιδος πρεσβευταὶ ἢ καὶ οἱ πεντακόσιοι δικασπόλοι σύμψηφοι κατ' ἐμοῦ καὶ ἀδίκως κατακρίναντες ἀπηλλάγησαν, ἀλλ' ἐμοὶ τῆς ἀνακειμένης σανίδος οὐχὶ τὴν γραφεῖσαν καταδίκην ἀποξυστέον, οὐδ' οὕτως ἀγραφίου γραφὴν ἀποιστέον, ὡς ἐντεῦθεν καὶ διττῆς αἰτιάσεως ἡλωκέναι καὶ διπλῇ κατακρίσει περιπεσεῖν. 23. Ἀλλ' ἐπειδὴ τῇ Ἀττικῇ πεπολιτογράφημαι καὶ αὐτὸς, καὶ ἀθηναϊκὴν παιδείαν αὐχῶ, κἂν νῦν εἰς τοὺς μισθοφόρους Κάρας ἡ παλαμναία τύχη ἐνέγραψε, πάντως οὐδὲ τῶν τῆς Ἀττικῆς ἀτημελήτως ἔχω θεσμῶν, ἀλλ' οἶδα καὶ τούτους εὖ ἠσκημένος καὶ ἂν χρησαίμην κατὰ καιρόν. Μεταθήσομαι τὴν δίκην, ἑφετὸν καθίσω κριτήριον, ἀναδικάσομαι τὰ ψηφισθέντα, δευτέροις ἀγῶσι τὴν ἧττάν ἀνακαλέσομαι, οὐχ ἕτερον ἐφέτην ζητήσας ἀνακρινοῦντα τὰ δόξαντα, ἀλλ' αὐτὸν σὲ

17. ‖ Κώδ. 399,α.— 32. *αὐτόν σε.*

Digitized by Google

καὶ αὖθις εἰς τοῦτο ἑλόμενος. Εἰ γάρ τίς ποτε τῶν ἀγροικοτέρων ἄνθρωπος εἰς δίκην ἐλθὼν παρὰ κριτῇ Φιλίππῳ τῷ Μακεδόνι καὶ τοῦτον ἰδὼν τῆς κρίσεως τοσοῦτον κατανυστάζοντα ὡς θαμὰ τὴν κεφαλὴν ἐρρίφθαι οἱ κατὰ τοῦ στέρνου καὶ καταδίκην τῷ κρινομένῳ κατανεύειν δοκεῖν, καὶ πρὸ ἀποφάσεως θαρρήσοι καὶ οὕτω τὴν δίκην καὶ αἰτήσαιτο παρ' αὐτῷ καὶ αὖθις ἀναδικάσασθαι, μόνον ἐγρηγορότι καὶ ἀποθεμένῳ τὸν νυσταγμὸν, σχολῇ γ' ἂν αὐτὸς παρ' ἑτέρῳ τὴν ἐφέσιμον δίκην εἰσαγαγεῖν δοκιμάσαιμι, ἀλλά σου καὶ οὕτω μεταδιώξω τὴν Θέμιν, ἀνυστάκτως ἀεὶ περὶ τὴν ἀνεύρεσιν ἔχουσαν τοῦ καλοῦ καὶ νενηφυῖαν περὶ τὴν τῆς ἀληθείας κατάληψιν.

24. Κἂν ἔφθης με κατακρίνας, οὐκ ἐπιψηφιοῦντά μοι ἀπελπίσω καὶ δικαιώσοντα· κἂν ἐπεζύγωται τὰς θύρας ἡ Πνύξ, ἀναπετάσομαι ταύτας καὶ εἰς δίκην τῇ παλαμναίᾳ κατηγόρῳ φήμῃ ξυστήσομαι καὶ, πέποιθα, Κύριος ἀσθενῆ ποιήσει μοι τὴν ἀντίδικον. 25. Ἔσται δὲ τοῦτο, ἡνίκα πρὸς ἡμᾶς μνήσῃ νόστου καὶ αὐτοπροσώπως τὴν ἐντυχίαν σοι ποιησόμεθα. Καὶ ἄλλως γὰρ τὸ διὰ γραμμάτων εἰς δίκην ἰέναι τῆς ὑπὸ γλώσσῃ διαδικασίας μακρῷ σφαλερώτερον καὶ τὸ συστάδην προτιθέναι τὸ δοκοῦν τινι δίκαιον τοῦ ἀποστάδην οὕτω δρᾶν ἀσφαλέστερον καὶ ὁ τῶν ἐπιστολῶν νόμος οὗ φησιν ἐφεῖναί μοι κατατείνειν μακρότερα.

26. Εἰ δὲ καὶ ταῦτα πλείω ἢ κατ' ἐπιστολὴν, ἀλλ' ἔχεις καὶ τοῦτο εἰδώς, οὐκ ἔξω θεσμοῦ κείμενον ἀττικοῦ, τὸ πρὸς ὕδωρ λέγειν καὶ τὰ ῥήματα τῇ ῥύσει παραμετρεῖν· κἀπειδὴ δυστυχὴς ἐγὼ ῥήτωρ καὶ τὰ πολλὰ θρηνητὴς, τὰς πρὸς τὴν σὴν ἁγιότητα καὶ μᾶλλον δι' ἐπιστολῶν ὁμιλίας περιπαθεστέρας ποιούμενος τοῖς ἐμοῖς ἐνευκαιρούσας δυσημερήμασιν, οὐδὲν ἕτερον ὕδωρ καταλληλότερον αὐταῖς ἐπικέχυται ἢ τὸ τῶν ὀφθαλμῶν καταχεόμενον δάκρυον. Τούτου δέ μοι ἀφθονώτερον ῥέοντος, ἀνάγκη καὶ τὰς πρὸς αὐτὸ διαλέξεις τῇ τούτου συνεπεκτείνεσθαι προχοῇ, ὡς εἰ μὴ καὶ νῦν τῷ τῶν

1. *τις ποτὲ*.— 4. *ἐρρίφθαί*.— 12. *ἐπιψηφιοῦντα*.— 20. *τινὶ*.

Digitized by Google

βλεφάρων ὑδρορρόᾳ παρεβιασάμην τὸν φραγμὸν, εἴχομεν ἂν καὶ ἔτι τῇ ῥοῇ τῶν δακρύων συμμετρεῖν τὴν ἐπιστολήν.

27. Πρὸς οὖν τὴν παροῦσαν καὶ θρηνολογίαν ἅμα καὶ δικαιολογίαν μὴ ταὐτὰ γένοιτό μοι τοῖς τοῦ Εὐαγγελίου μειρακυλλίοις παθεῖν, οἷς ἄρα οὔτε αὐλοῦσιν οὔτε θρηνοῦσιν ὠρχήσαντο ἢ ἐκόψαντο οἱ ἀκούοντες· ἀλλὰ πρὸς ταύτην καὶ παθήναιτο ἡ σὴ ἁγιότης καὶ ἀντιφθέγξαιτο, ὡς ἂν οὕτω γοῦν τῇ βίᾳ τῆς ἀντιρρήσεως παρὰ τῆς ἱερᾶς σου γλώσσης τύχοιμι λόγου καὶ βραχεῖαν κομισαίμην ἐπιστολήν. Ἔλθοις δὲ ἡμῖν τάχος, τὰς χρυσᾶς ‖ Ἀθήνας βραχὺ λιπών, καὶ ἄμεινον διαθείης τὰ καθ' ἡμᾶς.

Τοῦ μακαριωτάτου μητροπολίτου Ἐφέσου κυροῦ Γεωργίου τοῦ Τορνίκη

τῷ μητροπολίτῃ Ἀθηνῶν, ὅτε κατέλαβεν εἰς Ἔφεσον.

1. Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ καὶ ἡ ἐμὴ, παναγιώτατε δέσποτά μου, φωνὴ, οὐ κατὰ τὸν τῆς ἁσματιζούσης τρυγόνα τῶν ἐαρινῶν ἄδοντα χαρίτων ἆσμα προάγγελον, οὐδὲ κατὰ τὸ κύκνειον λιγυρόν τε καὶ εὔηχον καὶ ζεφυρείου πνεύματος σήμαντρον τοῦ διὰ τῶν τοῦ κύκνου πτίλων συρίττοντος, ἀλλὰ γοερόν τε καὶ θρηνῶδες καὶ τοῦ καθ' ἡμᾶς σύμβολον χειμῶνος, ὅσος ἡμᾶς περιέσχε σκοτεινὸς καὶ ἀνήλιος, οὐδαμόθεν ἐν ἐλπίσιν ὄντος ἡμερινοῦ μειδιάματος, οὐκ ἐκ τῶν πραγματικῶν, οὐκ ἐκ τῶν πνευματικῶν, οὐκ <ἐξ> οὐδαμόθεν ἑτέρωθεν. 2. Πάντα γὰρ τὸν εἰς αἰῶνας ὅλους Ἀσιάτην ἡμῖν προμαντεύονται. Πανταχόθεν λύπαι, πανταχόθεν

4. *ταυτὰ*.— 10. ‖ Κώδ. 399,6.

Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ βιενναίῳ κώδικι, Gr. Philol. CCCXXI, φ. 9,6 - 10,α. Τὰς δὲ πκρκγρκφους 4-8 ἐδημοσίευσα ἐν τῇ διατριβῇ μου *Περὶ τῆς ἐν Ἐφέσῳ ἐκκλησίας τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου* ἐν Παρνασσοῦ τόμ. Β'. σ. 877.

14. *ἐαρινοῦ*.— 21. *τὸ*.

Digitized by Google

ἐπήρειαι καὶ ὁ παρακαλῶν ζητούμενος οὐχ εὑρίσκεται, οὐ μόνον κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν οὐ δεδυνημένοις εὑρεῖν τὴν παράκλησιν, ἀλλ' οὐδὲ τὸν συγκοψόμενον ἢ συνοιμωγήσοντα. 3. Ἀνθρώποις γὰρ ἐνεκύρσαμεν τῶν ἐγχωρίων ἀγριωτέροις παρδάλεων καὶ ὑπουλοτέροις ἀλώπεκος καὶ τὴν κακίαν πλουσιωτάτοις ὅσον τά γε ἄλλα πενεστάτοις. Μόνα τὰ τῆς γῆς εὑρίσκομεν ἥμερα καὶ φιλάνθρωπα, ἅπαν ἀνθρώποις χρειῶδες πλουσιώτατα παρεχόμενα· ἀλλὰ καὶ τὰ ταύτης ἐξαγριοῦσιν οἱ ἄνθρωποι. Πάντα πρὸς θρῆνον κινοῦσι ψυχὴν φιλόκαλον καὶ τὰ πονηρὰ ὅσα περὶ ἀνθρώπους, ὅσα καινὰ καθ' ἡμέραν φύεται καὶ ὅσα γεγήρακε, καὶ τὰ χρηστὰ τὰ περὶ τὰ ἄψυχα, ἃ καὶ ὤλωλεν ἤδη καὶ ᾤχετο. 4. Τί ἄν σοι γράφοιμεν τὰ [τοῦ] περιπύστου ναοῦ; Ὡς τερέβινθος ἕστηκεν, ἀποβεβλημένη τὰ φύλλα αὐτῆς. Ἀναμνήσθητι τῶν περὶ τῆς τερεβίνθου, ὁποῖον ἀναγράφει τοῦτο τὸ δένδρον ὁ πολὺς τὰ θεῖα Βασίλειος, ὡς ἔστι πολυσπέλεχόν τε καὶ μακροστέλεχον, τοσοῦτον ἀκαλλὲς τὴν κόμην ἀποβαλὸν ὅσον ὡραῖον ὁπότε κομᾷ. 5. Μᾶλλον δὲ, ἵνα τὴν εἰκόνα ἐναργέστερόν σοι διατυπώσαιμι, ἀναλόγισαί μοι ζῷον τῶν ἡμῖν γνωρίμων εὐμέγεθες, πᾶσι μέλεσιν ἀναλόγως ἁρμοζόμενον, ὅθεν ἡ ὥρα καὶ τὸ κάλλος τοῖς ζῴοις ἐμπρέπειν πέφυκεν· εἶτα λιμῷ συντακὲν καί οἱ τὰ μέλη ἃ μὲν ἐξεστηκότα ὅσα ὀστώδη κατὰ τὰ ἄρθρα, ἃ δὲ συγκοιλανθέντα ὅσα σαρκώδη κατὰ τὰς λαγόνας καὶ τὰ τῶν ἐγκάτων κοιλώματα. Τόσην φέρει τὴν ἀμορφίαν ὅσην τὸ πρότερον εὐμορφίαν. 6. Γράφω σοι καὶ ἑτέραν εἰκόνα ἐκδηλοτέραν, ἀλλὰ δέδοικα μή σου τῶν ὀφθαλμῶν ἀνακινήσω τὸ δάκρυον. Ἔμβλεψον εἰς πρόσωπον μείρακος εὔχρουν, εὐτραφὲς, ἀστεῖον, μετὰ λευκότητος συμμέτρως ἐρυθραινόμενον, εἶτα δὴ τραύμασι κατεστιγμένον

1. *οὐχ' ἐκ τοῦ τὸ πρῶτον γραφέντος οὐκ.*— 3. *συνοιμωγήσαντα.*— 9. *ἐξαγριοῦσιν.*— 13. *γράφωμεν. τοῦ* λείπει.— 14. *ἀποβεβλημένα. αὐτῆς.* — 17. *Ἐν τῷ Πάρνασσῷ ὁπόσον ἐκ παραρράματος τυπογραφικοῦ.* — 19. *ἀναλογίσαί μοι ζωὴν.* — 21. *ἐμπρέπειν.*

www.libtool.com.cn

Digitized by Google

καὶ τὰς παρειὰς ἰχῶρσι περιρραινόμενον καὶ τοὺς καλοὺς ὀφθαλμοὺς ἐξωδηκός, ἔστι δ' οὗ καὶ ἐρυθήματι λάμπον, ἵνα καὶ τὸ πρώην κάλλος ἐμφαίνοιτο. Τίς οὐκ ἂν ἐπὶ τοιούτῳ προσώπῳ, κἂν ἀτεγκτότερος εἴη λίθου, δακρύσειε, τὴν μὲν παροῦσαν ὁρῶν ἀμορφίαν, τὸ δὲ πρώην κάλλος ἐκ τοῦ λειψάνου συλλογιζόμενος;

7. Τοιαῦτα τὰ τοῦ ἡμετέρου περιπύστου ναοῦ. Τούτοις ἔνδον ἐγκλειόμενοι σκυθρωπάζομεν. Ἂν δὲ βαδίσαι δεήσειεν, ἵνα λαθικηδὲς ἡμῖν ἡ πορεία γένηται φάρμακον ὁποία τε ταῖς ψυχαῖς διάχυσις ἐκ τῶν τῆς γῆς χαρίτων ἐμφύεται, ἀνθοβαφοῦς ὁρωμένης καὶ ὄψιν ἡδυνούσης καὶ ὄσφρησιν, ἐνταῦθα ἡμῖν ὁ Πανόπτης ἐπιζητεῖται καὶ ὁ Λυγγεὺς, καὶ τὰς αἰωνίους ἀνακαλούμεθα || δυνάμεις, τὰ Πολυόμματα, ἵν' ἡμῖν ὀξυδερκοῖεν καὶ τὰ μετάφρενα. Καὶ ἵππου γὰρ φριμαγμὸς ἐπίτρομος καὶ τοῖς δειλοτέροις καὶ σκιὰ δένδρου τρόμον ἐντίθησιν. 8. Οὕτως ἡμῖν καὶ τὰ ἔνδον σκυθρωπὰ καὶ τὰ ἐκτὸς φοβερά. Μία μόνη παραψυχὴ, ὁ τοῦ ζῶντος τάφος, ἡ τοῦ μὴ λυθέντος κόνις, τὸ τοῦ ἠγαπημένου Θεολόγου, ἵν' οὕτως εἴπω, κενήριον. Ἀλλὰ καὶ τοῦτο φοβερὸν ἡμῖν· δεδοίκαμεν γὰρ καὶ ψαῦσαι τοῦ καθαροῦ οἱ ἀκάθαρτοι.

9. Ἐν τούτοις τὰ ἡμέτερα. Διὰ ταῦτα καὶ θρηνοῦμεν ἀνονήτως μεταμελόμενοι καὶ τὸ ἀπρομηθὲς ἡμῶν αὐτῶν καταψηφιζόμεθα, καὶ πολλοὺς ἐν φρονήσει κρίνοντες ὑπὲρ οὓς ἡμεῖς φρονῆσαι ἔστιν οἷς λελογίσμεθα καὶ πτέρυγας περιστερᾶς ἐπιζητοῦντες, ἵνα πρὸς ὑμᾶς καταπτάντες καταπαυσώμεθα.

10. Σὺ δὲ εἶης μοι ὑγιαίνων καὶ εὐθυμῶν, ἐξ εὐθυμίας εἰς εὐθυμίαν μεταβαίνων, ἐκ τῶν Ἀθήνησι χρηστῶν πρὸς τὰ ἐν τῇ Κωνσταντίνου μεταχωρῶν, οὐκ ἔχων ἃ προτιμήσειας.

11. Τὸ χείριστον τῶν ἡμετέρων καὶ τοῦτο, ὅτι μηδὲ δέχεσθαι προσλαλιὰν τῶν φιλούντων μηδὲ ἀντιδοῦναι δυνάμεθα, ἀλλ' ἀπευθεῖς ἐσμεν ὧν φιλοῦμεν καὶ ἄπυστοι ὧν φιλούμεθα.

2. *ἐξωδικὸς*.— 9. *λαθηκιδὲς*.— 13. || Κώδ. 10,α.— 14. *ὀξιδερκεῖεν*.— 22. *ἀπρόμηθες*.— 29. 30. *μηδὲ*.— 31. *ἐσμὲν*.

Digitized by Google

Διὰ ταῦτα ἀγνοῦντας ἡμᾶς ἴσθι τὰ καθ' ὑμᾶς καὶ ποθοῦντας μαθήσεσθαι ὅσα τε ἴδια ἡμῖν συνέβη καὶ ὁπόσα κοινῇ ἐπράχθη καὶ μάλιστα.

www.ibtool.com.cn

[Γεώργιος ὁ Τορνίκης]
τῷ μητροπολίτῃ Ἀθηνῶν
ἔτι διάκονος καὶ ὑπομνηματογράφος ὤν.

1. Ὡς ἡδεῖά σου ἡ φωνὴ καὶ ἡ λαλιά σου ὡραία, πανα-
γιώτατε δέσποτα, καὶ καθ' ἅπερ τοῦ ἁσματικοῦ τρυγόνος αἱ σιαγόνες σου ὡραιώθησαν. Ἡμῖν γοῦν τὸ πένθος ὃ τὰς σὰς Ἀθήνας ἐπένθησας εἰς τέρψιν ἐγένετο. Εἰ δὲ θρηνεῖν οὕτως ἡδὺς εἶ, πόσον ἂν σταλάξειας γάνος ταῖς ἀκοαῖς, χαριεστάτην ὑπόθεσιν μεταχειρισάμενος καὶ ἄλλον κόσμον ἀείσας καὶ λυδίαν ἁρμονίαν ἀνακρουσάμενος; 2. Εἰ γοῦν καὶ τἆλλα δυστυχοῦσιν Ἀθῆναι, ἀλλὰ γλώττης οὐκ ἀμοιροῦσιν ἀρχαιοτέρας, κατὰ τὸν πάλαι συνήθη νόμον αὐταῖς φθεγγομένης μεγάλῳ φθόγγῳ καὶ καθαρῷ καὶ χαρίεντι. Καὶ μή ποτε ἆρα καὶ τοῦτο τῇ πόλει μετὰ τοῦ τῆς ἐλαίας φυτοῦ ἀρχῆθεν δεδώρηται, λαμυρᾶς οὐκ ἀμοιρεῖν γλώττης καὶ μουσουργούσης σειρήνια; 3. Τοῦτο γὰρ καὶ πάλαι λαμπρῶς εὐτυχούσης τὸ μέγιστον ἦν εὐτύχημα καὶ νῦν τἆλλα δυστυχούσης ἐσχάτως, ὥςπερ καὶ τὸ φυτὸν τῆς ἐλαίας οὐκ ἀπολέλοιπε· καὶ κακοδαιμονοῦσα τὸ κράτιστον τῆς προτέρας εὐδαιμονίας εὐδαιμονεῖ, εἰ μὴ ἄρα καὶ διὰ τοῦτο μάλιστα ταύτην θεῖτό τις κακοδαίμονα, γλῶσσαν ἀτυχῶς εὐτυχοῦσαν τῶν αὐτῆς ἀτυχημάτων μεγαλόφωνον κήρυκα, τῆς Ἀριστείδου λαμπρότερον ἠχοῦσαν καὶ καθαρώτερον.

1. *καθ' ἡμᾶς.* — 2. *τὲ.*

Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ βιενναίῳ κώδικι, φ. 12,α - 12,β.

Τίτλος. *ὢν τ.* — 4. *ἡδεῖα.* — 5. *καθάπερ.* — 13. *ἄρα.* — 18. *ἀπολέλειπε.* — 20. *διατοῦτο. θεῖτο τὶς.* — 21. *αὐτῆς.*

Digitized by Google

4. Ἡμεῖς γοῦν, τοσοῦτον θελχθέντες τὰς ἀκοὰς ὡς μηδαμῶς ἐπιλείπειν αὐταῖς τὸν ἐκ τοῦ σοῦ φθόγγου γάργαλον, πυκνότερον ἠθέλομεν φθέγγεσθαι, ἵνα καὶ αὐτὸς ὡς Τιθωνὸς Τιθωνῷ ἢ ὡς ἄλλος συγγενὴς ὄρνες ἑτέρῳ συγγενεῖ ὄρνιθι πυκνότερον ἀντιφθέγγοιο, καὶ ἀεί σοί τι παρανατέλλοι θελκτήριον, ὑποθερμαῖνον τὸν τέττιγα τὴν τοῦ στήθους ἀεὶ μαγάδα συντονώτερον ἀνακρούεσθαι. 5. Νῦν δὲ, ὥσπερ ἀστέρων ἐπιτολας κατὰ μακροτέρας περιόδους τοῖς πρὸς σὲ βαδίζουσιν ἐντυγχάνομεν, βασκαίνοντος ἡμῖν, ὡς ἔοικε, τοῦ δαιμονίου, ἵνα μὴ, καί περ ἐν μέσῳ χειμῶνι πραγμάτων φερόμενοι, τοῖς μουσικοῖς τοῦ θεσπεσίου ὄρνιθος ἐνεαρίζωμεν ἄσμασιν. 6. Ἀλλὰ σύ μοι πυκνότερον λύε τὴν γλῶσσαν καὶ μὴ τρέφε τὴν βασκανίαν τῷ δαίμονι, σοῦ τε τὴν γλῶσσαν περιδεῖσθαι σπεύδοντι καὶ ἡμῖν τὰ σεμνὰ βασκαίνοντι θέλγητρα.

7. Ἔγραψας ἡμῖν, εἰ δεῖ κληρικὸν διγαμήσαντα καὶ ἑτέρῳ προσεπικληρωθῆναι ναῷ. Εὑρίσκομεν οὖν τοὺς ἱεροὺς κανόνας ὅλως ἱερᾶσθαι μὴ συγχωροῦντας τὸν δίγαμον καθ' οἱονδήτινα βαθμὸν, ὅτι μηδὲ σφραγῖδος ἱερατικῆς ἐστι δεκτικός. Εἰ γοῦν ἡ ἐπικλήρωσις [μετὰ] καὶ σφραγῖδος προβαίνειν εἴωθεν, οὐκ ἐκχωρηθήσεται· εἰ δὲ διὰ συγγραφῆς καὶ μόνης, οὐ κωλυθήσεται. Εἰ γὰρ ὁ ἀναγνώστης οὐκ ἀποκωεῖται δεγαμήσας τοῦ βαθμοῦ, οὐ κωλυθήσεται πάντως καὶ ἐν διαφόροις ναοῖς τὰ τοῦ βαθμοῦ ἐνεργεῖν. 8. Ἔγραψας ὅτι σύμφωνον γαμικόν τις συστησάμενος πρὶν λαβεῖν εὐχὴν ‖ μνηστείας συνεφθάρη τῇ μητρὶ τῆς ἐγγυηθείσης αὐτῷ γυναικὸς καὶ ζητεῖ τῆς θυγατρὸς ἀφέμενος λαβεῖν τὴν μητέρα. Φαίνεται γοῦν μοι τοῦτο οὐκ ἀκριβὲς εἶναι. 9. Καὶ πρὶν γὰρ νομοθετηθῇ ἐπὶ ταῖς μνηστείαις εὐχὴν τελεῖσθαι, διὰ συμφώνων καὶ μόνων τῆς μνηστείας συνισταμένης, τὴν μνηστὴν λαμβάνειν τοῦ υἱοῦ ὁ πατὴρ ἐκωλύετο καὶ ὁ υἱὸς τοῦ πατρός. Καὶ γὰρ [εἰ] καὶ μὴ εὐχὴ

5. *τί παρανατέλλη.* — 6. *τέττιγας.* — 17. *οἱονδήτινα.* — 18. *ἐστὶ.* — 19. *μετὰ* λείπει. — 20. *διαγραφῆς.* — 24. *τίς.* ‖ Κώδ. 12, 6. — 27. *νομοθετηθεῖ.* — 30. *εἰ* λείπει.

Digitized by Google

γέγονε μνηστείας, ἀλλ' οὖν μνηστὴ ὠνομάσθη τῷ συμφθαρέντι τῇ μητρί. 10. Ἀποστήσεται γοῦν καὶ τῆς μητρὸς καὶ τῆς θυγατρός. Ὅπου γὰρ ὁ μέγας Βασίλειος τὸν ἁπλῶς πορνεύσαντα, εἰ μὴ σφόδρα ἀντέχοιτο, μὴ πρὸς γάμον λαμβάνειν τὴν πορνευθεῖσαν διαγορεύει, πῶς ἂν ἔχοι χώραν τὸ παρὰ τῆς σῆς γραφὲν ἁγιότητος;

11. Ὃ κατέχειν παρ' ἐμαυτῷ ἔγραψάς μοι περὶ τοῦ ἐξαδέλφου μου κυροῦ Εὐθυμίου ἔκπυστον ἤδη γέγονεν ὡς τελεσθὲν, καὶ διὰ τοῦτο ὤκνουν δηλῶσαί σοι τὰ δοκοῦντά μοι. Πλὴν ἀλλὰ καὶ οὕτω γράφω. Ἐμοὶ θελητὸν ἦν προσκαρτερῆσαι τὸν κυρὸν Εὐθύμιον τῇ μεγάλῃ τοῦ θεοῦ ἐκκλησίᾳ, καὶ τὴν προκοπὴν αὐτοῦ οὐ διὰ μακροῦ γενήσεσθαι, ἴσθι, ἐκαραδόκουν. Τῇ τε γὰρ ἁγιωσύνῃ σου ἠγαπημένος ἐστὶ, μεγάλην ἰσχὺν ἐχούσῃ συνεργίας καὶ ἀντιλήψεως, καὶ ἡμεῖς, εἴ ποτε δοθείη παρὰ θεοῦ τις ἰσχὺς καὶ ἡμῖν, τίνος ἑτέρου ἀντιποιήσασθαι μᾶλλον ἔχομεν ἢ πάντως αὐτοῦ τὸ πλέον, ἵνα μὴ λέγω τὸ πᾶν, ἵν' εἴη τοῦ ἡμετέρου γένους ζώπυρον ἐν τῇ ἐκκλησίᾳ καὶ τὰ αὐτὰ καὶ αὐτὸς δράσειε μεθ' ἡμᾶς, εἴ πού τις ἐξανασταίη ἡμέτερος; 12. Εἰ δ', ἴσθι, καὶ περικοπείησαν αὐτῷ τὰ ἡμέτερα, ἀλλ' ἣν ἂν θεὸς αὐτῷ, μετὰ τῆς αὐτοῦ καὶ σπουδῆς καὶ ἐνεργείας καὶ καταστάσεως τὰ ἀγαθὰ προνοούμενος. Ταῦτα τὰ ἐμὰ ἐπὶ τῷ κυρῷ Εὐθυμίῳ. Εἰ δ' αὐτὸς προβαλεῖταί μοι τὰ τῆς δημώδους παροιμίας, ὡς ἄρα προφθάνει ὁ τὴν ἄωρον καρπιζόμενος ἄνθην τὸν τὰ πέπονα ἐκδεχόμενον, ἀλλ' ἐμοὶ γοῦν οὐκ ἀρεστὰ φθέγγεται.

13. Τῷ κομίζοντι τὸ παρόν μου γράμμα ὀφείλω μὲν καὶ ὡς συγγενεῖ προσφιλοῦς καὶ λίαν συνήθους μοι, ὀφείλω δὲ καὶ ὡς γραμματοκομιστῇ ἐντυχὼν, πάλαι που ποθῶν καὶ ἀναζητῶν. Ἀξιῶ γοῦν πᾶσαν τὴν ὀφειλὴν αὐτῷ καταβαλέσθαι τὴν σὴν ἁγιότητα καὶ γενέσθαι αὐτῷ πᾶν ὅ τι βεβούληται. Βουλήσεται δὲ οὐδὲν δυσχερές, ἀλλ' ἢ τὸ σὸς κεκλῆσθαι

8. *γέγονας.* — 9. *διατοῦτο. δηλῶσαι. δοκοῦντα.* — 15. *τίς.* 18. *που.* — 21. *ἐνεργίας.* — 22. *προβαλεῖται.*

www.libtool.com.cn

Digitized by Google

καὶ τῆς σῆς ἀπολαύειν προσπαθείας καὶ οἰκειότητος. Ἐντεῦθεν δ' αὐτῷ πάντως πάντα συμβήσεται τὰ χρηστότερα. Προσαγορεύω πάντας τοὺς τῆς ἁγιωσύνης σου. Ἡ ἁγία εὐχή σου μεθ' ἡμῶν εἴη.

www.liptool.com.cn

[Γεωργίου τοῦ Τορνίκη] τῷ ἱερωτάτῳ μητροπολίτῃ Ἀθηνῶν.

1. Ἃ μὲν ὁ χρόνος ἤνεγκε, παναγιώτατε δέσποτα, οὐ κατὰ τὸν Ἐκκλησιαστοῦ λόγον, ὡς οἶομαι, τί τὸ γεγονὸς φάσκοντος ὅτι αὐτὸ τὸ γενησόμενον καὶ τί τὸ πεποιημένον ὅτι αὐτὸ τὸ ποιηθησόμενον, ἀλλ' οἷα μήτε γενέσθαι τὸν πρότερον χρόνον ἐκ τῶν ἱστοριῶν μεμαθήκαμεν μήτε γενήσεσθαι τῷ μετέπειτα στοχαζόμεθα. Μέτρον ἐπιστολῆς ὑπερπέπαικε, μᾶλλον δὲ, εἰ χρὴ τἀληθὲς εἰπεῖν, τὰ μὲν ἔκφορα τούτου τὴν ἡμετέραν γραφὴν ἔφθη, τὰς ἀκοάς σοι περιηχήσαντα, τὰ δὲ κρυφιώτατα χάρτης καὶ πίναξ οὐκ ἐμπιστεύεται.

2. Οἶδας γὰρ ὅτι καὶ τὰ τελούμενα πάλαι καὶ τὰ μυούμενα ὀφθαλμοῖς ἢ ἀκοαῖς ἐμπεπίστευτο, εἰ δέ ποτε καὶ γράμμασιν ἐγκεκόλαπτο, ἀλλ' οὐ τοῖς κοινοτέροις οὐδ' οἷς ἐγράφετο τὰ ἀνθρώπινα. Οἶδας τὸ παρ' Ἑβραίοις ἀνεκφώνητον, τὸ τετράγραμμον, καὶ τὰ παρ' Αἰγυπτίοις τε καὶ Χαλδαίοις μυστικώτερα ἱερογλυφούμενα. 3. Διὰ τοῦτο τὰ νῦν μὲν ταυτὶ σιγῇ τιμάσθω· γένοιτο δὲ κατὰ πρόσωπον ὀφθέντας ἀλλήλοις στόμα κατὰ στόμα προσομιλῆσαι καὶ ταῦτα θαρρῆσαι ἃ τυχὸν ἑτέροις οὐκ ἐθαρρήσαμεν.

4. Τὰ δὲ ἡμέτερα μάνθανε, ἀλλὰ μὴ δυσχεράνῃς, μηδὲ ῥᾳδίως καταψηφίσαιο μωρίαν ἢ ἀπειρίαν, μηδὲ φρεναπατωμένους νομίσειας ἢ μετεωριζομένους ἐν ὀφθαλμῷ ἢ πορευομέ-

Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ βιενναίῳ κώδικι, φ. 14,α - 14,β.

18. τὲ.— 19. διατοῦτο ταυτ̃ν.— 23. 24. μὴδὲ.

Digitized by Google

www.libtool.com.cn

νους παρ' ἑαυτοῖς ἐν μεγάλοις κατὰ διάνοιαν, ἀλλ' ὅπερ ἡμᾶς ἤδεις, ὅτι περ οὐδὲν αὐθεκάστῳ γνώμῃ πράττειν εἰώθειμεν, τοῦτο κἀπὶ τοῖς παροῦσι περὶ ἡμῶν ἔχε, ὅτι μηδὲν παρ' ἑαυτῶν ἐπεπράχειμεν ‖ , ἀλλὰ τοῖς εἰδέναι καὶ φιλεῖν ἡμᾶς πιστευομένοις ἠκολουθήσαμεν. 5. Τί οὖν ἐστιν ὅ φημι; Εἰς τὴν ἐκκλησίαν Κορίνθου παρὰ τοῦ πνεύματος ἐκλήθημεν καὶ ἡμεῖς μετὰ πρῶτον τὸν ῥεφερενδάριον κῦρ Στέφανον καὶ πρὸ τοῦ τρίτου τοῦ πρωτεκδίκου, καὶ τῷ τῆς ἀποστολῆς ἐπεμπόμεθα πνεύματι. Καὶ πῶς ἄν σοι τοῦ λογισμοῦ τὴν ταραχὴν διαγράψαιμι, τὸν σάλον, τὰ κύματα ; Ἔκνους ἐγενόμην, μὴ ἀπιστήσῃς, ἔλος πρὸς ὑμᾶς ἐφερόμην καὶ μάλιστα τὸ τῆς μητρὸς καθεῖλκε φίλτρον, καὶ ἤδη παρ' ἐμαυτῷ τὸ βουλευόμενον ἔστησα. Ἀλλὰ μετέστην, ὅτι μὴ φθάσας ὠμώμοκα.

6. Παρακεκίνημαι δὲ τοῦ βουλεύματος [ὑπ'] ἀνδρὸς ἑταίρου καὶ συνετοῦ καὶ τὰ παρ' ὑμῖν ἠκριβωκότος σοφαῖς καὶ πιθαναῖς εἰσηγήσεσιν. Ὁ κῦρ Θεόδωρος οὗτος ὁ Παντεχνής. Τούτῳ πεισθέντες ἀπέστημεν ἐξ ὑμῶν καὶ μένομεν ἐν οἷσπερ ἦμεν ἀκίνητοι, οὐκ οἶδ' ὅπως τῇ φορᾷ τῶν πραγμάτων ἀπαχθησόμενοι, ἃ μέχρι καὶ δεῦρο μεμενήκασιν ὡς τὸ ἀπ' ἀρχῆς ἀναλοίωτα, παντὸς τοῦ εἰς προστασίαν [τῆς] ἐκκλησίας κληθέντος τὴν κλῆσιν ἀποθεμένου.

7. Τοιαῦτα μὲν τὰ ἡμέτερα· τὰ δὲ περὶ τῶν σῶν ὁ πρωτοκουροπαλάτης ὁ ἀδελφός σου πάντως ἐδίδαξέ σου τὴν ἱερότητα. Σὲ γὰρ πρῶτον ὑποκνίζειν ὁ πολύφημος ἤρξατο· εἰ δὲ καὶ ἐς σὲ καταλήξειε, τοῦτο τοῖς πολλοῖς περιάδεται. Θρασύς ἐστιν ὁ δειλότατος καὶ σύνθετος ἐκ δυοῖν κακῶν θρασύδειλος γίνεται, τοὺς παρόντας καταψῶν καὶ τοῖς ἀποῦσιν ἐπεμβριμώμενος. 8. Τοῦτο γάρ ἐστιν αὐτοῦ τὸ σοφόν· ἐπανορθοῦσθαι τὰ τῶν ἄλλων δοκεῖ ὁ μηδέποτε τὴν εὐθεῖαν βε-

4. ‖ Κώδ. 14,6. *πεπιστευμένοις*, εἶτα ἀποσβεσθέντων τῶν δύο πρώτων γραμμάτων.— 7. *ῥαιφερενδάριον*.— 9. *ἄν σου*. — 14. *ὑπ'* λείπει. *ἑτέρου*. — 15. *πιθαναῖς* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *πεισθαναῖς*.— 16. *τούτῳ* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *τοῦτο*.— 20. *τῆς* λείπει.— 26. *ἐστὶν*,— 29. *εὐθεῖαν*.

Digitized by Google

βαδικῶς καὶ τὴν βούλησιν ἐκπεραίνει καθ' ὧν ἐμήνισε, συμπαραμιγνὺς καὶ δικαίωμα. Ἐφ' ᾧ καὶ λίαν χαίρει καὶ ἐπαγάλλεται, ὡς τοῦτο πρῶτος ἀνακαλύψας κρυπτόμενον. Ἐντεῦθεν ἤρξατο, οὐκ ἴσμεν δ' εἴς ὅ τι τὰ κατ' αὐτὸν συμπερατωθῇ.

9. Τὸν παρόντα ὅτι μέν ἐστιν ἡμέτερος οἶδεν ἡ ἁγιότης σου· ὅτι δὲ καὶ συνετὸς καὶ τοῖς εὖ πεποιηκόσιν εὐχάριστος, καὶ τοῦτο οὐκ ἀγνοεῖς. Ὁ γοῦν πρὸς αὐτὸν δράσειας, πρὸς εὐχάριστον ἴσθι δρῶν καὶ ἀνακηρύττειν εἰδότα τὰς εὐποιίας καὶ ἀντιδρᾶν, εἴ που δύναιτο, βεβουλημένον. 10. Ἀλλὰ καὶ ὁ ἐντεῦθεν εὐλαβὴς ἱερεὺς Δημήτριος ὁ Πλευρίτης, ἐκ τῶν σῶν Ἀθηνῶν γεγονὼς, τῆς σῆς αὐτόθι προσδεῖται συνάρσεως. Ἔστι μὲν γὰρ αὐτῷ παρὰ σοὶ ἀδελφὸς τῷ κλήρῳ τῆς ἐκκλησίας τεταγμένος, οὐκ ἀδελφὰ δὲ τούτῳ φρονεῖ οὐδὲ φίλα, τῆς πατρικῆς ἀποξενῶν κληρονομίας, κατασπαθῶν μὲν αὐτὸς τὴν ὁμόκληρον οὐσίαν, τοῦτον δὲ πενόμενον ἐν ξένῃ περιτρῶν, πολυπόνοις διακονίαις πρὸς τὸ ζῆν ἐκτριβόμενον. 11. Ὑπὲρ τούτου τὴν σὴν ἀξιοῦμεν ἁγιωσύνην, τῷ δικαίῳ δοῦναι χεῖρα παρακαλοῦντες, καὶ ᾧ τὰ πρεσβεῖα δέδωκεν ἡ φύσις, τοῦτον μὴ παραλιπεῖν τῶν ἴσων στερούμενον. Ἀλλὰ τί τὴν εὐθεῖαν εὐθύνω πλάστιγγα, ἐς τί δὲ τὸν κανόνα παραξέειν ἐπιχειρῶ; Εὐθείας οἶδ' ὅτι τὰς ψήφους ἐξενέγκῃς καὶ οὐκ ἀφήσεις ἀδικεῖσθαι τὸν ἀδικούμενον. Ὡς ἐξ ἡμῶν πρόσειπε τοὺς ἡμετέρους καὶ σοὺς, τὸν ἐμὸν αὐτάδελφον, τὸν ἐμὸν ἐξάδελφον, εἴ περ ἔτι αὐτόθι ἐστίν.

Τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.

1. Μακρὸς ἐξ οὗ χρόνος ἀλλήλοις ἐσιωπήσαμεν, πανα-γιώτατε δέσποτα· ἐγὼ μὲν ὅτι μὴ γραμματοκομισταῖς ἐνε-

1. *ἐμήνισας.*

Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ βιενναίῳ κώδικι, φ. 14,6 - 15,α.

β *α*

25. *χρόνος ἐξ οὗ.*

Digitized by Google

τύγχανον, ἡ δὲ [σὴ] ἀγιότης οὐκ οἶδα δι' ἣν τινα τὴν αἰτίαν. Τὰ μὲν κατὰ σὲ χαίρειν ἡμᾶς ποιεῖ, παρὰ τῶν αὐτόθι καταγγελλόμενα. ὁποῖα καὶ τῆς σῆς ἀξίας ἐπάξια καὶ ὁποῖα καὶ ἡμεῖς εἰδομεν. 2. Καὶ τοὺς πολλοὺς μὲν ἐκπλήττει, ἄλλα περὶ σοῦ φρονοῦντας, ἐκ δὲ τῶν πραγμάτων ἐλεγχομένους καὶ χρυσολογεῖν ἀεί σε νομίζοντας, ὁποῖα κακήγοροι γλῶσσαι καὶ γνῶμαι περὶ τῶν ἐν μέσῳ στρεφομένων καὶ φρονοῦσι καὶ φθέγγονται, ὅτι σοι κατὰ ποταμὸν αἱ χεῖρες τὸν χρυσὸν ῥέουσι καὶ τὸν Ἐλέου βωμὸν ἄντικρυς τοῖς Ἀθηναίοις καινίζεις πάλαι κατεστραμμένον, ὡς περὶ σὲ καινοῦ τινος ἀκούοντες ἀπιστοῦσι καὶ ὡς καταπλῆγες ἑστᾶσιν ἐν τῷ ἀκούειν ἐνεοί τε καὶ ἄφθογγοι φθόνῳ πλέον ἢ θαύματι. 3. Ἡμεῖς δὲ, τὸ δένδρον εἰδότες, τοὺς καρποὺς ἐθαυμάζομεν. Ἀλλὰ τὴν τοῦ Κυρίου φωνὴν καὶ διὰ τῶν σῶν ἔργων εὑρίσκομεν ἀληθεύουσαν καὶ τὸ κάλλος τῶν τέκνων κατανοοῦμεν ἐκ τοῦ γεννήσαντος· κἄν τις τἀναντία τῶν ἄρτι λεγομένων ἐκήρυττεν, οὐκ ἂν κατέπεισεν, εἰ διερρήγνυτο, ἐκ τῆς καθαρᾶς πηγῆς οὐ βόρβορον βλαστάνειν εἰδότες οὐδ' ἐξ ἀμπέλου χρηστῆς βάτον ἢ ἄκανθαν φύεσθαι.

4. Τὰ μὲν οὖν σὰ τοιαῦτα καὶ ταῦτα χαίρομεν οἰκειούμενοι. Τὰ δ' ἡμέτερα ‖ τί ἀντιγράφοιμι; Οὐκ ἔστιν ἐφ' ὅτῳ γῆθος ἡμῖν ἀνατέλλει, ἀλλὰ μὴ σκυθρωπή τις κατήφεια. Τὰ αὐτόθι οἶδας, τὰ ἐνθάδε μανθάνειν ἔχοις. Εἴ πού τι χρηστὸν ἀναβλαστάνον ἡμῖν φανείη, ὥσπερ τις ἄρτι κόκκος ἐν ληΐοις τρεφόμενος ἀνεμόφθορος ἀθρόον εὑρίσκεται, καὶ ταῖς γλώσσαις τῶν πολλῶν εὐτυχοῦντες τοῖς πράγμασι πάντων ἐσμὲν ἀτυχέστεροι, τοῦτο πλέον προσκτώμενοι ὅτι τοὺς οὐκ οἶδ' ὅθεν ἡμῖν φθονοῦντας ἀνερεθίζομεν ὡς ἐπιβουλεύειν ἐπιχειρεῖν

1. *σὴ* λείπει. — 2. *καταγγελόμενα*. — 4. *ἤδομεν* διορθωθὲν εἰς *ἤδομεν*. — 18. *βάτον* διορθωμένον δι' ὠχροτέρου μέλανος εἰς λέξιν ἄλλην ἀδιάγνωστον, ἀλλ' ἄνευ ἀνάγκης, ὡς ἔμοιγε δοκεῖ. — 21. ‖ Κώδ. 15,α. *ἐφότω*.— 22. *σκύθρωπή*.— 23. *εἴπου τι*. — 24. *ὥσπερ*. *ληΐοις* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *λῃΐα*.— 25. *ἀνεμοφθόρον*. *γλώσσαις* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *γλῶσσαις*.

www.nbtool.com.cn

Digitized by Google

παθεῖν τι χρηστὸν ἐλπιζομένοις, καὶ ἀπὸ λογισμῶν ἀξίας ἡμῖν χαριζόμενοι σπεύδουσιν ἀποκρούεσθαι τὰ μηδὲ παρ' ἑαυτῶν ἐλευσόμενα, συνεργοὺς εὑρίσκοντες καὶ ἡμᾶς, ὅτι μὴ μετὰ διπλόης ἀναστρεφόμεθα, ἀλλ' ἐν ἁπλότητι πορευόμεθα, παρέχοντες ἀφυλάκτους ἑαυτοὺς τοῖς ἐπιβουλεύουσιν.

5. Ὅπως ὁ δεσπότης ἡμῶν τοῖς σοῖς ἐγκοτεῖ ἐκ τῶν περὶ τοὺς σοὺς πραχθέντων μεμάθηκας. Εἰ δὲ καὶ ἡμᾶς τοῖς σοῖς ἐγκαταριθμεῖται οὔπω μὲν ἐξέφηνεν, οἱ δὲ νουνεχέστεροι συλλογίζονται. Ἐκ τῶν ἄνω γὰρ ἀρξάμενος μέχρις ἡμῶν τὰς σφραγῖδας ἔστησεν, οὐδὲν μὲν ἀπεχθὲς ἐκφαίνων οὐδὲ κρύπτων, ὡς φασιν οἷς ἀνακαλύπτει τὰ κρύφια, ἄλλοι δ' ἄλλας αἰτίας καταμαντεύονται. 6. Ἐμοὶ δὲ δοκεῖ ὅτι ταῖς σεσηπυίαις χαίρει θριξὶν, ἡμῖν δ' οὔπω κατασεσήπασιν αὗται, οὐδ' εὐρυπώγωνές ἐσμεν ἢ λευκότριχες, περὶ ἃ κέχηνε πλέον ἢ περὶ χόρτον καὶ βούτομον, τὰ τούτοις τρεφόμενα. 7. Πολὺν ἂν ἐκίνησά σοι τὸν γέλωτα, εἰ θαρρεῖν εἶχον τοῖς γράμμασι τὰ πραττόμενα. Νῦν δὲ ἀλλὰ χαῖρέ μοι τὴν θείαν ὄντως χαρὰν, ταῖς τῆς ὑπεράγνου Παρθένου ἐνθειαζόμενος χάρισι καὶ ὑπὲρ ἡμῶν αὐτὴν ἱλασκόμενος. 8. Ηὐχαρίστησά σοι ὅτι μὴ τὰ κατὰ τὸν αὐτάδελφόν μου κῦρ Λέοντα ἐδήλωσάς μοι, καὶ τούτοις τὴν σὴν σιωπὴν ἐπιγράφομαι. Τέως δ' οὖν ἀλλὰ μή μοι μέμψῃ, ποιεῖν ἀξιοῦντι ἅπερ ποιεῖς, μηδὲ ἀποκνήσῃς τῶν ἡμετέρων ἀντιποιούμενος. Κἂν γὰρ καὶ ἡμεῖς τῶν σῶν οὐχ ὑπερμαχώμεθα, ἀλλ' ἴσθι πλέον αὐτῶν τῶν ἀδικουμένων πληττομένους ἡμᾶς, ὅτι τὴν παρρησίαν καὶ ἄκοντες ἀφαιρούμεθα· καὶ πρὸς μόνην γὰρ εὐνοίας ὑπόνοιαν ἐρεθίζεται.

---

1. *τί*.— 2. *μηδὲ*.— 13. *κατασεσήπασιν* κατὰ διόρθωσιν δι' ὠχροῦ μέλανος ἐκ τοῦ τὸ πρῶτον γραφέντος *κατασεσίπασιν*.— 14. *εὐρυπώγωνες ἐσμὲν*.— 17. *χαῖρε*.— 22. *μηδὲ*.

Digitized by Google

www.libtool.com.cn

Τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν ἐκ τοῦ Δυρραχίου ὑποστρέψαντα.

1. Ἥσθην τῇ ἐπανόδῳ σου, παναγιώτατε δέσποτά μου, πῶς ἂν εἴποις, ἥσθην καὶ τὸν καινουργὸν ὕμνησα θεὸν τὸν καὶ διὰ θανάτου ζωογονοῦντα καὶ διὰ κλύδωνος σώζοντα καὶ τὸ τῆς Προνοίας τεθαύμακα παναλκὲς, πάσης ἀρχῆς ἐξουσίας κατανοῶν ἰσχυρότερον. 2. Καὶ τοῦτο δὴ ἄρα ἐστὶν ὅ φησιν ὁ ἅγιος Ἡσαΐας ὅτι οὐκ εἰσιν αἱ βουλαὶ καὶ αἱ ὁδοὶ τοῦ θεοῦ ὥςπερ αἱ βουλαὶ τῶν ἀνθρώπων καὶ αἱ ὁδοί· καὶ ἄλλα μὲν ἄνθρωποι βουλευόμεθα, ἄλλα δὲ θεὸς ἄνωθεν κραίνει. 3. Καὶ τοίνυν θεῖα τὰ σὰ κἀκ τῶν προτέρων καὶ οὐκ ἀνθρώπινα λογιζόμενος, ἐκ τούτων τῶν ὑστέρων ἐπὶ πλέον τὴν ψῆφον ταύτην ἐπισφραγίζομαι, καὶ εἰ μὴ μέ τις ὀνομάσειν ἔμελλεν ὀνειρόφρονα, τοῦτον δὴ τὸν ἐμὸν ὄνειδον ὃν ἑτέρους πολλάκις αὐτὸς ὠνείδισα ταῖς προαγούσαις περὶ σοῦ προφητείαις, ὃ τῷ Τιμοθέῳ Παῦλός φησιν, καὶ τὰ ἐμὰ προσεθέμην ἄν. 4. Νῦν δὲ ἀλλὰ γὰρ τί δή ποτε χρὴ συμβούλοις καὶ ὀνείροις ἀποσεμνύνειν ᾧ θεῖα πάντα τὰ συμβαίνοντα προφανῶς; Χαῖρέ μοι, καὶ ἀντὶ τοῦ Καπιτωλίου καὶ τοῦ Ἀππίου Φόρου καὶ τῶν Τριῶν Ταβερνῶν ἅπερ ἐξ Ἰταλίας ἂν ἐληλύθεις ἡμῖν σαφῶς ἐξηγούμενος, τοῖς ἑλληνικοῖς ἐντρύφα θεάμασι, καὶ ἀντὶ τῆς βαρβάρου γλώττης καὶ ἀλαζόνος τῆς περικεκομμένης Ἀτθίδος κατεμφοροῦ. 5. Καὶ γέλα μὲν, εἴ γε βούλοιο, τῷ γέλωτι δὲ προσεπιμίγνυέ μοι καὶ δάκρυα ἀντὶ τῆς πάλαι σοφίας, ἀντὶ τῆς ἐλευθερίας, ἀντὶ τῆς εὐγενοῦς γλώττης καὶ λαμυρᾶς εἰς ὅσον ἀσοφίας καὶ ἀμουσίας, εἰπεῖν

Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ βιενναίῳ κώδικι, φ. 15,α - 16,6.

Τίτλος. *πρὸς αὐτὸν.* — 6. *φησὶν. οὐκ εἰσὶν.* — 9. *θεῖα.* — 11. *μέ τις.* — 14. *παῖ.ἰος φησὶν.* — 17. *χαῖρε.* — 18. Ἡ λέξις *ταβερνῶν* γεγραμμένη δι' ὠχροῦ μέλανος. — 21. *ἀττίθος.* — 24. *σοφίας.*

Digitized by Google

δὲ καὶ δουλείας ὁ σὸς κλῆρος κατελήλυθει διανοούμενος· καὶ ὅπου Σωκράτεις καὶ Πλάτωνες καὶ οἱ ἀμφίγλωττοι Ζήνωνες καὶ μετ' ἐκείνους Ἀριστοτέλης καὶ ὁ ἐκείνου χορὸς τὰς σεμνὰς ἐποιοῦντο διατριβάς, χαλκέας βλέπων καὶ σιδηρέας περὶ ῥαιστῆρα πονουμένους καὶ ἄκμονα, μὴ δακρύων ἄνευ καὶ στεναγμάτων παράτρεχε.

www.libtool.com.cn

6. Ἀλλὰ γὰρ δέδοικα μὴ καὶ πάλιν φθονερὸν ἐν τούτοις με προσερεῖς, ὅτι σοι περιαιρῶ τὰ τερπνὰ καὶ τὴν ἡδονὴν παρακλέπτω, πολλὰ τὰ λυποῦντα προσεπιῤῥίπτων καὶ προσεπιχραίνων σου τὸ μακάριον. Χαῖρέ μοι τοίνυν καθαρὰν εὐφροσύνην καὶ θείαν καὶ παντὸς ἀλγύνοντος ἄμικτον, τοῦ θείου φωτὸς ἀπολαύων ὃ τοῦ εἰς γῆν ἐληλυθότος προαιωνίου φωτός ἐστιν ἀπορρώξ, τοῦ πάντα φωτίζοντος ἄνθρωπον εἰς τὸν κόσμον ἐρχόμενον‖. 7. Ἀντιπαράβαλέ μοι τὰ σὰ τοῖς ἐν Παλαιστίνῃ καὶ τῇ κατὰ περίοδον ἐνιαύσιον τὴν παρὰ σοὶ διηνεκῆ τοῦ θείου φωτὸς παρουσίαν τίθει παράλληλον. Ἄφες ἔρρειν τὴν πάλαι σοι πολιοῦχον τὴν Παλλάδα καὶ Ἀγελείην, τὴν ἄσεμνον παρθένον τὴν ἐκραγεῖσαν ἐκ κεφαλῆς, Ἡφαιστείου πελέκεως κρούμασιν, ἐκ θεοῦ καὶ γεννῶντος καὶ τίκτοντος οὐκ ἐξ ὀσφύος, οὐδ' ἐκ γαστρὸς, ἀλλ' ἐκ μηροῦ τε καὶ μήνιγγος. 8. Ἔχεις πολιοῦχον τῆς πάσης οἰκουμένης . . . . . καὶ θεὸν ἀληθῆ τεκοῦσαν, οὐ μυθευόμενον. Μή σοι τὰ ὦτα παρακτυπείτω Δημοσθένους ἠχὼ καὶ Ἰσοκράτους σειρὴν ἄλλων τε σοφῶν Μοῦσαι Καλλιόπαι καὶ καλλικέλαδοι. Διὰ τοῦτο [μὴ] τὰ παλαιά σε καταπλητέτω τῆς μητροπόλεως τὸν φιλορήτορα καὶ φιλόμουσον. 9. Ἔχεις τὸν Παῦλον δημηγοροῦντα καὶ τοὺς φιλοκαίνους τοῖς καινοτέροις χειρούμενον διηγήμασι. Κάθισον ἐν Ἀρείῳ Πάγῳ, ἀνάπτυξον τῶν σῶν ῥημάτων τὰ πολύστιχα πυξία, μὴ λαμπρὰν οὕτως εὑρήσεις δημηγορίαν ἄγραπτον ὁποίαν

10. *χαῖρε.* — 12. *φωτὸς ἐστὶν.* — 14. ‖ Κώδ. 15,6. — 15. *σοῦ.* — 22. Ἐν τῷ κώδικι μένει χῶρος ἄγραφος ὡσεὶ εἴκοσι καὶ πέντε γραμμάτων. — 25. *μὴ* λείπει. — 30. *λαμπρὸν.*

Digitized by Google

τοῦ σκηνορράφου, τοῦ τῆς ἐκκλησίας ῥήτορος Παύλου, τοσοῦτον δυνηθεῖσαν, ὡς καὶ αὐτῶν ἐξαναστῆσαι θρόνων τοὺς μετὰ ὀρρύος φιλοσόφου καὶ φρονήματος ἀσόφου δικάζοντας.

10. Οὕτω τῶν σῶν Ἀθηνῶν τῶν προτέρων τὰ δεύτερα λαμπρότερα καὶ σεμνότερα, οὕτως οὐ φθονερὸς ἐγὼ τὰ πάσης οἰκουμένης χαριζόμενός σοι λαμπρότερα. Ἀπόλαυε τοίνυν τῶν σεμνῶν τούτων χαρίτων, τὴν ἀγαθὴν καὶ θείαν εὐφροσύνην καρπούμενος, τὰς σὰς Εὐμενίδας ἐπιπέμπων τοῖς χαιρεκάκοις, μᾶλλον, δὲ, οὐ γὰρ κατὰ τοὺς [παρὰ τῷ] θείῳ Ἡσαΐᾳ τα- λανιζομένους ἄρχοντας διώκεις καὶ αὐτὸς ἀνταπόδομα, τῇ θείᾳ περιφραττόμενος δεξιᾷ, ἵνα βαλλόμενος μένῃς ἄτρωτος, ἐξαιτούμενος καὶ ἡμῖν παρὰ θεοῦ τὰ σωτήρια καὶ τὰς σὰς εὐχὰς ἀποτροπαίους ἡμῖν δωρούμενος τῶν ἐνδιαβαλλόντων ἡμᾶς, ἐπεί περ ἀγαθωσύνην διώκομεν. 11. Τί γὰρ βούλει καὶ αὐτά σοι διηγήσομαι τὰ ἐμὰ, μᾶλλον δὲ τὰ σά, Ἀλλ' ὅρα μὴ πλέον ναυτιάσῃς ἢ ὅτε σοι τὸ Ἰόνιον ἠγριαίνετο καὶ τὰ κύματα ἐπωρύετο, ἵνα μὴ παρήσω τὴν ἀναιδῆ τοῦ ἀγενοῦς πλήθους τῶν Ἁγιοσοφιτῶν καθ' ἡμῶν ὁρμὴν ὡς μικροῦ καὶ χεῖρας ἐπιβαλεῖν ἀπειλῆσαί τε καὶ ἐπιχειρῆσαι, ὅτι τοῦ μακαριωτάτου δεσπότου πρὸς θεὸν ἐκδημήσαντος, ἐκείνων ἐμπορικῶς μὴ πειθομένων ἀπονεῖμαι τῷ κειμένῳ τὰ ἔσια, πρὸς τὸν ἀναιδέστερον λαλοῦντα θρυσύτερον καὶ ἡμεῖς ἐφθεγξάμεθα, ζήλῳ κατὰ θεὸν κινούμενοι. Οὐ γὰρ κατὰ τοὺς μεγαλοψύχους ἡμεῖς τὸν πόδα χαλῶντες οἴδαμεν πλεῖν. 12. Καὶ ἵνα τὴν οὐκέτι κρυπτομένην κατὰ τὴν ψυχὴν ἀγενεστάτου Πανευγένου παραλίπω κατάρρησιν, ὅτι ταῖς προτέραις βλασφημίαις καὶ ταύτην προστέθεικε. . 13.(Τοῦ γὰρ μακαρίτου δεσπότου τὴν δεξιὰν ἐν τῇ νήσῳ μελανθέντος, ἢ τυχὸν οὕτω τῆς χειρὸς ὡς ἀκρωτηρίου προτέρας ἀπονεκρωθείσης ἢ, τὸ γοῦν ἐμοὶ δοκοῦν, ὅτι περ ταύτῃ τῇ χειρὶ σχοίνῳ ἀπῃωρημένῳ προσερειδόμενος τὸ σῶμα μετέστησεν, ἐξ οὗ πάντως καὶ ἐπιέζετο, ἐκεῖ τοῦ

9. *παρὰ τῷ* λείπουσιν.— 18. *ἁγιοσοφιστῶν*.— 19. *ἐπιβαλλεῖν ἀπειλῆσαί τε*. — 22. *φθεγξώμεθα*. — 25. *ἀνεγενεστάτου*.

Digitized by Google

πιεσμοῦ κατὰ λόγον ὕλης ἐπίρροια πρὸς τὸ πιεζόμενον καταφέρεται, ἐξ ἧς καὶ ἡ μέλανσις [γέγονε], τοῦ παθόντος μὴ κρύψαντος . . . . . .
αὐτῷ τὸ συνειδὸς ἐκέντει, ἐμοὶ δοκεῖν, κἀκ τῶν παρισταμένων [τινὸς] εἰς ἔννοιαν τούτου ἐληλυθότος· παρίστατο γὰρ ὁ Σίδης τε καὶ ὁ Ἡρακλείας καὶ ὁ πρώην Κύπρου Ῥοΐδης· καὶ αὐτὸς οὕτω παρατυχὼν, τῶν οὐκ ἀγαθῶν χειροθεσιῶν εἶναι τοῦτο σύμβολον εἰρηκότος καὶ «ὁρᾶτε τί ποιοῦσιν αἱ χειροτονίαι» μικρῷ ἄσθματι φθεγξαμένου, ὁ πάντα χρηστὸς τῶν Βογομίλων εἶναι καὶ τοῦτο τὸ πάθος προαπεφοίβασε καὶ αὐτὸν ἐγνωκέναι, πολλοὺς ἀνορύξαντα τάφους τῶν ἐκ τῆς τοιαύτης αἱρέσεως καὶ πάντας οὕτως ἔχοντας εὑρηκότα. Τῆς ἀνοίας εἴτ' οὖν τῆς ἀνοησίας, ὅτι μηδὲ τυμβωρυχίας ἑαυτοῦ ἐπιγράψασθαι νενάρκηκεν ἔγκλημα, ἵνα μόνον ἑτέρῳ σπῖλον προσεπιτρίψειεν). 14. Ἵνα γοῦν τὰ ἐντεῦθεν παρήσω, ἀλλὰ λελύττηκε καθ' ἡμῶν τὸ ψωριῶν καὶ μελιταῖον κυνίδιον, ὁ μηδὲν ἧττον τοὺς τῆς ψυχῆς ὀφθαλμοὺς ἢ τοὺς τοῦ σώματος ὅλαις κολοκύνταις λημῶν. Ἡ χριστοφόρος γλῶσσα καὶ μόνη τοῦτον εὐφυῶς ὑποζωγραφήσειεν, ὀνόματα τὰ μὲν ἑτοίμως καὶ αὐτὴ πλάττουσα, τὰ δὲ παρὰ τῆς ἀρχαίας κωμῳδίας κατὰ ποταμὸν ῥέουσα. 15. Τῆς δὲ λύπης ἡ αἰτία ὁποία; Μετὰ πρώτην καὶ δευτέραν δημηγορίαν ὁ ταῦτα διδάσκειν πεπιστευμένος ἃ μὴ μεμάθηκε καὶ ἑτέροις συμβιβάζειν ἃ μὴ συνῆκεν· ἐφ' ᾧ καὶ τὸ παλαιὸν ἐκεῖνο καλῶς ἂν εἴη συγκείμενον σόφισμα, ἃ μανθάνειν φασὶ τοὺς διδάσκοντας. 16. Ἡ λιγυρὰ καὶ μεγαλόφωνος σεσίγηκε σάλπιγξ καὶ σιγὴν πολύχρονον ἔλην ἐξαμηνίαν. ‖ Ὅτι γὰρ μεγάλην ἔμελλεν ἀποτεκεῖν ὠδῖνα μεγάλα καὶ συνελάμβανε τῷ τῆς κακίας καὶ αὐτοῦ πατρὶ συγγενόμενος. Ὁπότε γοῦν αὐτὴν ἀπεγαλάκτισε καὶ Νιρέως ἐκ-

2. Διὰ τῆς λέξεως *γέγονε* συνεπλήρωσα τὸν ἐν τῷ κώδικι ἄγραφον χῶρον.— 3. Χῶρος ἄγραφος ὡσεὶ τεσσαράκοντα γραμμάτων.— 4. *δοκεῖ*.— 5. *τινὸς* λείπει.— 6. *τὲ. ὁ πρὸ κύπρου* — 7. *παρατυχὼν* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *παρατυχῶν*.— 10. *βογομήλων*. —12. *πάντα. ἔχοντα*.— 16. *μελιτταῖον*.— 27. ‖ Κώδ. 16, α.

Digitized by Google

γονον νενόμιστό οἱ εἶναι ἡ πιθηκὶς, ἐξήγαγε θεατρίσων, παραπληθὲς μυρίοις κεκράκταις ἐπιστεβασάμενος θέατρον. Ἐξεφάνθη γοῦν τὸ θαυμαστὸν καὶ πολυήμερον κύημα· τὸ δὲ ἦν ὠὸν ἀσπίδος βασιλίσκον ἐγκελυφούμενον, ἀναιδὴς κωμῳδία τῶν εὐεργετηκότων, αὐτοῦ σοῦ, αὐτοῦ Πατριάρχου καὶ τὸν Τζοχάραν τι προσεπιξύουσα, οὐ κατὰ τὴν ἀρχαίαν κωμῳδίαν παρυπονοίαις πλακεῖσα καὶ ἐπικρύψεσιν, ἀλλὰ κατὰ τὴν ἀγοραίαν καὶ ἀγενῆ καὶ οἵαν γυναῖκα γείτονα κωμῳδεῖ γυνὴ γείτων ὑβρίστρια. 17. Ἦλθε καὶ εἰς ἡμετέρας ἀκοὰς ὁ τῆς ἀργυρέας ταύτης καὶ θαυμαστῆς σάλπιγγος φθόγγος ὁ εὐσημότατος καὶ ὁ κῦρ Εὐστάθιος τὰ λαληθέντα ἡμῖν ἐγνώρισε· συμπαρῆσαν δὲ καὶ συνηκροῶντο καὶ τῶν ἐκείνῳ γνωρίμων μειρακίων οἷς συναθύρει τὰ παιδικὰ καρυατίζων καὶ βησσαλίζων καὶ ἱπ[παζόμενος] καὶ τὸν ἐγκεκαλυμμένον παίζων οὐχ ὃν οἱ πάλαι σοφισταὶ, ἀλλ' ὃν τὰ . . . . . ἀπομαντευόμενα. Ἠγανακτήσαμεν ἐπὶ τοῖς ἀκουσθεῖσιν, ὠνειδίσαμεν καὶ ἀπόντα τὸν ἄφρονα, ἀχαριστίαν καὶ ἀφροσύνην καὶ ἀμαθίαν τοῦ αὐτῷ συνοίσοντος. Παρὰ τίνος γὰρ, ἔφημεν, εὖ πάθοι τοσαῦτα ὁπόσα παρὼν αὐτὸς ἐκωμῴδησεν, ὁποῖον δὲ καὶ ὁ γενησόμενος ἄρχων τῆς ἐκκλησίας, ὃς οὐκ ἀμυνεῖται τὸν οὕτως ἀπροφάσιστον ὑβριστήν; Προσεπηπειλήσαμεν δὲ καὶ τὴν σὴν ἰσχὺν καὶ τὴν τοῦ σοῦ ἀδελφοῦ τὴν ἀπὸ τῆς δόξης καὶ τῆς τιμῆς, τὴν ἀπὸ τῆς τοῦ λόγου περιουσίας, τὴν ἁπανταχόθεν ὅθεν ἂν τὸ ἰσχυρὸν παρά τισι κρίνοιτο. 18. Ταῦτ' εὐνοοῦντες τῷ ἀνοήτῳ καὶ οἷον ὑπεραλγοῦντες, ὁποῖα πάθοι ὁ ἀναίσθητος λελαλήκαμεν, μικρὸν καὶ τῆς πολυμαθίας κατειρωνευσάμενοι τοῦ ἀνδρός. Οὐκ ἐνεβράδυναν οἱ τοῦ γενναίου συμπαίστορες, ἀλλὰ τάχιον τὰς ἡμετέρας ἀποκομίζουσιν αὐτῷ φωνὰς ἥ περ ἡ ἠχὼ τὰ λαλούμενα.

8. *ἀγενῆ*.— 14. Τῆς λέξεως *ἱπαζόμενος* εἶνε γεγραμμένα ἐν τῷ κώδικι μόνα τὰ δύο πρῶτα γράμματα, μένοντος μετ' αὐτὰ χώρου ἀγράφου ὡσεὶ δέκα γραμμάτων· συνεπλήρωσα δὲ κατ' εἰκασίαν.— 13. *βησαλίζων*.— 15. Χῶρος ἄγραφος ὡσεὶ τριάκοντα γραμμάτων. — 18. *αὐτοῦ*.— 24. *τῆς*.

www.tibtool.com.cn

Digitized by Google

Κἀκεῖνος ὥςπερ τριταγωνιστὴς ὑψοῦ τὴν κεφαλὴν ἄρας ὁ κατὰ τοὺς χοίρους ἀεὶ κυπτάζων καὶ τὴν χαιτήεσσαν ἡμίονον ἱππασάμενος ὁ νωθρότερος ὄνου καὶ κατὰ τὰς σαύρας εἰς μυωξίαν εἰλούμενος ὥςπερ ἐκ Τροφωνίου μεμαντευμένος ἔνθους περιήει, ὕβριν ἐκ τῆς ῥινὸς πνέων καὶ βασκανῶδες βλέπων καὶ κατὰ τὸν βασιλίσκον ἰὸν πέμπων ἐκ μόνου τοῦ βλέμματος, ᾧ μόνον τις συναντήσας ἀποιωνίσαιτο καὶ προβασκανίου δεήσαιτο. 19. Περιήει γοῦν, ὡς ἂν ἐκεῖνος εἴποι, τοὺς τῆς εὐσεβείας ὑπασπιστὰς, οὐκ ἀγαθὰ καταμαρτυρῶν ἡμῶν, τὰ τοῦ χρηστοῦ λέγων Φουρνῆ ἄλλα τε ὅσα ἂν ἐκεῖνος εἰδείη καὶ ὅτι καὶ Βογομίλων ὑπερμαχόμεθα, κἀκ τούτου συνάγων ἡμᾶς εἰς τὴν παμβέβηλον αἵρεσιν ὁ μηδὲν ὤν, μήτε τῆς ἀγαθῆς μερίδος μήτε τῆς φαύλης, ὅτι μηδὲ μεμάθηκε μήτε τῆς ἐκκλησίας τὰ ἐπαινούμενα μήτε τῶν αἱρέσεων τὰ διαβαλλόμενα, ἀλλ' ἀδιακρίτως ἐσθίων κατὰ τὰ νήπια καὶ ἄρτον καὶ πήγανον καὶ τὴν θεοδότειον καὶ ἡμῶν ἄρτι καταμαρτυρεῖ κατηγορίαν καὶ αἰσχρουργίας καταβοᾶται καινὰς ἡμῶν τε καὶ σοῦ, ὁ μὴ μόνον τὴν γλῶσσαν αἰσχρὸς, ἀλλὰ καὶ τὴν ψυχὴν καὶ πᾶσαν πρᾶξιν παμβέβηλος. 20. Γέγονε γοῦν ταῦτά τισι πρὸς ἡδονῆς ὅσοι καθ' ἡμῶν τι πεπόνθασιν, ἐπεί περ ἤκουσται τῆς Ῥωσίας ἡμῖν τι προσμαρτυρῆσαι χρηστόν. Καὶ γὰρ οὐδὲ τοῦτο νενάρκηκε πρὸς πάντας διαμαρτύρασθαι, ὡς παρ' ἡμῶν ἐφοδιασθεὶς χρυσῷ καὶ χρήμασι, τῶν ποῦ ταῦθ' εὑρηκότων; ὁ πάντα μάταιος καὶ ἀνόητος. 21. Δέδοται γοῦν μοι σκόλοψ ἄλλος χαλκεὺς Ἀλέξανδρος, καὶ τὸ πλεῖον ὅτι καὶ πυξίον θεῖον ἐξ ἐμοῦ λαβὼν, πασῶν τῶν τοῦ μακαρίου Παύλου ἐπιστολῶν ἐξηγητικὸν, κατέχειν ἐπιχειρεῖ ἀπολέσθαι λέγωνκαὶ οὐδὲ ἀναζητεῖν ἡμᾶς ἀξιοῖ ἢ μὴν ἀπειλεῖ τὴν γλῶσσαν αὐτοῦ τὴν κωμῳδὸν καὶ φαυλίστριαν.

22. Τοιοῦτος ὁ ἐμὸς Σεμεὰ, τοιοῦτος ὁ ἐμὸς Ἄδερ, ὃν οὐκ

4. *τροφωνείου*. — 7. *τὶς. ἀποιωνήσαιτο*. — 8. *δεήσοιτο*. — 10. *τὲ*.— 13. *μηδὲ*.— 16 *τίγαγον*. — 19. *πράξιν. ταῦτα τισὶ*. 20. *τὶ*.

www.libtool.com.cn

Digitized by Google

οἶδ' εἰ θεὸς ἐξήγειρέ μοι Σατὰν ἀλιτήριον καὶ εἰκῇ καταρώμενον. Ἀνύποιστός ἐστι τὴν ὁρμὴν ὑπὲρ πάρδαλιν, μηδὲ νομίσειας τοσαύτην ἐνδείξασθαί τινα περιδρομὴν, ὡς ὑπερόγκων ἀξιωμάτων ἢ πολυόλβων θησαυρῶν ἐπιτεύξαιτο, ὁπόσην οὗτος εἰς τὴν ἡμετέραν κατάρρησιν ὁ κατάρρητος. 23. Οὗτος μὲν οὖν ἡμῖν ἐφάνη ἀνάντης καὶ τραχὺς σκόπελος. Τί δ' ἄν σοι λέγοιμι τὰς ὑφάλους πέτρας, τοὺς λαθροδήκτας ‖ κύνας, τοὺς ψευδαδέλφους, οἷς, ἀεί τι σπιλοῦν ἐπειγομένοις τὸν ὅσα τε αὐτὸς ἐξεπίσταμαι θεῖον ἄνδρα καὶ ἄσπιλον, ἐπεί περ αὐτὸς ἐν οἷς ἂν εὑρεθείην ἀντίξους φύρίσκομαι, μισοῦμαι καὶ λάθρα σπαράττομαι; 24. Ἆρ' οὐ κλύδωνες ταῦτα πολλῷ τῶν σῶν φρικωδέστεροι, ὧν ὁ βίαιος νότος περὶ τὸ Ἰόνιόν σοι ἐξεκυμάτωσε; Σοὶ μὲν γὰρ τὸ πέλαγος ἐξήγειρεν ὁ θεὸς οὐχ ἵν', ὥςπερ πάλαι τὸν Ἰωνᾶν ἐκ τῆς Ἰουδαίας καὶ Καρχηδόνος ἐξ ἧς καὶ πρὸς ἣν ἐστέλλετο τὸ πρὸς τῶν Νινευϊτῶν φεύγων κήρυγμα, διὰ κήτους ἐκβράσῃ πρὸς οὓς ἐξέπεμπεν, ἀλλ' ἵνα τὸν ἑαυτοῦ θεράποντα, τῆς λαχούσης κληρονομίας ἀπελαυνόμενον, παλινοστῆσαι ποιήσῃ τῇ βίᾳ τοῦ πνεύματος, καὶ τὴν πρώτην ἐπιδεικνὺς ἐντεῦθεν ἀποστολὴν ἐξ ἐκείνου καὶ οὐ κατ' ἄνθρωπον γεγενημένην. 25. Ἡμῖν δὲ ἀλλ' εἰ θεὸς ἐγείρει ταῦτα τὰ κύματα, ὑπνώττων βραχὺ πρὸς ἔλεγχον τῆς ἡμετέρας μικροψυχίας, βουλοίμην ἄν, καὶ σὺ δὲ αὐτὸς μὴ διαλίποις εὐχόμενος, ὡς ἂν ὁ σὸς Ἰησοῦς, ἐμὸς γὰρ οὐ λέγειν θαρρῶ, διὰ τὸ ἀκάθαρτον τῷ πολυλάλῳ τούτῳ ἐπιτιμήσῃ καὶ κωφῷ πνεύματι.

26. Ὁ κῦρ Λέων ἐμός μεν ἐστιν ἀδελφὸς, σοὶ δὲ γνησιώτατος ἑταῖρος ἦν ὅτε καὶ λίαν φιλούμενος. Ὥςπερ οὖν καὶ τότε, εἴ ποτέ σοι προςέπταιε, καταιβάτης καὶ βριαρὸς

2. *μηδὲ*. — 4. *ἐπιτεύξοιτο*.— 7. ‖ Κώδ. 16,6. — 13. *ἐξεκυμάτωσε*.— 14. *οὐχ'*.— 15. *εξ ἧς*. Φκίνεται ὅτι ὁ βιβλιογράφος τὸ μὲν κατ' ἀρχὰς ἠθέλησε νὰ δηλώσῃ τὸ ἧς διὰ βραχυγραφίας, εἶτα δὲ γράψας ὅλον ἀφῆκε καὶ τὸ βραχυγραφικὸν σημεῖον. *τὸ πρὸς τὴν*.— 16. *ἐκβράσει*.— 20. *ἀνθρώπων*.— 26. *μὲν ἐστὶν*.

www.libtool.com.cn

Digitized by Google

ἐφέρου, οὕτω δή σε καὶ νῦν τοῦ αὐτοῦ σε καθίζω κριτὴν, κἂν ἐξαμάρτῃ, μὴ φείδου τῆς ῥάβδου. Οὐκέτι γὰρ ὡς ἑταῖρον, ἀλλ' ὡς παῖδα παιδεύσεις. Ἐπειδὴ θεὸς τὸ πατέρα σοι γενέσθαι δέδωκε, σαυτὸν αὐτῷ πρόθες ἐν τοῖς κατὰ τὸν βίον προχάραγμα, ὃς ἐν ἡλικίᾳ μείρακος ἕλος τῶν λόγων γενόμενος κἀν τούτοις εὐδοκιμῶν, κἀν τοῖς περὶ τὸν βίον πρεσβύταις ἐπεδείκνυσο καὶ φρόνησιν καὶ ἐντρέχειαν.

27. Πρόσειπε τοὺς σοὺς καὶ ἐμοὺς, τὸν κῦρ Εὐθύμιον, τὸν χαριέστατον κῦρ Μάρκον, τὸν τῆς Ἄρτης κῦρ Ἰωάννην. Προσκυνεῖ τὴν ἁγιωσύνην σου καὶ ὁ αὐτάδελφος μου καὶ οἱ ἐμοὶ πάντες καὶ ὁ τὴν ἐπιστολὴν γράψας ἐμὸς Τέρτιος ὁ φιλοσοφώτατος. Τούτῳ γὰρ μόνῳ τεθάρρηκα τὴν γραφήν· σὺ δ' ἂν καλέσαις αὐτὸν Ἥφαιστον. Ὁρᾷς ὅπως καὶ τὰ πρὸς σὲ γράμματα τέρψις τῇ ψυχῇ μοι καὶ διάθεσις γίνεται. Εἷης γοῦν ὑγιαίνων καὶ καυχήσεως ἡμῖν γινόμενος στέφανος, ταῖς πρὸς τὴν πάναγνον Παρθένον καὶ Θεοτόκον εὐχαῖς σου ἀεὶ στηρίζων ἡμᾶς.

Τοῦ αὐτοῦ
τῷ ἱερωτάτῳ μητροπολίτῃ Ἀθηνῶν.

1. ‖ Δέδοικα μὴ καὶ τὴν προτέραν αἰτιάσῃ μοι σιωπὴν καὶ τὴν ὑστέραν πολυφωνίαν, παναγιώτατε δέσποτα· ἐκείνην ὅτι μὴ τὰ δοκοῦντα λυπηρὰ τότε τοῖς γράμμασιν ἀνεκούφιζον καὶ ταύτην ὅτι τοῖς σοῖς χαροποῖς προσκεχηνέναι δοκῶ καὶ τοῖς λαμπροῖς ἐλλαμπρύνεσθαι, δέον τοὐναντίον τῶν μὲν δυσχερῶν συμμετέχειν καθ' ὅσον οἷόν τε, πρὸς δὲ τὰ τῆς τύχης δεξιὰ μελλητὴν εἶναι καὶ ἀναδύεσθαι. 2. Ἐγὼ δὲ πρὸς σὲ μὲν οὐκ ἀπολογήσομαι· οἶδας γάρ με τὸν αὐτὸν ὄντα καὶ γράφοντα

---

3. *πρι.*— 13. *κα.λέσης.*

Ἡ ἐπιστολὴ αὕτη περιέχεται ἐν μόνῳ τῷ βιενναίῳ κώδικι, φ. 17,δ - 18,α.

23. ‖ Κώδ. 18,α. — 27. *λαμυροῖς.*— 29. *με.λητὴν.*

Digitized by Google

καὶ μὴ γράφοντα· ἑτέροις δ' ἀληθεστάτην ποιήσομαι τὴν ἀπολογίαν. Ὡς καὶ τότε μὲν ἐσιώπων διὰ τὴν τῆς σῆς ἁγιότητος ἱκανότητα, ἀρκοῦσαν ἑαυτὴν ἀναφέρειν καὶ μὴ συμπίπτειν τοῖς ἀριστεροῖς συναντήμασι, καὶ νῦν δὲ διὰ τὴν τῆς σῆς ἀγαθότητος ἔκχυσιν λάλος γίνομαι. Ἠδεσθαί σε γὰρ οἶδα τὸν ἔλεον ἐπαντλοῦντα καὶ λίαν ἥδεσθαι. 3. Ὡς περ οὖν καὶ τότε δικαίως ἂν ἐνομιζόμην ἀδικεῖν σου τὴν ἱκανότητα, εἴ σε καὶ αὐτῶν νεφῶν ὑπερφερόμενον καὶ ἀέριον ἀνακουφίζειν καὶ αὐτὸς ἐλογιζόμην ἀδρανέσιν ἐπιφωνήμασιν, οὕτω καὶ νῦν ἀδικοίην ἂν, εἰ μὴ προφάσεις παρέχοιμί σοι χρηστότητος.

4. Τὸν τοίνυν χειρίζοντά σοι τὸ ἐμὸν τοῦτο γραμμάτιον παρήγαγε μέν μοί τις τῶν ἑταίρων, ἵν' ἐντύχω σοι δι' ἐκείνου ὑπὲρ αὐτοῦ, ἐγνώρισέ μοι δὲ καὶ αὐτὸς ἑαυτὸν οἰκεῖον εἶναι τῶν τε τιμιωτάτων ἐμοί. Οἶδεν ἡ ἁγιότης σου τὸν ἡμῖν σεβάσμιον γέροντα τὸν ἐξ αὐτοῦ ἀνέκαθεν τοῦ τῆς Βουλγάρων ἡμετέρου φωστῆρος μέχρι καὶ ἡμῶν φθάσαντα. Ἐκείνου ὁ παρὼν ἀγχιστεύς. Ἔστι δὲ τῶν ἐν κλήρῳ τινὸς τῆς σῆς ὑπεράγνου Παρθένου παῖς καὶ ζητεῖ μὴ τοῦ θείου κλήρου τοῦ πατρικοῦ γενήσεσθαι τὸν ἐν ἄλλοις κληρονόμον ἀπόκληρον, ἀλλὰ καὶ τῇ πνευματικῇ κληρουχίᾳ καὶ τὴν ἄλλην κληρονομίαν ἁγιασθήσεσθαι. Μηδὲ τέμοις αὐτῷ τὸν κλῆρον, ἀλλ' ἕλον χάρισαι τὸν πατέρα καὶ τὰ σαρκικὰ λαβόντι προσεπίθες καὶ τὰ τοῦ πνεύματος.

5. Αὕτη μοι τῆς γραφῆς ὑπόθεσις. Σὺ δέ μοι τὸν χάρτην ἑωρακὼς ἀναδιδαχθήσεσθαι νομίσεις τὰ ἐνταῦθα καὶ λαλούμενα καὶ πραττόμενα. Ἀλλὰ ποία μοι ἡ πρᾶξις ἐν ζῴῳ κεφαλῆς ἀπεστερημένῳ εἰ μὴ νεκρά τις καὶ πλημμελής; Οἱ δὲ λόγοι νῦν εἰσιν ἀληθῶς πτηνοί, ἄλλοι παρ' ἄλλων εἰκῇ τὸν ἀέρα περιιπτάμενοι, νέθοι καὶ τοὺς πατέρας ψευδόμενοι καὶ γλώττης ὑγιαινούσης καὶ καθαρᾶς ἀκοῆς ἀνάξιοι.

1. *ἀληθεστάτην*. — 12. *μοι τίς. ἐκεῖνον*. — 14. *τῶν τιμιωτάτων*. — 26. *πρᾶξις* ἐκ τοῦ τὸ πρῶτον γραφέντος *πράξις*. — 28. *εἰσὶν*.

www.libtool.com.cn

Digitized by Google

6. Μάνθανε γοῦν τὰ τῇ σῇ ἁγιότητι ἀναγκαῖα. Ὑγιαίνουσιν οἱ ξύμπαντες πάσης δυσχερείας ἀνώτεροι, καὶ ἡμῖν δὲ οὐκ ἀρρώστως ἔχει τὰ τῆς σαρκός. Εἴη δὲ καὶ τῇ σῇ ἁγιότητι ταῦτα καὶ πλέον ἢ περ ἡμῖν. Μεταδιδοίης δὲ ἡμῖν καὶ τῆς ἐν πνεύματι ἀρτιώσεως τοῖς φαρμάκοις τῶν σῶν ἁγίων εὐχῶν, ἃ δύναμιν ἔλαχε ταύτην καὶ μακρόθεν ἀκεῖσθαι τοὺς κάμνοντας. Πρόσειπε τὸν κῦρ Εὐθύμιον καὶ πάντας τοὺς σούς. Προσκυνεῖ τὴν ἁγιωσύνην σου ὁ αὐτάδελφός μου καὶ ἅπαντες οἱ ἐμοί.

www.libtool.com.cn

Digitized by Google

www.libtool.com.cn

Digitized by Google

www.libtool.com.cn

ΣΗΜΕΙΩΣΕΙΣ

ΙΣΤΟΡΙΚΑΙ ΚΑΙ ΓΡΑΜΜΑΤΙΚΑΙ

Digitized by Google

www.libtool.com.cn

Digitized by Google

www.libtool.com.cn

ΣΗΜΕΙΩΣΕΙΣ

ΙΣΤΟΡΙΚΑΙ ΚΑΙ ΓΡΑΜΜΑΤΙΚΑΙ

ΕΙΣ ΤΟΝ ΠΡΩΤΟΝ ΤΟΜΟΝ

Τόμ. **Α'**. σελ. **3**,5. *Πρὸ τῆς ἱερωσύνης.* Διὰ τούτων ἐννοεῖ βεβαίως ὁ τὴν Προθεωρίαν γράψας τὴν εἰς τὸν μητροπολιτικὸν θρόνον τῶν Ἀθηνῶν ἀνάβασιν τοῦ Μιχαὴλ, οὐχὶ δὲ τὴν καθόλου εἰς τὸ ἱερατικὸν στάδιον ἐπίδοσιν, εἰς ὃ προωρίσθη ὑπὸ τῶν γονέων ἐκ παιδὸς ὡς ἀπαρχὴ τῆς ἑαυτῶν τεκνογονίας. Ἴδ. **349**,2. Μετέβη δὲ εἰς Ἀθήνας ὡς μητροπολίτης τῷ 1182 καθ' ἃ ἀπέδειξα παρὰ τὴν κοινῶς παραδεδεγμένην γνώμην ἐν τῇ συγγραφῇ μου *Αἱ Ἀθῆναι περὶ τὰ τέλη τοῦ δωδεκάτου αἰῶνος*, σ. 20 καὶ ἰδίᾳ σημ. 5. Ἴδ. καὶ τὴν Εἰσαγωγὴν τῶν Σωζομένων τοῦ Ἀκομινάτου. Ἅρκ οἱ *πρὸ τῆς ἱερωσύνης* γραφέντες λόγοι, δῆλα δὴ ὁ *πρὸς τοὺς αἰτιωμένους τὸ ἀφιλένδεικτον*, τὸ *ἐγκώμιον εἰς τὸν Χωνῶν Νικήταν* καὶ ὁ *λόγος εἰς τὸν Πατριάρχην κῦρ Μιχαὴλ* ὡς καὶ τῶν σωζομένων ἐπιστολῶν αἱ ἑπτὰ πρῶται ἐγράφησαν ἐν Κωνσταντινουπόλει πρὸ τοῦ 1182.

Α'. **4**,15. *Τοῦτο δὲ τῶν ἀκροωμένων Ἀθήνησιν οὐκέτ' ὄντων φιλομαθῶν* κτλ. Πολλάκις ἐν τοῖς λόγοις αὐτοῦ καὶ ταῖς ἐπιστολαῖς παραπονεῖται ὁ Μιχαὴλ περὶ τῆς ἀμουσίας καὶ ἀγροικίας τῶν Ἀθηναίων, οἵτινες δὲν ἐνόουν τἀττικίζοντα ῥήματα τοῦ ἱεράρχου. Ἴδ. **93**,19, **124**,6 κ.ἑ. **Β'**. **12**,14 κ.ἑ. **Β'** **43**,23 κ.ἑ. Πρβλ. τὰ ἐν τῇ ἐπιστολῇ τοῦ Γεωργίου Τορνίκη **Β'**. **420**,20 κ.ἑ.

Α'. **4**,27. *Χυδαιολογίαν* ἀποκαλεῖ ὁ ἀττικίζων συγγραφεὺς τῆς Προθεωρίας τὴν κοινὴν διάλεκτον τῶν τότε χρόνων, χρώμενος πρὸς αὐτὴν τῇ αὐτῇ περιφρονήσει καὶ ἅπαντες οἱ Βυζαντῖνοι. Διὰ τοῦτο σπανιά τινα εἶνε τὰ ἐξ ἐκείνων τῶν χρόνων περισωθέντα μνημεῖα τῆς δημώδους γλώσσης, καὶ ταῦτα μάλιστα ποιητικά. Ἂν ἐξαιρέσωμεν

Digitized by Google

ὀλίγους στίχους καὶ παροιμίας τινὰς ἐκ περιέργου συμπτώσεως σποράδην διαφυλαχθείσας ὑπὸ τῶν Βυζαντίνων χρονογράφων (Ἰδ. Σπυρ. Ζαμπελίου Ἄσματα δημοτικὰ τῆς Ἑλλάδος ἐκδοθέντα μετὰ μελέτης ἱστορικῆς σ. 354 κ.ἑ., Σπυρ. Λάμπρου Romans Grecs, σ.VIII κ.ἑ., τοῦ αὐτοῦ τὸ πρῶτον δημοτικὸν ᾆσμα ἐν Παρνασσοῦ τόμ.Γ'.σ.405 κ.ἑ.)τὰ παλαιότατα τῶν ἐν δημοτικῇ γλώσσῃ περισωθέντων ἐκ τῶν βυζαντιακῶν χρόνων ποιημάτων εἶνε οἱ χρησμοὶ Λέοντος τοῦ Σοφοῦ, τινὰ τῶν ἔργων τοῦ Πτωχοπροδρόμου, οἱ στίχοι τοῦ Ἀλεξίου Κομνηνοῦ τοῦ ἐπιλεγομένου Σπανέα καὶ τὸ ποίημα Μανουὴλ τοῦ Γλυκᾶ τὸ περιεχόμενον ἐν τῷ παρισιακῷ ἑλληνικῷ κώδικι 228 ὅπερ περιλαμβάνεται ἐν τῇ προσεχῶς ἐκδιδομένῃ ὑπὸ Λεγρανδίου Bibliothèque Grecque vulgaire. Ἐν δὲ τῷ πεζῷ λόγῳ πολλὴ χρῆσις δημωδῶν ἐκφράσεων γίνεται κατὰ πρῶτον ἐν τοῖς ἔργοις τοῦ ἐστεμμένου συγγραφέως Λέοντος τοῦ Σοφοῦ καὶ Κωνσταντίνου τοῦ Πορφυρογεννήτου. Συνεχὲς δὲ μνημεῖον τῆς δημώδους γλώσσης τὸ παλαιότατον τῶν ἡμῖν γνωστῶν εἶνε ἡ εἰς τὴν κοινὴν μετάφρασις τῆς βίβλου τοῦ Ἰωνᾶ ἡ γενομένη χάριν τῆς ἑβραϊκῆς ἐν Κερκύρᾳ συναγωγῆς κατὰ τὸν δωδέκατον περίπου αἰῶνα, περὶ ἧς ἔπιθι τὴν εἰσαγωγὴν τῶν ἐμῶν Romans Grecs, σ. VIII καὶ σημ. 1.

Ἡ πρὸς τὴν κοινὴν γλῶσσαν περιφρόνησις τοῦ Μιχαὴλ διεφύλαξεν ἡμῖν λέξεις τινὰς τῶν ἐν Ἀθήναις ἐπιχωριαζουσῶν,δυστυχῶς πάνυ ὀλίγας. Ἴδ. **Β'. 44**,23. Ὁμοίως δὲ καὶ παρὰ τοῖς Κείοις διαμένων, οἱονεὶ ξενιζόμενος ἐπὶ τῇ ἐννοίᾳ λέξεών τινων τῶν ἀγαθῶν νησιωτῶν, ἀναγράφει ταύτας καὶ τὴν σημασίαν αὐτῶν πρὸς τὸν Εὐθύμιον Τορνίκην ἐπιστέλλων. Εἶνε δ' αἱ λέξεις *προσφάγιον* καὶ *κτήματα* Ἴδ. **Β'. 194**, 2 κ. ἑ. Ταῖς λέξεσι δὲ ταῖς ἐπικρατούσαις παρὰ τῷ λαῷ χρῆται σπανίως μόνον ἐν μέσῃ τῇ ῥύμῃ τοῦ λόγου χωρὶς νὰ παραδείξῃ δι' ἐπενθήκης τινὸς ὅτι ἀλλότριόν τι τὸ χρῆμα ἀπὸ τῆς γλώσσης ἣν εἴθιστο νὰ γράφῃ. Τοιαύτη ἡ χρῆσις τῆς λέξεως *βητιάριον* (**Β'. 137**,2), *ἀλογίτζιν* (**Β'.121**,20) καὶ εἴ τις ἄλλη. Παρενείρων δὲ λέξεις τινὰς καινὰς ἢ τὴν παράφρασιν δημωδῶν τινων παροιμιακῶν ἐκφράσεων, διαστέλλει συνήθως αὐτὰς διὰ τῆς παραδηλώσεως *τὸ δημοτικώτερον*, *τὸ λεγόμενον* ἤ τινος ἄλλης τοιαύτης. Ἴδ. **174**,32. **Β'. 236**,5. Τοιοῦτον εἶνε καὶ τὸ τοῦ Εὐσταθίου *εἰπεῖν καθω-*

www.libtool.com.cn

Digitized by Google

μιλημένως (Opuscula ἔκδ. *Tafel* σ. 302,29) καὶ αἱ ἄλλαι παρόμοιαι δικαιολογητικαὶ φράσεις τῶν Βυζαντίνων, περὶ ὧν ἔπιθε Reiske ἐν ταῖς σημειώσεσιν εἰς Κωνστ. Πορφυρ. Τόμ. Β'. σ. 8.

www.libpool.com.cn

Α'. 9, 17. *Ὁ μέν τις πλουσίοις παραδυναστεύει καὶ χρηματίζεται ἀποχρώντως.* Πλεῖστα ὑπάρχουσι τὰ παραδείγματα Βυζαντίνων συγγραφέων οἵτινες, γλιχόμενοι τιμῶν ἢ θεραπεύοντες τοὺς ἐν τέλει, μάλιστα δὲ τοὺς τοῦ βασιλικοῦ οἴκου, ἀφιέρουν αὐτοῖς τὰς συγγραφὰς αὐτῶν. Ἀλλὰ τοῦτο δὲν προήρχετο πάντοτε ἐκ φιλοχρηματίας, μᾶλλον δ' ἐκ τῶν ὑποχρεώσεων τῶν λογίων, οἵτινες συνηθέστατα παρὰ τοῖς Βυζαντίνοις ἀνῆκον εἰς τὴν τάξιν τῶν τἀξιώματα λαμβανόντων, πρὸς τοὺς βασιλεῖς, παρ'ὧν καὶ ἐνετέλλοντο πολλάκις τὴν συγγραφὴν ὡρισμένων βιβλίων. Ὅτι δὲ ἄλλως ἢ εἰς τοὺς ἐκ τῆς συγγραφικῆς ἀποζῶντας παρεχομένη ὑπὸ τοῦ βασιλικοῦ ταμιείου ἀμοιβὴ δὲν ἦτο πάντοτε πλουσία, οὐδ' ὁ χρηματισμὸς ἀποχρῶν, δεικνύουσι τὰ λεγόμενα ὑπὸ τοῦ Ἰωάννου Τζέτζη περὶ τῆς εἰς αὐτὸν δοθείσης ἀμοιβῆς ἐπὶ τῇ συγγραφῇ τῆς εἰς τὴν σεβαστοκρατόρισσαν Εἰρήνην, τὴν σύζυγον Ἀνδρονίκου τοῦ ἀδελφοῦ τοῦ βασιλέως Μανουὴλ τοῦ Κομνηνοῦ, ἀφιερωθείσης Ἐξηγήσεως εἰς τὴν Ὁμήρου Ἰλιάδα. Ἴδ. Χιλιάδ. Θ', στ. 278 - 297.

Α'. 9, 22. *Ἴδοις οὖν αὐτοὺς ὡς μὲν λιπαροὺς τὴν κόμην καὶ γεγανωμένους τὰ πρόσωπα, ὡς δὲ στιλπνοὺς τὰς ἐσθῆτας καὶ ἀτεχνῶς ἀβροχίτωνας, ἐφ' ἡμιόνων ὀχουμένους ἀργυροφαλάρων.* Τὰ ῥήματα ταῦτα τοῦ Ἀκομινάτου, πρὸς ἃ παράβαλλε καὶ τὰ ἐν **Β'**, 16 ἐνθυμίζουσι παραδόξως τοὺς γνωστοὺς περὶ τῶν ἐπὶ παιδείᾳ κομώντων Βυζαντίνων λογίων στίχους τοῦ Πτωχοπροδρόμου·

Ἀπὸ μικρόθεν μ' ἔλεγεν ὁ γέρων ὁ πατήρ μου
τέκνον μου μάθε γράμματα, ἂν θέλῃς νὰ φελίσῃς.
Βλέπεις τὸν δεῖνα, τέκνον μου; παῖζε ἐπεριπάτει
